

[illegible] [illegible] [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] [illegible]

[illegible] [illegible]

[illegible] [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] [illegible]

[illegible]

[illegible]

HOMERI CARMINA.

CUM PROLEGOMENIS ET ANNOTATIONE CRITICA

TERTIUM EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA.

I.

ILIAS.

PARS ALTERA. Carm. XIII—XXIV.

LUGDUNI BATAVORUM

APUD A. W. SIJTHOFF

MCMVII.

Homerus

ILIAS.

CUM PROLEGOMENIS ET ANNOTATIONE CRITICA

TERTIUM EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA.

PARS ALTERA.

Rhapsodiae XIII—XXIV.

LUGDUNI BATAVORUM

APUD A. W. SIJTHOFF

MCMVII



μάχη ἐπὶ ταῖσ ναυσίν.

N Ζεὺσ δ' ἐπεὶ οὖν Τρῶάσ τε καὶ Ἕκτορα νηυσ' ἐπέλασσε,
τοὺσ μὲν ἔα παρὰ τῇισι πόνον τ' ἐχέμεν καὶ διζὺν 2ᵇ = ϑ 529
νωλεμέωσ, αὐτὸσ δὲ πάλιν 'τρέπεν ὄσσε φαεινώ, 3ᵇ = Φ 415
νόσφιν ἐφ' ἱπποπόλων Θρηΐκων καθορώμενοσ αἶαν
Μυσῶν τ' ἀγχιμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
εἰσ Τροίην δ' οὐ πάμπαν ἔτ' ἔτρεπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐϝέλπετο ϝὸν κατὰ θυμὸν 8ᵇ = ψ 345
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν' ἢ Δαναοῖσι. 9 cf. Θ 11
οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων ἐνοσίχθων· 10 cf. *K* 515
καὶ γὰρ ὃ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψόθ' ἐπ' ἀκροτάτησ κορυφῆσ Σάμου ὑλήεσσησ
Θρηϊκίησ· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
'φαίνετο δὲ Πριάμοιο πόλισ καὶ νῆεσ Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸσ ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺσ
Τρωσὶν δαμναμένουσ, Διὶ δὲ κρατερῶσ ἐνεμέσσα. 16 = 353
αὐτίκα δ' ἐξ ὄρεοσ κατεβήσετο παιπαλόεντοσ
κραιπνὰ ποσὶ προβιβάσ· 'τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη 18ᵃ = ρ 27
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνοσ ἰόντοσ.
τρὶσ μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάσ, ἔνθα τέ ϝοι κλυτὰ δώματα βένθεσι λίμνησ 21 cf. ε 381

---

2. παρὰ] περὶ Zen. Aristoph., Ar. fortasse utrumque, πρὸσ l. a. in T.
— ἐχέμεν] ὀχέμεν Zen. (ὀχέειν? Ribbeck).
5. ἀγχιμάχων H³] ἀγχεμάχων Ω (item Π 248, 272 *P* 165).
6. δικαιοτάτων] sic Ar., -των τ' olim quidam (pro nomine proprio habentes vocem Ἀγαυῶν, voces autem ἱππημολγῶν et ἀβίων pro adiectivis).
8. ὅ γ'] ἔτ' Aristoph.
9. ἀρηξέμεν(') A] -γέμεν pap. 732 C D T (cf. *B* 436).
10. ἀλαοσκοπιὴν] ἀλαὸσ σκοπιὴν A² (cf. *K* 515).
12. ἀκροτάτησ κορυφῆσ] -τῃισ -φῆισ Aristoph. (cf. *A* 66 et § 57).
— Σάμου] Σάου l. a. ant. (cf. Archil. fr. 6 CIG. 2058 A³⁴).
12ᵇ—15ᵃ et 21—38 postmodo inserti videntur (vs. 18—38 damnat Schoemann 19ᵇ—38ᵃ Grashof). Incredibili enim ambage uti dicitur Neptunus ut Troiam et ad ipsum proelium perveniat Samothrace (ubi quid agebat? cf. Θ 440); neque rediens (*O* 219) bigis utitur. Nempe priscus poeta cogitabat Neptunum Olympi incolam γαιήϝοχον, cuius sub ingressu tremunt saxa et nemora, recentior deum *marinum* per aequora vectum.
18. Apud Long. de subl. 9, 8 add.: καὶ κορυφαὶ Τρώων τε πόλισ καὶ νῆεσ Ἀχαιῶν (= *Y* 60).
21. τέ Strab. 386] δέ Ω. Cf. Θ 48.

χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτά τ' αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι 'τιτύσκετο χαλκόποδ' ἵππω — 23^{b}-26 = Θ 41 sqq.
ὠκυπέτα, χρυσέηισι ϝεθείρηισιν κομάοντε,
χρυσὸν δ' αὐτὸσ ἔδυνε περὶ χροΐ, 'γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑϝοῦ δ' ἐπεβήσετο δίφρου,
'βῆ δ' ἐλάειν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησε ϝάνακτα,
γηθοσύνη δὲ θάλασσα διίστατο. τοὶ δ' ἐπέτοντο
ῥίμφα μάλ', οὐδ' ὑπένερθε 'διαίνετο χάλκεοσ ἄξων·
τὸν δ' ἐσ Ἀχαιῶν νῆασ ἐύσκαρθμοι 'φέρον ἵπποι.
ἔστι δέ τι σπέοσ εὐρὺ βαθείησ βένθεσι λίμνησ, — [δ 845
μεσσηγὺσ Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσησ· — 33 cf. Ω 78, 753
ἔνθ' ἵππουσ ἔστησε Ποσειδάων ἐνοσίχθων — 34^{a} = E 368
λύσασ ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον 'βάλεν εἶδαρ — 35 cf. E 369; 35^{a} = Θ 50
ἔδμεναι, ἀμφὶ δὲ ποσσὶ πέδασ ἔβαλε χρυσείασ,
ἀρρήκτουσ ἀλύτουσ, ὄφρ' ἔμπεδον αὖθι μένοιεν — 37 = ϑ 275
νοστήσαντα ϝάνακτα. ὃ δ' εἰσ στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶεσ δὲ φλογὶ ϝῖσοι ἀϝολλέεσ ἠὲ θυέλληι
Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτεσ ἕποντο, — 40 cf. 80
ἄβρομοι ἀϝίϝαχοι· 'ϝέλποντο δὲ νῆασ Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόθι πάντασ ἀρίστουσ.
ἀλλὰ Ποσειδάων γαιήοχοσ ἐνοσίγαιοσ
Ἀργείουσ ὤτρυνε, βαθείησ ἐξ ἁλὸσ ἐλθών,
ϝεισάμενοσ Κάλχαντι δέμασ καὶ ἀτειρέα φωνήν. — 45 cf. P 555 X 227
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· — 46 = Π 555
„Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆσ μνησαμένω μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ' οὐ δέδϝια χεῖρασ ἀάπτουσ
Τρώων, οἳ μέγα τεῖχοσ ὑπερκατέβησαν ὁμίλωι, — 50 cf. 87
ἕξουσιν γὰρ πάντασ ἐυκνήμιδεσ Ἀχαιοί·

---

22. ἄφθιτά τ' Knight] ἄφθιτα Ω, ἄφθιτον Bentley.
27. αὐτοῦ] αὐτῶι l. a. ant.
28. ἠγνοίησε] -σαν Ar. G. Cf. Δ 724.
29. γηθοσύνη Ar.] -νηι Aristoph. Herodian. A (ut Φ 390, cuius alia est ratio). Cf. λ 540.
39. ἠὲ] ἠδὲ pap. Par. G L (cf. K 162).
42. αὐτόθι pap. Par. A C T] -φι D (cf. M 302).
— ἀρίστουσ C] Ἀχαιοὺσ pap. 732 A D T.
47. τε] κε pap. Par. D T.
51. ἕξουσιν] σχήσουσιν Aristoph. (ut Δ 820 N 151 Ξ 100). Cf. Y 27.
— πάντασ] -τεσ D T.

τῆι δὲ δὴ αἰνότατον περιδείδϝια μή τι πάθωμεν,
ἧι ῥ' ὅ γε λυσσώδησ φλογὶ ϝείκελοσ ἡγεμονεύει,
Ἕκτωρ, ὃσ Διὸσ εὔχετ' ἐρισθενέοσ πάϊσ εἶναι.
σφῶϊν δ' ὧδε θεῶν τισ ἐνὶ φρεσὶ ποιήσειε,
αὐτώ θ' ἑστάμεναι κρατερῶσ καὶ ἀνωγέμεν' ἄλλουσ·
τῶι κε καὶ ἐσσυμένον περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἴ καί μιν Ὀλύμπιοσ αὐτὸσ ἐγείρει.“
ἦ, καὶ σκηπανίωι γαιήοχοσ ἐνοσίγαιοσ — 59[a] = Ω 247
ἀμφοτέρω κεκοπὼσ 'πλῆσεν μένεοσ κρατεροῖο,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδασ καὶ χεῖρασ ὕπερθε. — 61 = Ε 122
αὐτὸσ δ', ὥσ θ' ἴρηξ ὠκύπτεροσ ὦρτο πέτεσθαι,
ὅσ ῥά τ' ἀπ' αἰγίλιποσ πέτρησ περιμήκεοσ ἀρθεὶσ
ὁρμήσηι πεδίοιο διωκέμεν' ὄρνεον ἄλλο,
ὣσ ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
τοῖιν δ' ἔγνω πρόσθεν Ὀιλῆοσ ταχὺσ Αἴασ,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
„Αἶαν, ἐπεί τισ νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
μάντιι ϝειδόμενοσ κέλεται παρὰ νηυσὶ μάχεσθαι, . . .
οὐδ' ὅ γε Κάλχασ ἐστί, θεοπρόποσ οἰωνιστήσ·
ἴχνεα γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντοσ, ἀρίγνωτοι δὲ θεοί περ.
καὶ δ' ἐμοὶ αὐτῶι θυμὸσ ἐνὶ στήθεσσι φίλοισι
μᾶλλον ἐφορμάεται πολεμιζέμεν' ἠδὲ μάχεσθαι,
μαιμάουσι δ' ἔνερθε πόδεσ καὶ χεῖρεσ ὕπερθε.“ — 75[b] cf. Ε 122
τὸν δ' ἀπαμειβόμενοσ προσέφη Τελαμώνιοσ Αἴασ·
„οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρεσ ἄαπτοι
μαιμῶσιν, καί μοι μένοσ ὤρορε, νέρθε δὲ ποσσὶ — 78[t] Η 212

53. ὅ γε] ὅ γ' (vel ὅδ') ὁ Ω. — λυσσώδησ] λυσσητὴρ Menrad (ut Θ 299; cf. ν 194).

57. ἐσσυμένον . . . ἐρωήσαιτ'] -νοσ . . . -σει' vChrist, ceteris enim locis (Β 179 al.) intransitivum esse medium.

58. καί . . . ἐγείρει] κέν . . . ἐγείρηι A[2] C.

60. κεκοπώσ] sic et κεκοφώσ Ar., κεκοπὼν libri Chius et Antimachi. Cf. σ 335 et § 157 sq.

63. περιμήκεοσ ἀρθείσ] περίμηκεσ ἀερθείσ Menrad, πτερύγεσσιν ἀερθείσ Hartman. Cf. § 256 et ι 398; adiectivum abundat neque aptum est rupi.

64. ὁρμήσηι] οἰμήσηι Agar (ut Χ 139, 308).

71. ἴχνεα] ἴχνια Ar. Ω, ἴχματα Zen. Aristoph., ἴθματα olim alii (propter sequens κνημάων). Extat ἴχνη sive ἴχνε'(α) τ 436 h. Merc. 76, ἴχνεσι ρ 317, ἴχνια pluralis vitio natus in codd. redit Σ 321 Ψ 764 β 406 γ 30 ε 193 η 38 h. Merc. 218, 220, 342, 351.

77. νῦν] δὴ pap. 732.

78. μαιμῶσιν, καί μοι] *μαιμάουσ', ἐν δὲ? Cf. vs. 75 et Υ 93; μαιμάουσι, μένοσ δέ μοι Fick.

ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἶοσ
Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτι μάχεσθαι.“ 80 cf. 40
ὣσ οἳ μὲν τοιαῦτα πρὸσ ἀλλήλουσ ἀγόρευον
χάρμηι γηθόσυνοι, τήν σφιν θεὸσ ἔμβαλε θυμῶι·
τόφρα δὲ τοὺσ ὄπιθεν γαιήοχοσ ὦρσεν Ἀχαιούσ,
οἳ παρὰ νηυσὶ θοῆισιν ἀνέψυχον φίλον ἦτορ. 84b cf. K 575
τῶν ῥ' ἅμα τ' ἀργαλέωι καμάτωι φίλα γυῖ' ἐλέλυντο, 85b cf H 6
καί σφιν ἄχοσ κατὰ θυμὸν ἐγίγνετο δερκομένοισι
Τρῶασ, τοὶ μέγα τεῖχοσ ὑπερκατέβησαν ὁμίλωι. 87 cf. 50
τοὺσ οἵ γ' εἰσοράοντεσ ὑπ' ὀφρύσι δάκρυ' ἔλειβον,
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ. ἀλλ' ἐνοσίχθων 89 cf. O 700
ῥεῖα μετισσάμενοσ κρατερὰσ ὤτρυνε φάλαγγασ. 90 cf. P 285
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων
Πηνέλεόν θ' ἥρωα Θόαντά τε Δηΐπυρόν τε 92b-94 = 478 sqq.
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρασ ἀυτῆσ·
τοὺσ ὅ γ' ἐποτρύνων ϝέπεα πτερόεντα προσηύδα· 94 = P 219 cf. o 208
„αἰδώσ, Ἀργέιοι, κοῦροι νέοι! ὔμιν ἐγώ γε 95a = E 787
μαρναμένοισι πέποιθα σαωσέμεναι νέασ ἁμάσ·
εἰ δ' ὔμεσ πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ ϝείδεται ἆμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
δϝεινόν, ὅ τ' οὔ ποτ' ἐγώ γε τελευτήσεσθαι ἔφασκον, 99 = O 286 Y 344 Φ 54 h. Merc. 219 cf. τ 36
Τρῶασ ἐφ' ἁμετέρασ ἴμεναι νέασ, οἳ τὸ πάροσ περ
φυζακινῆισ' ἐλάφοισι 'ϝεϝοίκεσαν, αἵ τε καθ' ὕλην
θώων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται
αὔτωσ ἠλάσκουσαι ἀνάλκιδεσ, οὐδ' ἔνι χάρμη·
ὣσ Τρῶεσ τὸ πρίν γε μένοσ καὶ χεῖρασ Ἀχαιῶν 105b = Z 502
μιμνέμεν' οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠ βαιόν.
νῦν δὲ ϝεκὰσ πόλιοσ κοίληισ' ἐπὶ νηυσὶ μάχονται 107 = E 791

---

90. ῥεῖα μετισάμενοσ] ῥεῖα μετεισάμενοσ Ω, *ῥεῖ' ἐπιϝισάμενοσ (item P 285)? Cf. § 201.

92. Πηνέλεον Aristoph] -λεων Ω. Cf. § 62 et B 494.

95—124. Duae recensiones permixtae videntur; antiquiorem versus 95—98 et 108—115, alteram 99—107 et 116—124 complexam suspicatur Leaf. Vox ὢ πόποι orationis initio collocari solet; in media oratione non nisi h. l. Σ 49 P 171 (?) ν 209 invenitur.

100. ὅ τ' οὔ] ὃ οὔ Ω, ὃ μή Heyne (cf. B 302).

103. παρδαλίων] sic Ar., πορδ. A (cf. P 20 Φ 578 δ 457).

104. *ἔνι χάρμη] ἔπι χάρμη(ι). Cf. vs. 82 et Δ 55. Dissimiles sunt Δ 515 ξ 92 π 315, ubi ἔπι *adest* = *obstat*.

107. δὲ (ϝ)εκὰσ Zen. Aristoph.] δ' ἕκαθεν Ar. Ω; cf. E 791.

ἡγεμόνοσ κακότητι μεθημοσύνηφί τε λαῶν,
οἳ κείνωι ἐρίσαντεσ ἀμυνέμεν' οὐκ ἐθέλουσι
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάσ.
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιόσ ἐστι
ἥρωσ Ἀτρεΐδησ, εὐρὺ κρείων Ἀγαμέμνων, 112 = Α 102
οὕνεκ' ἄρ' ἠτίμασσε ποδώκεα Πηλεΐωνα,
ἡμάσ γ' οὔ πωσ ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένεσ ἐσθλῶν. 115ᵇ cf. Ο 203
ὑμεσ δ' οὐκέτι καλὰ μεθίετε θούριδοσ ἀλκῆσ 116ᵇ = Δ 234
πάντεσ ἄριστοι ἐόντεσ ἀνὰ στρατόν. οὐδέ κ' ἐγώ γε
ἀνδρὶ μαχεσσαίμην, ὅσ τισ πολέμοιο μεθείη
λυγρὸσ ἐών· ὑμιν δὲ νεμεσσάομαι περὶ κῆρι.
ὦ πέπονεσ, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῆιδε μεθημοσύνηι· ἀλλ' ἐν φρεσὶ θέσθε ϝέκαστοσ 121ᵇ sq.ᵃ cf. Ο 561
αἰδόα καὶ νέμεσιν! δὴ γὰρ μέγα νεῖκοσ ὄρωρε. 122ᵇ = Ο 400 cf. Ρ 384
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸσ πολεμίζει
καρτερόσ, ἔρρηξεν δὲ πύλασ καὶ μακρὸν ὀχῆα.“ 124 cf. Μ 291
ὣσ ῥα κελευτιάων γαιήοχοσ ὦρσεν Ἀχαιούσ.
ἀμφὶ δ' ἄρ' Αἴαντασ δοιοὺσ ἵσταντο φάλαγγεσ
καρτεραί, ἃσ οὔτ' ἄρ κεν Ἄρησ ὀνόσαιτο μετελθὼν 127 sq cf. Ρ 398 [sq. 127ᵇ cf Δ 539
οὔτε κ' Ἀθηναίη λαοσσόοσ· οἳ γὰρ ἄριστοι
κρινθέντεσ Τρῶάσ τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντεσ δόρυ δουρί, σάκοσ σάκεϊ προθελύμνωι.
ἀσπὶσ ἄρ' ἀσπίδ' ἔρειδε, κόρυσ κόρυθ', ἀνέρα δ' ἀνήρ, 131-133 = Π 215 sqq.
'ψαῦον δ' ἱππόκομοι κόρυθεσ λαμπροῖσι φάλοισι
νευόντων· ὣσ πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν 134ᵇ = Δ 553
σειόμεν'· οἳ δ' ἰθὺσ 'φρόνεον, 'μέμασαν δὲ μάχεσθαι.
Τρῶεσ δὲ προέτυψαν ἀϝολλέεσ, ἦρχε δ' ἄρ' Ἕκτωρ 136 = Ο 306 Ρ 262

---

108. μεθημοσύνηφι § 46] μεθημοσύνῃσι. Cf. vs. 121.

113. ἄρ' ἠτίμασσε (-μησε) Brandreth] ἀπητίμησε. Cf. Η 140 Δ 7.) Ν 461 Ω 607 et § 144. Composito ἀπητιμασμένη utitur Aesch. Eum. 95.

115. τοι] sic et τε Ar.

118. μεθείη] μεθ(ε)ίει A C T (cf. Γ 221).

124. μακρὸν ὀχῆα] *μακρὰ ὀχῆε (item Μ 291 Ν 124)? Cf. Μ 455, 460 Φ 537 Ω 446 (φ 47 ω 166).

127. ἄρ Brandreth] ἄν. Cf. Ρ 658 et Δ 187.

131. κόρυθ' § 66] κόρυν. Cf. Π 215.

134. ἐπτύσσοντο] ἐσσεύοντο Naber (cf. Δ 553).

— ἀπὸ] ὑπὸ vHerwerden (cf. Γ 128).

ἀντικρὺ μεμαώσ, ϝολοοίτροχοσ ὢσ ἀπὸ πέτρησ,
ὅν τε κατὰ στεφάνησ ποταμὸσ χειμάρροοσ ὤσῃ,
ῥήξασ ἀσπέτωι ὄμβρωι ἀναιδέοσ ἔχματα πέτρησ·
ὕψι δ' ἀναθρώισκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
ὕλη, ὃ δ' ἀσφαλέωσ θέει ἔμπεδον, ἧοσ ἵκηται 141ᵃ cf. ν 86
ϝισόπεδον, τότε δ' οὔ τι κυλίνδεται ἐσσυμένοσ περ.
ὢσ Ἕκτωρ τῆοσ μὲν ἀπείλεε μέχρι θαλάσσησ
ῥέα διελεύσεσθαι κλισίασ καὶ νῆασ Ἀχαιῶν
κτείνων, ἀλλ' ὅτε δὴ πυκινῆισ' ἐνέκυρσε φάλαγξι,
'στῆ ῥα μάλ' ἐγχριμφθείσ· οἳ δ' ἀντίοι υἷεσ Ἀχαιῶν
νύσσοντεσ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι 147 = *O* 278 *P* 731 cf. *Ξ* 26 *ω* 527
ὦσαν ἀπὸ σφείων, ὃ δὲ χασσάμενοσ 'πελεμίχθη, 148 = *Δ* 535
ἤυσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώσ· 149 = *M* 439
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 150 = *Θ* 173
παρμένετ'· οὔ τοι δϝηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέασ αὐτοὺσ ἀρτύναντεσ, 152ᵇ = *M* 43
ἀλλ', ὀίω, χάσσονται ὑπ' ἔγχεοσ, εἰ ἐτεόν με
ὦρσε θεῶν ὄχ' ἄριστοσ, ἐρίγδουποσ πόσισ Ἥρησ."
ὢσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 155 = *E* 470
Δηΐφοβοσ δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει 156ᵇ = *Δ* 296
Πριαμίδησ, πρὸ ϝέθεν δὲ ἔχ' ἀσπίδα πάντοσ' ἐϝίσην, 157 = 803
κοῦφα ποσὶ προβιβὰσ καὶ ὑπασπίδια προποδίζων.
Μηριόνησ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῶι, 159ᵇ sq.ᵃ = 370 [sq.
καὶ 'βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐϝίσην 160ᵃ = *Δ* 350
ταυρείην· τῆσ δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῶι ἐϝάγη δολιχὸν δόρυ· Δηΐφοβοσ δὲ 162ᵃ cf. *P* 607
ἀσπίδα ταυρείην 'σχέθ' ἀπὸ ϝέο, 'δεῖσε δὲ θυμῶι

---

137. ϝολοοίτροχοσ] ὀλοότροχοσ C, ϝολϝότροχοσ Knight.

141. ἧοσ (ἕωσ) A] ἕωσ ἂν L, ὄφρ' ἂν Syr. (quod paradiorthoma est manifestum), εἰσ ὅ κεν ἔλθῃ Porphyr. ad *Δ* 269. Cf. τ 367. Idem error ψ 151 (cf. etiam *O* 28).

143. τῆοσ (τειοσ) Brandreth] εἷωσ. Cf. *M* 141.

144. ῥέα διελεύσεσθαι Ar.] ῥεῖα δ' ἐλεύσεσθαι *Ω* (item *Υ* 263), ῥεῖα διέξεσθαι Nauck (quod ita adhibitum apud poetam non extat), ῥεῖ' ἐπιϝίσεσθαι vHerwerden (cf. *I* 652; Pallis ῥεῖ' ἐπελεύσεσθαι). Apta est δια- praepositio, sed ῥέα molestum (cf. § 8 et *P* 461 sq.).

148. χασσάμενοσ 'πελεμίχθη] χάσσατο πολλὸν ὀπίσσω Zen.

154. ὄχ' ἄριστοσ] cf. *Δ* 288.

155. θυμόν τε Bentley] καὶ θυμόν.

157. πρὸ ϝέθεν] πρόσθεν *Ω*. Cf. vs. 803. — δὲ ἔχ'] δ' ἔχεν *Ω*.

158. ὑπασπίδια] ὑποσπίδια pap. Par. (cf. *Δ* 754).

159. αὐτοῖο] ἐν τοῖσι Apoll. lex., αὖ τοῖο Duentzer, ἄρα τοῖο Hoogvliet, item vs. 370. Cf. § 98.

163. 'δεῖσε] neglecto ϝ ('δϝεῖσε).

ἔγχοσ Μηριόναο δαΐφρονοσ. αὐτὰρ ὅ γ' ἥρωσ
ἂψ ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο, 'χώσατο δ' αἰνῶσ — 165ª cf. Γ 32
ἀμφότερον, νίκησ τε καὶ ἔγχεοσ ὃ ξυνέϝαξε·
'βῆ δ' ἴμεναι παρά τε κλισίασ καὶ νῆασ Ἀχαιῶν, — 167 = Θ 220
οἰσόμενοσ δόρυ μακρόν, ὅ ϝοι κλισίηφι 'λέλειπτο.
οἳ δ' ἄλλοι 'μάρναντο, βοὴ δ' ἄσβεστοσ ὀρώρει. — 169 = 540; 169ᵇ = Λ 500
Τεῦκροσ δὲ πρῶτοσ Τελαμώνιοσ ἄνδρα κατέκτα, — 170 cf. Μ 378
Ἴμβριον αἰχμητήν, πολυΐππου Μέντοροσ υἱόν.
'ναῖε δὲ Πήδαιον, πρὶν ἐλθέμεν' υἷασ Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεσ ἤλυθον ἀμφιϝέλισσαι, — 174-176 = Ο 549 sqq.
ἂψ εἰσ Fΐλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
'ναῖε δὲ πὰρ Πριάμωι· ὃ δέ μιν 'τίε ϝῖσα τέκεσσι.
τόν ῥ' υἱὸσ Τελαμῶνοσ ὑπ' οὔατοσ ἔγχεϊ μακρῶι
'νύξ', ἐκ δ' ἔσπασεν ἔγχοσ· ὃ δ' αὖθ' ἔπεσεν μελίη ὥσ, — 178ª = Μ 395
ἥ τ' ὄρεοσ κορυφῆι ϝέκαθεν περιφαινομένοιο
χαλκῶι ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσηι·
ὣσ ἔπεσ', ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῶι. — 181ᵇ = Μ 396 [sqq.
Τεῦκροσ δ' ὡρμήθη μεμαὼσ ϝ' ἀπὸ τεύχεα δῦσαι,
Ἕκτωρ δ' ὁρμηθέντοσ ἀκόντισε δουρὶ φαεινῶι· — 183ᵇ-185ª = Ρ 304
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ — 183ᵇ sq. = 403 sq. Ρ 525 sq.
τυτθόν, ὃ δ' Ἀμφίμαχον, Κτεάτοι' υἷ' Ἀκτορίωνοσ, — 184 = 503 Π 610 cf. Χ 274
νισσόμενον πόλεμόνδε κατὰ στῆθοσ 'βάλε δουρί, — 186 cf. Ο 577; 186ᵇ sq.ª = Ο 420
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι. — 186ᵇ = Δ 108 [sq. 187 = Δ 504
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοισ' ἀραρυῖαν
κρατὸσ ἀφαρπάξαι μεγαλήτοροσ Ἀμφιμάχοιο,
Αἴασ δ' ὁρμηθέντοσ ὀρέξατο δουρὶ φαεινῶι
Ἕκτοροσ· ἀλλ' οὔ πηι χρὼσ 'ϝείσατο, πᾶσ δ' ἄρα χαλκῶι
σμερδαλέωι 'κεκάλυφθ'· ὃ δ' ἄρ' ἀσπίδοσ ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλωι· ὃ δὲ 'χάσσατ' ὀπίσσω

---

166. ξυνέϝαξε] ξυνέηξε Zen., [ξυν]έηχε pap. 732. Cf. vs. 257.
168. ὅ] ἃ l. a. ant. (coll. μ 97).
172. 'ναῖε δὲ] ὃσ νάε (ναῖε?) Zen., ὃσ ναῖε C. Cf. Ζ 34.
177. ῥ'] δ' Syr.
178. *αὖθ'] αὐτ' Ω, αἰψ' olim quidam.
179. κορυφῆι Ar. A C] -φῆισ D T. Cf. Β 456.
182. *ϝ'] adiecimus.
185. υἷ'] υἱὸν (coll. vs. 792 et § 17)?
190. ὀρέξατο pap. 732 A C D T] ἀκόντισε L et l. a. in T.
191. χρὼσ Zen.] χρόοσ (qui nominativus est inauditus) Ar. pap. 732, χροὸσ (genitivus) Herodianus et Ω neque syntaxi favente neque numeris.

νεκρῶν ἀμφοτέρων, τοὺσ δ' ἐξεϝέρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίοσ δῖόσ τε Μενεσθεύσ,
ἀρχοὶ Ἀθηναίων, 'κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδοσ ἀλκῆσ.
ὥσ τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνά, 199b cf. Ψ 122
ὑψόθ' ὑπὲρ γαίησ μετὰ γαμφηλῆισιν ἔχοντε,
ὣσ ῥα τὸν ὑψόθ' ἔχοντε δύω Αἴαντε κορυστὰ 201 cf. Σ 163
τεύχε' ἐσυλήτην. κεφαλὴν δ' ἁπαλῆσ ἀπὸ δειρῆσ
'κόψεν 'Οιλεΐδησ, κεχολωμένοσ Ἀμφιμάχοιο,
σφαιρηδὸν δέ μιν ἧκε ϝελιξάμενοσ δι' ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν ἔπεσ' ἐν κονίηισι.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντοσ ἐν αἰνῆι δηϊοτῆτι,
'βῆ δ' ἴμεναι παρά τε κλισίασ καὶ νῆασ Ἀχαιῶν 208 = Θ 220
ὀτρυνέων Δαναούσ, Τρώεσσι δὲ κήδε' ἔτευχε.
'Ιδομενεὺσ δ' ἄρα ϝοι δουρὶ κλυτὸσ ἀντεβόλησε,
ἐρχόμενοσ παρ' ἑταίρου, ὅ ϝοι νέον ἐκ πολέμοιο
ἦλθε κατ' ἰγνύην βεβλημένοσ ὀξέι χαλκῶι.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖσ' ἐπιτείλασ
ἤϊεν εἰσ κλισίην, ἔτι γὰρ πολέμοι' ἐμενοίνα
ἀντιάειν. τὸν δὲ προσέφη κρείων ἐνοσίχθων,
ϝεισάμενοσ φθογγὴν Ἀνδραίμονοσ υἷι Θόαντι,
ὃσ πάσηι Πλευρῶνι καὶ αἰπεινῆι Καλυδῶνι 217b = Ξ 116
Αἰτωλοῖσ' ἐϝάνασσε, θεὸσ δ' ὣσ 'τίετο δήμωι· 218b = Ε 78
„'Ιδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ 219b = Υ 83
οἴχονται, τὰσ Τρωσὶν ἀπείλεον υἷεσ Ἀχαιῶν;"
τὸν δ' αὖτ' 'Ιδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 221 = Δ 265
„ὦ Θόαν, οὔ τισ ἀνὴρ νῦν γ' αἴτιοσ, ὅσσον ἐγώ γε

---

195. *Στιχίοσ*] *Σχεδίοσ* l. a. in T.
196. *λαὸν*] *ἔθνοσ* l. a. in A.
198. *αἶγα*] *αἶγε* Zen.
200. *ἔχοντε*] *-ντεσ* Syr.
203. *'Οιλεΐδησ* Knight] *'Οιλιάδησ* Ω, *ἄρ' 'Ιλιάδησ* Zen.; cf. *B* 527 et *M* 365.
204. *σφαιρηδὸν δέ μιν ἧκε* Heyne] *ἧκε δέ μιν σφαιρηδόν*. Cf. *B* 89.

207. *ἐν αἰνῆι δηϊοτῆτι*] *ἐνὶ κρατερῆι ὑσμίνηι* Syr.
214. *εἰσ κλισίην*] *ἐκ κλισίησ* D (*IC* lectum est *K*, dein paradiorthosi invectum *-ησ*).
218. In TH additur: *τῶι μιν ἐεισάμενοσ προσέφη κρείων ἐνοσίχθων* (cf. *B* 22 al.), in L: *τ. μ. ἐ. ἔπεα πτερόεντα προσηύδα*. Cf. *K* 191 *P* 585.
222. *Θόαν*] *πέπον* D. Cf. *O* 467 *P* 171. — *γ'* Ar.] om. Ω.

γιγνώσκω· πάντεσ γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτε τινὰ δϝέοσ ἴσχει ἀκήριον οὔτε τισ ὄκνωι 224 cf. E 812, 817
ϝείκων ἀνδύεται πόλεμον κακόν· ἀλλά ποθ' οὕτωσ
μέλλει δὴ φίλον ἔμμεν' ὑπερμενέι Κρονίωνι, 226 cf. B 116
νωνύμνουσ ἀπολέσθαι ἀπ' Ἄργεοσ ἐνθάδ' Ἀχαιούσ. 227 = M 70
ἀλλά, Θόαν, καὶ γὰρ τὸ πάροσ μενεδήϊοσ ἦσθα,
ὀτρύνεισ δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ϝίδηαι· 229ᵇ cf. Δ 516
τῶι νῦν μήτ' ἀπόληγε κέλευέ τε φωτὶ ϝεκάστωι."
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἰδομενεῦ, μὴ κεῖνοσ ἀνὴρ ἔτι νοστήσειε
ἐκ Τροίησ, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο, 233ᵇ cf. P 255 Σ 179
ὅσ τισ ἐπ' ἤματι τῶιδε ϝεκὼν μεθέηισι μάχεσθαι!
ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
σπευδέμεν', αἴ κ' ὄφελόσ τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλετ' ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι."
ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἔβη θεὸσ ἂμ πόνον ἀνδρῶν, 239 = Π 726 P 82
Ἰδομενεὺσ δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
'δύσετο τεύχεα καλὰ περὶ χροΐ, 'γέντο δὲ δοῦρε,
'βῆ δ' ἴμεν' ἀστεροπῆι ἐναλίγκιοσ, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντοσ Ὀλύμπου, 243ᵇ = Δ 532
δεικνὺσ σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ ϝοι αὐγαί· 244ᵇ = X 27
ὣσ τοῦ χαλκὸσ ἔλαμπε περὶ στήθεσφι θέοντοσ. 245 = X 32
Μηριόνησ δ' ἄρα ϝοι θεράπων ἐὺσ ἀντεβόλησε
ἐγγὺσ ἔτι κλισίησ· μετὰ γὰρ δόρυ χάλκεον ἤιε
οἰσόμενοσ. τὸν δὲ προσέφη σθένοσ Ἰδομενῆοσ·
„Μηριόνη, Μόλου υἱὲ πόδασ ταχύ, φίλταθ' ἑταίρων,
τίπτ' ἦλθεσ πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;

224. οὔτε τινὰ] οὐδέ τινα l. a. ant.
225. ἀνδύεται] sic Ar., alii olim ἀδδύεται. Cf. Π 281 et § 10.
227. ἐνθάδ' Ἀχαιούσ] υἷασ Ἀχαιῶν A.
228. ἦσθα] ἔσσι Bentley.
229. ὅθι μεθιέντα ϝίδηαι] ὅτισ μεθίηισι πόνοιο Zen.
— ὅθι] ὅτε A C.
230. τε] δὲ pap. 782 Syr.
234. τισ] κεν pap. 732.
— μεθέηισι Syr.] μεθίηισι Ω (cf. § 122). Subiunctivus praes. neque huius verbi alibi extat apud Hom., neque verborum τίθημι ἵστημι δίδωμι.
237. δ' ἀρετὴ] δὲ βίη Zen. Aristoph.
— πέλετ' § 275] πέλει.
245. περὶ] ἐνὶ Zen. Aristoph. pap. 782.
— στήθεσφι G] -σσι Ω (cf. B 388).
246. θεράπων ἐὺσ] sic Ar., δουρὶ κλυτὸσ Zen. Aristoph.; litteras traditas θεραπωνεὺσ olim interpretabantur quidam.
247. ἤιε § 308] ἤιει.

ἠέ τι βέβλησαι, βέλεοσ δέ σε τείρει ἀκωκή;
ἠέ τιν' ἀγγελίην μετ' ἔμ' ἤλυθεσ; οὐδέ τοι αὐτὸσ
ἧσθαι ἐνὶ κλισίηισι λιλαίομαι, ἀλλὰ μάχεσθαι.“
τὸν δ' αὖ Μηριόνησ πεπνυμένοσ ἀντίον ηὔδα· 254 = 266 cf. *Π* 619
„ἔρχομαι, εἴ τί τοι ἔγχοσ ἐνὶ κλισίηισι λέλειπται,
οἰσόμενοσ· τό νυ γὰρ κατέϝαξ' ἐμόν, ὃ πρὶν ἔχεσκον,
ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντοσ.“
τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 259 = *Δ* 265
„δούρατα δ', αἴ κ' ἐθέληισθα, καὶ ἓν καὶ ϝείκοσι δήεισ
ἑσταότ' ἐν κλισίηι πρὸσ ἐνώπια παμφανάοντα, 261[b] = *Θ* 435
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυσμενέων ϝεκὰσ ἱστάμενοσ πολεμίζειν.
τῶι μοι δούρατά τ' ἔστι καὶ ἀσπίδεσ ὀμφαλόεσσαι
καὶ κόρυθεσ καὶ θώρηκεσ λαμπρὸν γανάοντεσ.“
τὸν δ' αὖ Μηριόνησ πεπνυμένοσ ἀντίον ηὔδα· 266 = 254
„καί τοι ἐμοὶ παρά τε κλισίηι καὶ νηΐ μελαίνηι 267 cf. *Λ* 329 *Κ* 74
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆσ,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270[b] = *Ξ* 155 cf. *Δ* 225
ἵσταμαι, ὁππότε νεῖκοσ ὀρώρηισι πτολέμοιο.
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενοσ, σὲ δὲ ϝίδμεναι αὐτὸν ὀίω.“
τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 274 = *Δ* 265
„ϝοῖδ' ἀρετὴν οἷόσ ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι; 275 cf. *ω* 407
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντεσ ἄριστοι
εἰσ λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαϝείδεται ἀνδρῶν, —

---

255 *Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,*
278 *ἔνθ' ὅ τε δειλὸσ ἀνὴρ ὅσ τ' ἄλκιμοσ ἐξεφαάνθη·*

---

251. *βέβλησαι* § 117] *βέβληαι.*

252. *τιν' ἀγγελίην* Bentley] *τευ ἀγγελίησ Ω*, *τευ (τε') ἀγγελίην* Buttmann. Cf. *Γ* 206.

255. Om. pap. 732 Syr. A C D T. Fortasse etiam versus 249 spurius est.

257. *κατέϝαξ' ἐμόν* Naber] *κατεάξαμεν* Ar. *Ω*, *κατεήξαμεν* Zen. (cf. vs. 166), *κατέαξα μὲν* l. a. in T.

260. *δ'*] *τ'* Syr., *γ'* C.

267. *παρά τε*] *πάρα τ' ἐν* (melius *πάρ' ἐνὶ*) Doederlein.

271. *ὀρώρηισι πτολέμοιο* Brandreth] *ὀρώρηται πολέμοιο*. Cf. § 284 et similis perfecti forma *ἐρρίγηισι Γ* 353; vHerwerden *ὀρίνηται* (cf. *τ* 377).

278. Del. Koeppen utpote proximi versus interpretamentum.

— *δειλὸσ*] neglecto *ϝ*, Christ *ὅσ ὁϝειλὸσ*, Nauck *ὅσ τε ὁϝειλὸσ ὅσ τ'*. Sed et vis adiectivi est insolita, hic enim *ignavum* significat (ut Att.), ceteris locis Homericis *miserum* (Att. *δείλαιον*).

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼσ ἄλλυδισ ἄλλει,
οὐδέ ϝοι ἀτρέμασ ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμόσ,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρουσ πόδασ ἵζει,
ἐν δέ τέ ϝοι κραδίη μεγάλα στέρνοισι πατάσσει
κῆρασ διομένωι, πάταγοσ δέ τε γίγνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῖ' οὔτ' ἂρ τρέπεται χρὼσ οὔτε τι λίην
ταρβέει, αἴ κε πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀράεται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῆι· —
οὐδέ κεν ἔνθα τεόν γε μένοσ καὶ χεῖρασ ὄνοιτο.
εἴ περ γὰρ καὶ βλῆιο πονεύμενοσ ἠὲ τυπείησ,
οὔ κεν ἐν αὐχέν' ὄπισθε πέσοι βέλοσ οὐδ' ἐνὶ νώτωι,
ἀλλά κεν ἢ στέρνων ἢ νηδύοσ ἀντιάσειε
πρόσσω ϝιεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣσ
ἑσταότεσ, μή πού τισ ὑπερφιάλωσ νεμεσήσηι·
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἑλέ' ὄβριμον ἔγχοσ."
ὣσ 'φάτο, Μηριόνησ δὲ θοῶι ἀτάλαντοσ Ἄρηϊ
καρπαλίμωσ κλισίηθεν ἀνείλετο χάλκεον ἔγχοσ,
'βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώσ.
οἷοσ δὲ βροτολοιγὸσ Ἄρησ πόλεμόνδε μέτεισι,
τῶι δὲ Φόβοσ φίλοσ υἱὸσ ἅμα κρατερὸσ καὶ ἀταρβὴσ
ἕσπετο, ὅσ τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· —
τὼ μὲν ἄρ' ἐκ Θρηΐκησ Ἐφύρουσ μέτα θωρήσσεσθον,
ἠὲ μετὰ Φλεγύασ μεγαλήτορασ· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδοσ ἔδωκαν· —
τοῖοι Μηριόνησ τε καὶ Ἰδομενεύσ, ἀγοὶ ἀνδρῶν,
ἤϊσαν εἰσ πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῶι.
τὸν καὶ Μηριόνησ πρότεροσ πρὸσ μῦθον ἔϝειπε·
„Δευκαλίδη, πῆι τ' ἂρ μέμονασ καταδύμεν' ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸσ στρατοῦ, ἢ ἀνὰ μέσσουσ,

279 cf. 284 *P* 738 φ 412 sq.^{a}
280^{b} cf. *I* 462
282^{b} cf. *H* 216 ψ 370
283^{b} cf. *K* 375
284 cf. 279
287^{b} cf. *Z* 502
292 = *Y* 214
292^{a} = ν 296 cf. *B* 435
295 = 328
295^{b} = 528
297 = 469
299 cf. γ 111
305^{b} cf. *Δ* 495
306 cf. *E* 632

---

285. ταρβέει, αἴ κε Menrad] ταρβεῖ ἐπειδάν. Cf. § 191 et 326 (ἐπειδάν †).

287. οὐδέ κεν] *οὔ κέ τισ? Cf. X 199 υ 88 ω 108 Aesch. Ag. 71.

288. καὶ pap. 732] κε *Ω* (cf. *E* 394), τε Bekker (cf. *B* 128).

— βλῆιο Bekker] βλῆο C, βλεῖο *Ω*. Cf. Atticum ἐμπλήίμην (Ar. Ach. 236 Lys. 235 etc.).

301. ἐκ Θρηΐκησ Ἐφύρουσ] εἰσ Ἐφύρουσ πόλεμον Pausan. IX 36 § 2.

— θωρήσσεσθον] -σσοντο Strab. 442 (cf. *Π* 218).

303. ἀμφοτέρων] -ροισ L.

ἦ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ϝέλπομαι οὕτωσ
δευέσθαι πολέμοιο κάρη κομάοντασ Ἀχαιούσ."
τὸν δ' αὖτ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἀντίον ηὔδα· 311 = *Δ* 265
„νηυσὶ μὲν ἐν μέσσηισιν ἀμυνέμεν εἰσὶ καὶ ἄλλοι,
Αἴαντέσ τε δύω Τεῦκρόσ θ', ὃσ ἄριστοσ Ἀχαιῶν
τοξοσύνηι, ἀγαθὸσ δὲ καὶ ἐν σταδίηι ὑσμίνηι·
οἵ μιν ἅδην ἐλάουσι καὶ ἐσσυμένον πολέμοιο. 315 cf. *Τ* 423
αἰπύ ϝοι ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένοσ καὶ χεῖρασ ἀάπτουσ 318ᵇ = *Η* 309
νῆασ ἐνιπρῆσαι, ὅτε μὴ αὐτόσ γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῆισι.
ἀνδρὶ δέ κ' οὐ ϝείξειε μέγασ Τελαμώνιοσ Αἴασ,
ὃσ θνητόσ τ' εἴη καὶ ἔδοι Δημήτεροσ ἀκτήν, 322ᵇ cf. *Φ* 76
χαλκῶι τε ῥηκτὸσ μεγάλοισί τε χερμαδίοισι. 323ᵇ = *Δ* 265
οὐδέ κ' Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειε
ἔν γ' αὐτοσταδίηι· ποσὶ δ' οὔ πωσ ἔστιν ἐρίζειν.
νῶϊν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
ϝείδομεν ἠέ τιν' εὖχοσ ὀρέξομεν ἠέ τισ ἥμιν." 327 cf. *Μ* 328
ὣσ 'φάτο, Μηριόνησ δὲ θοῶι ἀτάλαντοσ Ἄρηϊ 328 = 295
ἦρχ' ἴμεν', ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ἧι μιν ἄνωγε.
οἳ δ' ὡσ Ἰδομενῆα 'ϝίδον φλογὶ ϝείκελον ἀλκήν, 330ᵇ cf. *Σ* 154
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι, 331 cf. *Π* 279
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῶι πάντεσ ἔβησαν. 332 = *Δ* 460
τῶν δ' ὁμὸν ἵστατο νεῖκοσ ἐπὶ πρυμνῆισι νέεσσι. 333ᵇ = *Σ* 51 *Ο* 722 *Τ* 135
ὡσ δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι

---

316 *Ἕκτορα Πριαμίδην, εἰ καὶ μάλα καρτερόσ ἐστι.* 316ᵇ = *Ε* 410

---

309. *ποθι*] *ποτε* l. a. ant.

315. *ἐλάουσι* § 191] *ἐλόωσι* Ar. *Ω*, *ἑάσουσι* olim quidam, *satiabunt* interpretati, quod requiritur sane verbum; cum tamen explicari nequeat *ἐ-* (vel *ἑ-*), la Roche coniecit *ἄσουσι*. Cf. *Τ* 402, 423 (l. a. *Φ* 221 *Ω* 557) *ε* 290 et § 192¹. Tyrtaeus vulgatam sequitur (*ἐσ κόρον ἠλάσατε* fr. 11^{10}).

— *πολέμοιο*] *-μίζειν* Zen. (cf. *Λ* 717 *δ* 416).

316. Om. pap. 732 A C D T.

— *εἰ καὶ*] *καὶ εἰ* *Ω* (ut *π* 98, 116; cf. § 14 et *Ε* 410).

318. *κείνων*] sic Ar., *-νω* pap. 732 D (*ν* pro *νν*).

— *ἀάπτουσ*] sic Ar., *ἀέπτουσ* Aristoph. (cf. *Λ* 567).

329. *ἄνωγε* § 225] *ἀνώγει*.

331. *δαιδαλέοισι*] *μαρμαίροντασ* H (ut *Π* 279).

332. *αὐτῶι*] *αὐτῷ* Bentley.

333. *ὁμὸν*] *ὁμόσ'* l. a. ant. (ut vs. 337). Ceteris locis *ὁμόσ* apud Hom. est *unus idemque*.

334. *ὅθ' ὑπὸ*] *ὅτε που* vHerwerden (ut *Δ* 292; cf. *Ν* 795 *ε* 292 sq. al.).

ἤματι τῶι ὅτε τε πλείστη κόνισ ἀμφὶ κελεύθουσ,
οἵ δ' ἄμυδισ κονίησ μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣσ ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, 'μέμασαν δ' ἐνὶ θυμῶι
ἀλλήλουσ καθ' ὅμιλον ἐναιρέμεν' ὀξέι χαλκῶι.
ἔφριξεν δὲ μάχη φθισίμβροτοσ ἐγχείηισι — 339 cf. *Η* 62
μακρῆισ', ἃσ εἶχον ταμεσίχροασ· ὄσσε δ' ἄμερδε
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδισ. μάλα κε θρασυκάρδιοσ εἴη, — 343^{b} cf. *Κ* 41
ὃσ τότε γηθήσειε ϝιδὼν πόνον οὐδ' ἀκάχοιτο.
τὼ δ' ἀμφὶσ φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺσ μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι 'βούλετο νίκην, — 347 cf. *Η* 21
κυδαίνων Ἀχιλῆα πόδασ ταχύν· οὐδ' ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιῶν ϝιλιόθι πρό,
ἀλλὰ Θέτιν 'κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείουσ δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρηι ὑπεξαναδὺσ πολιῆσ ἁλόσ· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένουσ, Διὶ δὲ κρατερῶσ ἐνεμέσσα. — 353 = 16
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένοσ ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺσ πρότεροσ 'γεγόνει καὶ πλείον' ἐϝείδει. — 355 cf. *Τ* 219 *Φ* 440
τῶι ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
λάθρηι δ' αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ϝεϝοικώσ.
τὼ δ' ἔριδοσ κρατερῆσ καὶ ὁμοιίοο πτολέμοιο — 358^{b} = *Ο* 670 *Σ* 242
πεῖραρ ἐπαλλάξαντεσ ἐπ' ἀμφοτέροισ' ἐτάνυσσαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσε. — 360^{b} cf. *Ε* 176
ἔνθα, μεσαιπόλιόσ περ ἐών, Δαναοῖσι κελεύσασ
Ἰδομενεὺσ Τρώεσσιν ἐπάλμενοσ ἐν φόβον ὦρσε.

---

336. *δ'* Heyne] *τ'*.

346. *ἡρώεσσιν ἐτεύχετον* schol. h. l. et *Κ* 364] *-σσι τετεύχετον* vel *-χατο(ν)* *Ω*, an *-*σσιν ἔτευχον πήματα* (coll. l. a. *γ* 100)?

347. *ἄρα*] *ῥα* Ar. A.

348. *οὐδ' ὅ γε*] sic Aristoph., *οὐδέ τι* A (ut *I* 435). Cf. *M* 406.

349. *ὀλέσθαι*] *ὀλέσσαι* pap. 732 C. Cf. *M* 69 *T* 274 al.

— *Ἀχαιῶν* Bentley] *Ἀχαϊκόν*. Cf. *Α* 71.

350. Ar. —

— *υἱέα*] *υἱὸν*? Cf. § 78.

351. *ὀρόθυνε*] *ὤτρυνε* Zen. Aristoph.

356. *ἀμφαδίην* pap. 732^{1}] *-ηι* A C T.

358. *τὼ* Ar.] *τοὶ* Aristoph., sic (vel *οἵ*) *Ω*.

359. *ἀμφοτέροισ(ι)*] sic et *ἀλλήλοισι* Ar.

362. *Τρώεσσιν ἐπάλμενοσ* pap. 782 D T] *-εσσι μετάλμενοσ* A C, *-εσσ' ἐπιάλμενοσ*? Cf. *Θ* 85.

'πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα, 363b cf. Ο 438
ὅσ ῥα νέον πολέμοιο μετὰ κλέοσ εἰληλούθει,
ἤιτεε δὲ Πριάμοιο θυγατρῶν ϝεῖδοσ ἀρίστην 365 sq.a cf. Γ 124
Κασσάνδρην ἀνέϝεδνον, ὑπέσχετο δὲ μέγα ϝέργον,
ἐκ Τροίησ ἀϝέκοντασ ἀπωσέμεν υἷασ Ἀχαιῶν.
τῶι δ' ὁ γέρων Πρίαμοσ ὑπό τ' ἔσχετο καὶ κατένευσε 368b sq.a cf. δ 6 sq.
δωσέμεναι· ὃ δ' ἐμάρναθ', ὑποσχεσίῃσι πιθήσασ. 368b cf. Β 112
'Ιδομενεὺσ δ' αὐτοῖο 'τιτύσκετο δουρὶ φαεινῶι, 370b sq.a = 159 sq.
καὶ 'βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ 371b sq. = 397 sq.
χάλκεοσ ὃν 'φορέεσκε, μέσηι δ' ἐν γαστέρ' ἔπηξε.
'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο 'φώνησέν τε· 373 cf. Λ 449
„Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων, 374 cf. Θ 487
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεισ ὅσ' ὑπέστησ
Δαρδανίδηι Πριάμωι· ὃ δ' ὑπέσχετο θυγατέρα ϝήν.
καί κέ τοι ἧμεσ ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ' Ἀτρεΐδαο θυγατρῶν ϝεῖδοσ ἀρίστην 378b = Γ 124
Ἄργεοσ ἐξαγαγόντεσ ὀπυιέμεν, εἴ κε σὺν ἧμιν
Ϝιλίου ἐκπέρσηισ εὖ ναιόμενον πτολίεθρον. 380 cf. Λ 164
ἀλλ' ἕπε', ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισι
ἀμφὶ γάμωι, ἐπεὶ οὔ τοι ἐϝεδνωταὶ κακοί εἰμεν."
ὣσ ϝειπὼν ποδὸσ εἷλκε κατὰ κρατερὴν ὑσμίνην 383b = Ρ 289
ἥρωσ 'Ιδομενεύσ. τῶι δ' Ἄσιοσ ἦλθεν ἀμύντωρ
πεζὸσ πρόσθ' ἵππων, — τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχοσ θεράπων, — ὃ δ' ἐϝίετο θυμῶι
'Ιδομενῆα βαλεῖν· ὃ δέ μιν φθάμενοσ 'βάλε δουρὶ 387b cf. ι 449
λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 388b = Ο 342 Π [309 etc.
ἤριπε δ' ὡσ ὅτε τισ δρῦσ ἤριπεν ἢ ἀχερωῒσ 389-393 = Π 482 sqq.
ἠὲ πίτυσ βλωθρή, τήν τ' οὔρεσι τέκτονεσ ἄνδρεσ

---

363. Καβησόθεν ἔνδον ἐόντα] 'Εκάβησ νόθον υἱὸν ἐόντα Arg, ἐνδονέοντα (= κεκινημένον!) quidam interpretabantur olim; *Καβησόθι ϝοικί' (vel δώματ') ἔχοντα (coll. Ν 664)?

364. μετὰ] κατὰ Aristoph. (ut Pind. Pyth. IV 125).

366. ἀνέϝεδνον Bentley] ἀνάεδνον. Cf. Ι 146.

367. ἀπωσέμεν'] ἀνωσέμεν' Ar.

— Olim quidam subiungebant versum: φοίτων ἔνθα καὶ ἔνθα θοὰσ ἐπὶ νῆασ Ἀχαιῶν.

373. δ' ἐπηύξατο 'φώνησέν τε] δὲ κερτομέων ἔποσ ηὔδα l. a. ant.

374. αἰνίζομ'] αἰνίσσομ' Zen., αἰνίξομ' l. a. ant. (cf. Β 436).

380. Ϝιλίου] Ἴλιον pap. 732 (cf. Β 133).

381. συνώμεθα ποντοπόροισι] συνηόμεθ' ὠκυπόροισι Menrad (cf. Ν 58, 110 et § 122).

383. κατὰ] διὰ A C.

384. ἦλθεν ἀμύντωρ] ἦλθ' ἐπαμύντωρ Ar. T. Cf. Ξ 449 et v. l. Ο 540 π 263.

ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
ὧσ ὃ πρόσθ' ἵππων καὶ δίφρου 'κεῖτο τανυσθείσ,
βεβρυχώσ, κόνιοσ δεδραγμένοσ αἱματοέσσησ.
ἐκ δέ ϝοι ἡνίοχοσ 'πλήγη φρένασ ἃσ πάροσ εἶχε·
οὐδ' ὅ γ' ἐτόλμησεν δηΐων ὑπὸ χεῖρασ ἀλύξασ
ἂψ ἵππουσ στρέψαι, τὸν δ' Ἀντίλοχοσ μενεχάρμησ
δουρὶ μέσον 'περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ 397ᵃ = *H* 145, 397ᵇ sq. = 371 sq.
χάλκεοσ ὃν 'φορέεσκε, μέσηι δ' ἐν γαστέρ' ἔπηξε.
αὐτὰρ ὅ γ' ἀσθμαίνων ἐυϝεργέοσ ἔκπεσε δίφρου, 399 = *E* 585
ἵππουσ δ' Ἀντίλοχοσ, μεγαθύμου Νέστοροσ υἱόσ, 400ᵇ = *E* 565
ἐξέλασε Τρώων μετ' ἐυκνήμιδασ Ἀχαιούσ. 401 = *E* 324
Δηΐφοβοσ δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆοσ,
Ἀσίου ἀχνύμενοσ, καὶ ἀκόντισε δουρὶ φαεινῶι. 403ᵇ sq. = 183 sq.
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ
Ἰδομενεύσ· 'κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐϝίσηι,
τὴν ἄρ' ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῶι
δινωτὴν 'φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
τῆι ὕπο πᾶσ ἐϝάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχοσ, 408ᵇ = *X* 275
καρφαλέον δέ ϝοι ἀσπὶσ ἐπιθρέξαντοσ ἄυσε
ἔγχεοσ· οὐδ' ἅλιόν ῥα βαρείησ χειρὸσ ἀφῆκε, 410ᵇ = *Φ* 590
ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν, 411ᵇ sq. = *Λ* 578 sq.
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβοσ δ' ἔκπαγλον ἐπηύξατο, μακρὸν ἀύσασ· 413 sq. cf. *Ξ* 458 sq., 413 cf. 445 *Ξ* 478
„*οὐ μὰν αὖτ' ἄτιτοσ κεῖτ' Ἄσιοσ, ἀλλά ϝέ φημι*
εἰσ Ἄϊδόσ περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά ϝοι ὤπασα πομπόν.“
ὧσ ἔφατ', Ἀργείοισι δ' ἄχοσ 'γένετ' εὐξαμένοιο, 417 = *Ξ* 458, 486
Ἀντιλόχωι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· 418 cf. *Ξ* 459, 487, 418ᵇ = *P* 123
ἀλλ' οὐδ' ἀχνύμενόσ περ ἑϝοῖ' ἀμέλησεν ἑταίρου,
ἀλλὰ θέων περίβη καί ϝοι σάκοσ ἀμφεκάλυψε. 420 = *Θ* 331
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίϝηρεσ ἑταῖροι, 421-423 = *Θ* 332 sqq.
Μηκιστεύσ, Ἐχίοιο πάϊσ, καὶ δῖοσ Ἀλάστωρ,

---

399. *ὅ γ'*] *ὁ* Ar. (*δσ* § 15).
406. *γε* C D] *γ' ἐν* A T.
408. *τῆι*] *τῆι ῥ'* pap. 732.
409. *ἐπιθρέξαντοσ*] *ἐπιγράψαντοσ* Naber (coll. *Δ* 139 *N* 553 *Φ* 166). Cf. *Σ* 599 et 602 et § 310.
415. *ἰόντα*] sic Ar., *ἰόντα* T. Cf. *Δ* 277.
422. In marg. habet A.

νῆασ ἔπι γλαφυρὰσ ’φερέτην βαρέα στενάχοντα.
’Ιδομενεὺσ δ’ οὐ ’λῆγε μένοσ μέγα, ’ϝίετο δ’ αἰεὶ 424ᵃ cf. Φ 305
ἠέ τινα Τρώων ἐρεβεννῆι νυκτὶ καλύψαι, 425ᵇ cf. Ε 659
ἢ αὐτὸσ δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιῶν.
ἔνθ’ Αἰσυήταο διοτρεφέοσ φίλον υἱόν,
ἥρω’ Ἀλκάθοον, — γαμβρὸσ δ’ ἔεν Ἀγχίσαο, 428ᵇ cf. Λ 739
πρεσβυτάτην δ’ ὤπυιε θυγατρῶν, ‛Ιπποδάμειαν,
τὴν περὶ κῆρ’ ἐφίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρωι, πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο 431ᵇ cf. Π 808 β 158
κάλλεϊ καὶ ϝέργοισιν ἰδὲ φρεσί· τούνεκα καί μιν
γῆμεν ἀνὴρ ὄχ’ ἄριστοσ ἐνὶ Τροίηι εὐρείηι, —
τὸν τόθ’ ὑπ’ ’Ιδομενῆϊ Ποσειδάων ἐδάμασσε
θέλξασ ὄσσε φαεινά, ’πέδησε δὲ φαίδιμα γυῖα.
οὔτε γὰρ ἐξοπίσω φυγέμεν ’δύνατ’ οὔτ’ ἀλέασθαι,
ἀλλ’ ὥσ τε στήλην ἢ δένδρεον ὑψιπέτηλον 437ᵇ cf. δ 458ᵇ ι [588ᵃ
ἀτρέμασ ἑσταότα στῆθοσ μέσον οὔτασε δουρὶ 438ᵇ = Ο 523 Π 597
ἥρωσ ’Ιδομενεύσ, ’ρῆξεν δέ ϝοι ἀμφὶ χιτῶνα
χάλκεον, ὅσ ϝοι πρόσθεν ἀπὸ χροὸσ ἦρκε’ ὄλεθρον· 440 cf. Ο 534
δὴ τότε γ’ αὖον ἄυσεν ἐρεικόμενοσ περὶ δουρί.
’δούπησεν δὲ πεσών, δόρυ δ’ ἐν κραδίηι ἐπεπήγει,
ἅ ῥά ϝοι ἀσπαίρουσα καὶ οὐρίαχον ’πελέμιζε 443ᵇ cf. Π 612 [Ρ 528
ἔγχεοσ· ἔνθα δ’ ἔπειτ’ ἀφίει μένοσ ὄβριμοσ Ἄρησ. 444 = Π 613 Ρ 529
’Ιδομενεὺσ δ’ ἔκπαγλον ἐπηύξατο, μακρὸν ἀύσασ· 445 cf. 413
„Δηΐφοβ’, ἦ ἄρα δή τι ϝεϝίσκομεν ἄξιον εἶναι,
τρεῖσ ἑνὸσ ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτωσ.
δαιμόνι’, ἀλλὰ καὶ αὐτὸσ ἐναντίον ἵστασ’ ἐμεῖο, 448ᵇ cf. Ρ 31 Υ 197

---

423. στενάχοντα] sic Zen., -ντε Ar. A.
424. ’Ιδομενεὺσ] -νεῦσ quidam olim (cf. § 76). — ’λῆγε] παῦε Nauck (item Φ 305 χ 68).
426. Ἀχαιῶν G] -οῖσ Ω. Cf. § 60 et Π 75, 80 Φ 184.
428. ἥρω’] ἥρων l. a. ant.
433. ὄχ’ ἄριστοσ] cf. Δ 288.
— Olim quidam subiungebant versus: πρὶν Ἀντηνορίδασ τραφέμεν καὶ Πανθόου υἷασ | Πριαμίδασ θ’, οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισι, | <αὐτόν τ’ Αἰνείαν ἐπιείκελον ἀθανάτοισι, supplet Bekker> | ἕωσ (leg. ἧοσ, cf. § 323) ἔθ’ ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθοσ.
435. φαεινά] φαεινώ (quod expectatur, cf. Γ 18) C T; *φαεινώ, ἔδησε (coll. Ξ 73)?
440 sq. Postmodo videntur inserti: χαλκοχίτων sive *tunicam laminis aereis munitam gerens* aptum est epitheton, sed *tunica aerea* non est tunica.
443. (’)πελέμιζε(ν) Aristoph Ar. A] -ξεν Ω.
446. τι] sic Ar., τί σ’ T.
447. οὕτωσ] sic Ar., αὕτωσ Zen. Cf. Ν 810 Φ 106.
448. ἐναντίον A] -οσ Ω (cf. Ζ 54).

ὄφρα ϝίδηισ οἷοσ Ζηνὸσ γόνοσ ἐνθάδ' ἱκάνω·
ὃσ πρῶτον Μίνωα 'τέκε Κρήτηι ἐπίουρον,
Μίνωσ δ' αὖ 'τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἔμ' ἔτικτε, πολέσσ' ἄνδρεσσι ϝάνακτα 452 cf. Φ 188 452ᵃ = τ 181 cf. Ζ 206
Κρήτηι ἐν εὐρείηι, νῦν δ' ἐνθάδε νῆεσ ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσι."
ὣσ 'φάτο, Δηΐφοβοσ δὲ διάνδιχα 'μερμήριξε, 455ᵇ = Λ 189
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσασ ἢ πειρήσαιτο καὶ οἷοσ.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 458 = Ξ 23 Π 652 etc., cf. ε 474 κ 153
βήμεν' ἐπ' Αἰνείαν. τὸν δ' ὕστατον ηὗρεν ὁμίλου
ἑσταότ'· αἰεὶ γὰρ Πριάμωι ἐπεμήνιε δίωι,
οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι 'τίεσκε.
ἀγχόθι δ' ἱστάμενοσ ϝέπεα πτερόεντα προσηύδα· 462 = Δ 203
„Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ 463ᵃ = Ε 180
γαμβρῶι ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδοσ ἱκάνει.
ἀλλ' ἕπε', Ἀλκαθόωι ἐπαμύνομεν, ὅσ σε πάροσ περ
γαμβρὸσ ἐὼν ἔθρεψε δόμοισ' ἔνι τυτθὸν ἐόντα· 466ᵇ = Δ 223
τὸν δέ τοι 'Ιδομενεὺσ δουρὶ κλυτὸσ ἐξενάριξε."
ὣσ 'φάτο, τῶι δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε, 468 = Δ 208
·'βῆ δὲ μετ' 'Ιδομενῆα μέγα πτολέμοιο μεμηλώσ. 469 = 297
ἀλλ' οὐκ 'Ιδομενῆα φόβοσ 'λάβε τηλύγετον ὥσ,
ἀλλ' ἔμεν' ὡσ ὅτε τισ σῦσ οὔρεσιν ἀλκὶ πεποιθώσ,
ὅσ τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρωι ἐν οἰοπόλωι, φρίσσει δέ τε νῶτον ὕπερθε, 473ᵃ = Ρ 54
ὀφθαλμὼ δ' ἄρα ϝοι πυρὶ λάμπετον, αὐτὰρ ὀδόντασ
θήγει ἀλέξασθαι μεμαὼσ κύνασ ἠδὲ καὶ ἄνδρασ·
ὣσ ἔμεν' 'Ιδομενεὺσ δουρὶ κλυτὸσ — οὐδ' ὑπεχώρει —
Αἰνείαν ἐπιόντα βοηθόον. αὖε δ' ἑταίρουσ, 477ᵇ = Δ 461
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηΐπυρόν τε 478 cf. Ι 82 sq. 478ᵇ-480 = 92 sqq.

449. ϝίδηισ] sic (ἴδηισ) Zen., ἴδηι Ar. L (cf. Δ 203 et § 117).

450. ἐπίουρον] una voce Zen. Ar. Trypho Herodianus Ω, ἐπι οὖρον olim fuerunt qui scriberent.

452. πολέσσ'] *πολύσσ' (item Ρ 236, 308)? Cf. § 64 et 83.

456. ἢ Ar. A D] εἴ C T (cf. § 327).

462. ἀγχόθι δ'] cf. Β 172.

465. ἐπαμύνομεν] sic Ar., -νέμεν L. — περ] γε Ω (item Ρ 270); cf. v. l. Ο 256 Ρ 587 Χ 302 Ω 201.

475. ἀλέξασθαι] ἀλεξέμεναι Bekker (item Ο 565 Π 562 σ 62); aoristus ἠλεξάμην alibi non obvius.

477. βοηθόον A C] βοῆι θοὸν D T (cf. Ρ 481).

Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆσ.
τοὺσ ὅ γ' ἐποτρύνων ϝέπεα πτερόεντα προσηύδα·
„δεῦτε, φίλοι, καί μ' οἴωι ἀμύνετε, δέδϝια δ' αἰνῶσ
Αἰνείαν ἐπιόντα πόδασ ταχύν, ὅσ μοι ἔπεισι,
ὃσ μάλα καρτερόσ ἐστι μάχηι ἔνι φῶτασ ἐναίρειν·
καὶ δ' ἔχει ἥβησ ἄνθοσ, ὅ τε κράτοσ ἐστὶ μέγιστον. 484b = Ι 39
εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῶιδ' ἐπὶ θυμῶι, 485 cf. π 99 485b = ω 511
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτοσ ἠὲ φεροίμην.“ 486 cf. Σ 308
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἕνα φρεσὶ θυμὸν ἔχοντεσ
πλησίοι ἔστησαν σάκε' ὤμοισι κλίναντεσ. 488 = Δ 593
Αἰνείασ δ' ἑτέρωθεν ἐκέκλετο ϝοῖσ' ἑτάροισι, 489 cf. Ο 501
Δηΐφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ ϝοι ἅμ' ἡγεμόνεσ Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ', ὡσ εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν' ἐκ βοτάνησ, γάνυται δ' ἄρα τε φρένα ποιμήν. 493b cf. Θ 559
ὣσ Αἰνείαι θυμὸσ ἐνὶ στήθεσσ' ἐγεγήθει,
ὡσ 'ϝίδε λαῶν ϝέθνοσ ἐφεσπόμενον ἑϝοὶ αὐτῶι.
οἳ δ' ἀμφ' Ἀλκαθόωι αὐτοσχεδὸν ὡρμήθησαν 496 cf. 526 496b cf. Ρ 530
μακροῖσι ξυστοῖσι, περὶ στήθεσσι δὲ χαλκὸσ 497b sq.a cf. Φ 254 sq.
σμερδαλέον 'κονάβιζε τιτυσκομένων καθ' ὅμιλον 498a = Β 466
ἀλλήλων. δύο δ' ἄνδρεσ ἀρήϊοι ἔξοχον ἄλλων, 499-501 cf. Υ 158 sqq.
Αἰνείασ τε καὶ 'Ιδομενεύσ, ἀτάλαντοι Ἄρηϊ,
'ϝίεντ' ἀλλήλων ταμέμεν χρόα νηλέι χαλκῶι. 501 = Π 761
Αἰνείασ δὲ πρῶτοσ ἀκόντισεν 'Ιδομενῆοσ·
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ, 503 = 184
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίησ 504 sq. = Π 614 sq.
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆσ ἀπὸ χειρὸσ ὄρουσε.
'Ιδομενεὺσ δ' ἄρα Ϝοινόμαον 'βάλε γαστέρα μέσσην,
'ρῆξε δὲ θώρηκοσ γύαλον, διὰ δ' ἔντερα χαλκὸσ 507 sq. = Ρ 314 [sq.
ἤφυσ'· ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι. 507b sq.a cf. Ξ 517 508b = Δ 425
'Ιδομενεὺσ δ' ἐκ μὲν νέκυοσ δολιχόσκιον ἔγχοσ

---

480. Om. pap. 732 et olim alii multi (teste schol. T).
483. ὅσ] *ἧ?
484. ἐστὶ] ἀνδρὶ pap. 732.
485. ὁμηλικίη] ὁμηλικίηι pap. 732 A T, ὁμηλικίην Zen. D. — ἐπὶ Ar. A Syr.] ἐνὶ C T. Cf. π 99 ω 511 et Δ 55.
486. ἠὲ φεροίμην] ἤ κε φ. pap. 732 Syr.
495. ἐφεσπόμενον § 247] ἐπισπόμενον.
499. ἔξοχον] sic Ar., -οι C L.
502. πρῶτοσ] πρόσθεν Aristoph. (cf. Μ 40).

ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα 'δυνήσατο τεύχεα καλὰ   510 sq. = E 621 sq.
ὤμοιιν ἀφελέσθαι, ἐπείγετο γὰρ βελέεσσι.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἔεν ὁρμηθέντι,   512a = Ψ 627
οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑϝὸν βέλοσ οὔτ' ἀλέασθαι.
τῶι ῥα καὶ ἐν σταδίηι μὲν ἀμύνετο νηλεὲσ ἦμαρ,   514b = Δ 484
τρέσσαι δ' οὐκέτι ῥίμφα πόδεσ 'φέρον ἐκ πολέμοιο.   515b = P 700
τοῦ δὲ βάδην ἀπιόντοσ ἀκόντισε δουρὶ φαεινῶι   516b = Ξ 461
Δηΐφοβοσ· δὴ γάρ ϝοι ἔχεν κότον ἐμμενὲσ αἰεί.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον 'βάλε δουρί,   518a = Θ 311 sq.
υἱὸν Ἐνυαλίοιο, δι' ὤμου δ' ὄβριμον ἔγχοσ   519b sq. = Ξ 451
ἔσχεν· ὁ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.   520b = Δ 425
οὐδ' ἄρα πώ τι 'πέπυστο βριήπυοσ ὄβριμοσ Ἄρησ   521-524 cf. h. Ap. 97 sq.
υἷοσ ἑϝοῖο πεσόντοσ ἐνὶ κρατερῆι ὑσμίνηι,
ἀλλ' ὅ γ' ἄρ' ἄκρωι Ὀλύμπωι ὑπὸ χρυσέοισι νέφεσσι
ἧστο, Διὸσ βουλῆισι ϝεϝελμένοσ, ἔνθα περ ἄλλοι
ἀθάνατοι θεοὶ ἦσαν ἐϝεργόμενοι πολέμοιο.
οἳ δ' ἀμφ' Ἀσκαλάφωι αὐτοσχεδὸν ὡρμήθησαν·   526 cf. 496
Δηΐφοβοσ μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
ἥρπασε, Μηριόνησ δὲ θοῶι ἀτάλαντοσ Ἄρηϊ   528b = 295
δουρὶ βραχίον' ἔτυψεν ἐπάλμενοσ, ἐκ δ' ἄρα χειρὸσ
αὐλῶπισ τρυφάλεια χαμαὶ 'βόμβησε πεσοῦσα.   530b = σ 397 cf. Π 118
Μηριόνησ δ' ἐξαῦτισ ἐπάλμενοσ, αἰγυπιὸσ ὥσ,
ἐκϝέρυσε πρυμνοῖο βραχίονοσ ὄβριμον ἔγχοσ,
ἂψ δ' ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο. τὸν δὲ Πολίτησ   533a = Γ 32
αὐτοκασίγνητοσ, περὶ μέσσωι χεῖρε τιτήνασ,
ἐξῆγεν πολέμοιο δυσηχέοσ, ὄφρ' ἵκεθ' ἵππουσ   535b-538 = Ξ 429 sqq.
ὠκέασ, οἵ ϝοι ὄπισθε μάχησ ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντεσ·
οἳ τόν γε προτὶ ϝάστυ 'φέρον βαρέα στενάχοντα,
τειρόμενον, κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρόσ.
οἳ δ' ἄλλοι 'μάρναντο, βοὴ δ' ἄσβεστοσ ὀρώρει.   540 = 169
Αἰνείασ δ' Ἀφαρῆα Καλητορίδην ἐπορούσασ

---

510. ἄρ' ἔτ' ἄλλα] ἄρα τἆλλα l. a. ant. (cf. § 9).
523. ὑπὸ] ἐνὶ Syr.
526. Ἀσκαλάφωι] Ἀλκαθόωι (ut vs. 496) Syr.
535. πολέμοιο δυσηχέοσ] cf. B 686.
537. ποικίλ' ἔχοντεσ] -λα χαλκῶι D.
541. Αἰνείασ δ' l. a. ant.] ἔνθ' Αἰνέ͜ασ Ar. A, ἔνθ' Αἰνείασ Ω. Cf. E 390 et § 8.

λαιμὸν ἔτυψ', ἐπὶ ϝοὶ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶσ ἑάφθη 543a = χ 17 543b cf. Ξ 419
καὶ κόρυσ, ἀμφὶ δέ ϝοι θάνατοσ 'χύτο θυμορραίστησ. 544 cf. Π 414, 580
Ἀντίλοχοσ δὲ Θόωνα μεταστρεφθέντα δοκεύσασ
οὖτασ' ἐπαΐξασ, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσε,
ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲσ αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν, ὃ δ' ὕπτιοσ ἐν κονίηισι 548b sq. = Δ 522 sq.
κάππεσεν, ἄμφω χεῖρε φίλοισ' ἑτάροισι πετάσσασ.
Ἀντίλοχοσ δ' ἐπόρουσε, καὶ ἥιννυτο τεύχε' ἀπ' ὤμων 550b = Δ 580
παπταίνων· Τρῶεσ δὲ περισταδὸν ἄλλοθεν ἄλλοσ
οὔταζον σάκοσ εὐρὺ παναίολον, οὐδ' ἐδύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῶι
Ἀντιλόχου, περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστοροσ υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσι.
οὐ μὲν γάρ ποτ' ἄνευ δηΐων ἔεν, ἀλλὰ κατ' αὐτοὺσ
ἐστρέφετ'· οὐδέ ϝοι ἔγχοσ ἔχ' ἀτρέμασ, ἀλλὰ μάλ' αἰεὶ
σειόμενον 'ϝεϝέλικτο· 'τιτύσκετο δὲ φρεσὶ ϝῆισι
ἤ τε' ἀκοντίσσαι ἠὲ σχεδὸν ὁρμηθῆναι.
ἀλλ' οὐ 'λῆθ' Ἀδάμαντα τιτυσκόμενοσ καθ' ὅμιλον
Ἀσιάδην, ὅσ ϝ' οὖτα μέσον σάκοσ ὀξέι χαλκῶι
ἐγγύθεν ὁρμηθείσ· ἀμενήνωσεν δέ ϝοι αἰχμὴν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρασ.
καὶ τὸ μὲν αὐτόθ' ἔμειν', ὥσ τε σκῶλοσ πυρὶ καυστόσ, 564a cf. Ξ 119 δ 508
ἐν σάκε' Ἀντιλόχοιο, τὸ δ' ἥμισυ 'κεῖτ' ἐπὶ γαίησ·
ἂψ δ' ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο κῆρ' ἀλεείνων. 566 = Γ 32
Μηριόνησ δ' ἀπιόντα μεθεσπόμενοσ 'βάλε δουρὶ
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα

---

543. ἐκλίνθη] ἔκλινεν pap. 732.
— ἑάφθη] sic Ar., ἐ- Ammonius, ἰάφθη Nauck.
544. ϝοι] μιν locis parall.
— θυμορραίστησ Glaucus] θυμοραϊστήσ Ω (item Π 414, 580, 591 Σ 220). Verbi ῥαίειν diphthongus divelli nequit et in voce κυνοραίστησ certe (ρ 300) non divellitur. Cf. § 27.
546. ἀπὸ] sic Aristot. Hist. An. III 3 et Ar., διὰ Zen.
551. περισταδὸν] παρασταδὸν Zen. Aristoph.
557. ἐστρέφετ' § 191 et 248] στρωφᾶτ' Ω, στρὠφάετ' Schulze (coll. h. Cer. 48 Hes. Oper. 528). Cf. Ω 5.
558. 'ϝεϝέλικτο § 41[24]] ἐλέλικτο.
561. ϝ' Platt] οἱ Ω, ὅ ϝοι Bentley (cf. α 300).
564. σκῶλοσ ... καυστόσ] -λον ... -τόν Apoll. lex.
565. γαίησ] -ηι pap. 732 O L.
566. In margine D additur versus: πάντοσε παπταίνων μή τισ χρόα καλὸν ἐπαύρηι (= N 649).
567. μεθεσπόμενοσ § 247] μετασπόμενοσ.

'γίγνετ' Ἄρησ ἀλεγεινὸσ ὀιζυροῖσι βροτοῖσι.
ἔνθα ϝοι ἔγχοσ ἔπηξεν, ὃ δ' ἑσπόμενοσ περὶ δουρὶ 570ᵇ cf. *M* 395
ἤσπαιρ' ὡσ ὅτε βοῦσ, τόν τ' οὔρεσι βουκόλοι ἄνδρεσ
ϝιλλάσιν οὐκ ἐθέλοντα βίηι δήσαντεσ ἄγωσι·
ὣσ ὃ δαμεὶσ ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δϝήν, 573ᵇ = *Λ* 416
ὄφρα ϝοι ἐκ χροὸσ ἔγχοσ ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
ἥρωσ Μηριόνησ, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε. 575ᵇ = *Δ* 461
Δηΐπυρον δ' Ἕλενοσ ξίφεϊ σχεδὸν ἤλασε κόρσην 576ᵇ cf. *E* 584
Θρηϊκίωι μεγάλωι, ἀπὸ δὲ τρυφάλειαν ἄραξε.
ἣ μὲν ἀποπλαγχθεῖσα χαμαὶ 'πέσε, καί τισ Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλιιδομένην ἐκόμισσε·
τὸν δὲ κατ' ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε. 580 = *E* 659
Ἀτρεΐδην δ' ἄχοσ εἷλε, βοὴν ἀγαθὸν Μενέλαον,
'βῆ δ' ἐπαπειλήσασ Ἑλένωι ἥρωϊ ϝάνακτι,
ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἄνεῖλκε. 583ᵃ = *Γ* 423, 583ᵇ = *Δ* 375
τὼ δ' ἄρ' ὁμαρτήδην ὃ μὲν ἔγχεϊ ὀξυόεντι
'ϝίετ' ἀκοντίσσαι, ὃ δ' ἀπὸ νευρῆφιν ὀιστῶι. 585ᵃ = *Π* 359, 585ᵇ = *Φ* 113 cf. *O* 313
Πριαμίδησ μὲν ἔπειτα κατὰ στῆθοσ 'βάλεν ἰῶι
θώρηκοσ γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸσ ὀιστόσ. 586ᵇ = *Θ* 303, 587 cf. *E* 99
ὡσ δ' ὅτ' ἀπὸ πλατέοσ πτυόφιν μεγάλην κατ' ἀλωιὴν
θρώισκωσιν κύαμοι μελανόχροεσ ἢ ἐρέβινθοι
πνοιῆι ὕπο λιγυρῆι καὶ λικμητῆροσ ἐρωῆι, 590ᵃ = *Ψ* 215
ὣσ ἀπὸ θώρηκοσ Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶσ ϝεκὰσ ἔπτατο πικρὸσ ὀιστόσ.
Ἀτρεΐδησ δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸσ Μενέλαοσ,
τὴν ἔβαλ' ἧι ῥ' ἔχε τόξον ἐύξοον· ἐν δ' ἄρα τόξωι
ἀντικρὺ διὰ χειρὸσ ἐλήλατο χάλκεον ἔγχοσ.
ἂψ δ' ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο κῆρ' ἀλεείνων, 596 = *Γ* 32
χεῖρα παρακρεμάσασ· τὸ δ' ἐφείλκετο μείλινον ἔγχοσ.
καὶ τὸ μὲν ἐκ χειρὸσ 'ϝέρυσεν μεγάθυμοσ Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐυστρεφέ' οἰὸσ ἀώτωι, 599ᵇ = 716

570. δ' ἑσπόμενοσ] δὲ σχόμενοσ Gen. et l. a. in A.
572. ἄγωσι(ν) pap. 732 Gen.] ἄγουσιν *Ω*. Cf. vs. 589.
573. δαμεὶσ Lehrs (Ar.?)] τυπεὶσ. *Iactu* (vs. 567) Adamas percussus est.
580. *ὀφθαλμὼ] -μῶν. Cf. *E* 659.
584. ὁμαρτήδην Ar.] ἀμαρτήτην pap. 732, ὁμαρτήτην *Ω* (cf. § 195).
594. τὴν] τῆι Nauck.
— ἧι] sic Ar., ἣ C.
— ἐν ... τόξωι] ἐκ ... τόξου pap. 732.
599. ἐυστρεφέ'] sic (-φεῖ) Ar., ἐυστρόφωι *Ω* (item vs. 716). Cf. *O* 468.

σφενδόνηι, ἣν ἄρα ϝοι θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδροσ δ' ἰθὺσ Μενελάου κυδαλίμοιο
ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε, 602b = Ι 411
σοί, Μενέλαε, δαμήμεν' ἐν αἰνῆι δηϊοτῆτι.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 604 sq. = Δ 232 sq.
Ἀτρεΐδησ μὲν ἅμαρτε, παραὶ δέ ϝοι ἐτράπετ' ἔγχοσ,
Πείσανδροσ δὲ σάκοσ Μενελάου κυδαλίμοιο
οὔτασεν, οὐδὲ διὰ πρὸ 'δυνήσατο χαλκὸν ἐλάσσαι, — 607b = 647
ἔσχεθε γὰρ σάκοσ εὐρύ, — κατεκλάσθη δ' ἐνὶ καυλῶι
ἔγχοσ· ὃ δὲ φρεσὶ ϝῆισ' ἐχάρη καὶ ἐϝέλπετο νίκην.
Ἀτρεΐδησ δὲ ϝερυσσάμενοσ ξίφοσ ἀργυρόηλον 610 = Γ 361
ἆλτ' ἔπι Πεισάνδρωι, ὃ δ' ὑπ' ἀσπίδοσ εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνωι ἀμφὶ πελέκκωι,
μακρῶι, ἐὺ ξεστῶι· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
ἦ τοι ὃ μὲν κόρυθοσ φάλον ἤλασεν ἱπποδασείησ 614 cf. Δ 459 Π 338
ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προσιόντα μέτωπον
ῥινὸσ ὕπερ πυμάτησ· 'λάκε δ' ὀστέα, τὼ δέ ϝοι ὄσσε
πὰρ ποσὶν αἱματόεντε χαμαὶ 'πέσον ἐν κονίηισι,
ἰδνώθη δὲ πεσών. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων 618b = Π 503
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοσ ϝέποσ ηὔδα· 619 = Ρ 537 Φ [183
„λείψετέ θην οὕτω γε νέασ Δαναῶν ταχυπώλων, 619a cf. Η 146
Τρῶεσ ὑπερφίαλοι, δϝεινῆσ ἀκόρητοι ἀυτῆσ,
ἄλλησ μὲν λώβησ τε καὶ αἴσχεοσ οὐκ ἐπιδευεῖσ,
ἣν ἔμ' ἐλωβήσασθε, κακαὶ κύνεσ, οὐδέ τι θυμῶι
Ζηνὸσ ἐριβρεμέτεω χαλεπὴν ἐδϝείσατε μῆνιν
ξεινίου, ὅσ τέ ποθ' ὔμμι διαφθέρσει πόλιν αἰπήν
οἵ μεο κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μὰψ ὤιχεσθ' ἀνάγοντεσ, ἐπεὶ 'φιλέεσθε παρ' αὐτῆι·

608. ἴσχεθε] ἴσχετο pap. 782 T.

609. καὶ ἐϝέλπετο] μέγα δ' ἤλπετο Zen. (cf. Ο 539).

610. δὲ] καὶ pap. 782 (in fine igitur versus 609 sententiam non claudens).

— ξίφοσ ἀργυρόηλον] χείρεσσι μάχαιραν Zen.

611. καλὴν] καλῆσ Lehrs, ne epitheton ornans iungatur substantivo quod versum sequentem aperiat. Cf. Π 104 et 338.

613. ἐφίκοντο] sic Ar., ἐφικέσθην aut ἀφικέσθην Aristoph., ἀφίκοντο H (cf. Θ 202).

615. ὑπὸ] ὑπὲρ Apoll. lex.

617. αἱματόεντε schol. B T] -ντα Ω (cf. Γ 18).

— (')πέσον] sic Ar., πέσεν l. a. ant. (cf. Μ 466). Eadem est controversia Ο 714.

624. -τεω χαλεπὴν] *-ταο κακὴν? Cf. § 55.

625. αἰπήν] αὐτήν C.

626. κτήματα πολλὰ] -θ' ἅμ' αὐτῆι l. a. in A.

627. ὤιχεσθ' ἀνάγοντεσ] οἴχεσθον ἄγοντεσ Zen. (cf. § 52).

— παρ'] sic et περ Ar.

— αὐτῆι] αὐτῆσ D.

νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
πῦρ ὀλοὸν βαλέμεν, κτεῖναι δ' ἥρωασ Ἀχαιούσ. 629 cf. Θ 182 Ξ 47 O 702
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηοσ.
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένασ ἔμμεναι ἄλλων, 631ᵇ = P 171
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῆισι,
Τρωσίν, τῶν μένοσ αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδοσ κορέσασθαι ὁμοιίοο πτολέμοιο.
πάντων μὲν κόροσ ἐστί, καὶ ὕπνου καὶ φιλότητοσ
μολπῆσ τε γλυκερῆσ καὶ ἀμύμονοσ ὀρχηθμοῖο, 637 = ψ 145
τῶν πέρ τισ καὶ μᾶλλον ἐϝέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶεσ δὲ μάχησ ἀκόρητοι ἔασι."
  ὣσ ϝειπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸσ αἱματόεντα
συλήσασ ἑτάροισ' ἐδίδου Μενέλαοσ ἀμύμων,
αὐτὸσ δ' αὖτ' ἐξαῦτισ ἰὼν προμάχοισιν ἐμίχθη. 642 cf. E 134
  ἔνθα ϝοι υἱὸσ ἐπᾶλτο Πυλαιμένεοσ βασιλῆοσ,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλωι ἕπετο πτολεμίξων
εἰσ Τροίην, οὐδ' αὖτισ ἀφίκετο πατρίδα γαῖαν· 645 cf. O 706
ὅσ ῥα τότ' Ἀτρεΐδαο μέσον σάκοσ οὔτασε δουρὶ 646 cf. H 258 O 528
ἐγγύθεν, οὐδὲ διὰ πρὸ 'δυνήσατο χαλκὸν ἐλάσσαι, 647ᵇ = 607
ἂψ δ' ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο κῆρ' ἀλεείνων, 648 = Γ 32
πάντοσε παπταίνων, μή τισ χρόα χαλκῶι ἐπαύροι. 649ᵃ = P 674 cf X 24, 380
Μηριόνησ δ' ἀπιόντοσ ἵει χαλκήρε' ὀιστὸν
καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀιστὸσ
ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησε. 652 cf. Π 346 652ᵃ = E 67
ἑζόμενοσ δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥσ τε σκώληξ ἐπὶ γαίηι
'κεῖτο ταθείσ· ἐκ δ' αἷμα μέλαν 'ρέε, 'δεῦε δὲ γαῖαν. 655 = Φ 119
τὸν μὲν Παφλαγόνεσ μεγαλήτορεσ ἀμφεπένοντο,
εἰσ δίφρον δ' ἀνέσαντεσ ἄγον προτὶ Ϝίλιον ἱρὴν 657ᵃ cf. ξ 280

---

635. ὁμοιίοο § 59] -ίου.
637. Quidam olim damnabant (cf. Pind. Nem. VII 76).
638. εἶναι] *ἔσθαι? Cf. Ω 227.
643. Πυλαιμένεοσ] Κυλαιμένεοσ Zen. (ne vs. 658 cum E 576 pugnaret).
644. πτολεμίξων Gen.] πτολεμίζων Ω. Eadem varietas est O 179, praeterea cf. B 436.
649. ἐπαύροι Hermann] -ρηι.
651. ῥ'] ϝ' Brandreth (item Φ 591). Cf. O 445 Π 586.
652. κατὰ] διὰ A.
657. A quibusdam olim damnabatur. — ἀνέσαντεσ] ἀναθέντεσ Apoll. Rh.

ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ 'κίε δάκρυα λείβων,
ποινὴ δ' οὔ τισ παιδὸσ ἐγίγνετο τεθνηῶτοσ.
τοῦ δὲ Πάρισ μάλα θυμὸν ἀποκταμένοι' ἐχολώθη, 660 cf. Δ 494
ξεῖνοσ γάρ ϝοι ἔεν πολέσιν μετὰ Παφλαγόνεσσι·
τοῖ' ὅ γε χωόμενοσ προΐει χαλκήρε' ὀιστόν.
ἦν δέ τισ Εὐχήνωρ, Πολυϝίδου μάντιοσ υἱόσ,
ἀφνειόσ τ' ἀγαθόσ τε, Κορινθόθι ϝοικία ναίων, 664^{a} = Ρ 576
ὅσ ῥ' ἐὺ ϝειδὼσ κῆρ' ὀλοὴν ἐπὶ νηὸσ ἔβαινε.
πολλάκι γάρ ϝοι ἔϝειπε γέρων ἀγαθὸσ Πολύϝιδοσ
νούσωι ὕπ' ἀργαλέηι φθίσθαι ϝοῖσ' ἐν μεγάροισι
ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
τῶι ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῶι. [sq.
τὸν 'βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατοσ· ὦκα δὲ θυμὸσ 671 sq. = Π 606 671^{a} = Ρ 617
ὤιχετ' ἀπὸ μελέων, στυγερὸσ δ' ἄρα μιν σκότοσ εἷλε. 672^{b} = Ε 47
ὣσ οἳ μὲν 'μάρναντο δέμασ πυρὸσ αἰθομένοιο· 673 = Λ 596
Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διὶ φίλοσ, οὐδέ τι 'ϝείδει
ὅττι ῥά ϝοι νηῶν ἐπ' ἀριστερὰ 'δηϊόοντο
λαοὶ ὑπ' Ἀργείων· — τάχα κεν καὶ κῦδοσ Ἀχαιῶν
ἔπλετο, τοῖοσ γὰρ γαιήοχοσ ἐνοσίγαιοσ
ὤτρυν' Ἀργείουσ, πρὸσ δὲ σθένε' αὐτὸσ ἄμυνε· —
ἀλλ' ἔχεν ἧι τὰ πρῶτα πύλασ καὶ τεῖχοσ ἐσᾶλτο,
ῥηξάμενοσ Δαναῶν πυκινὰσ στίχασ ἀσπιστάων,
ἔνθ' ἔσαν Αἴαντόσ τε νέεσ καὶ Πρωτεσιλάου
θῖν' ἔφ' ἁλὸσ πολιῆσ ϝεϝρυμέναι· αὐτὰρ ὕπερθε 682^{a} = Δ 350
τεῖχοσ ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
ζαχραέεσ 'γίγνοντο μάχηι αὐτοί τε καὶ ἵπποι.
ἔνθα δὲ Βοιωτοὶ καὶ 'Ιάονεσ ἑλκεχίτωνεσ 685^{b} cf. h. Ap. 147
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντεσ 'Επειοὶ
σπουδῆι ἐπαΐσσοντα νεῶν ἔχον, οὐδ' ἐδύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ ϝείκελον Ἕκτορα δῖον·

---

658 sq. Aristoph. —, Ar. aut spurios censebat hos versus aut Harpalionis patrem non eum fuisse Pylaemenem qui commemoratur Ε 576, sed homonymum aliquem.
658. δέ] δ' οὐ l. a. ant. (cf. Ι 453).
663. ἦν δέ] ἦσκε? Cf. Ε 9.
668. νηυσίν] χερσίν pap. 782.
675. 'δηϊόοντο § 191] -όωντο. Cf. Γ 187.
676. κεν § 326] δ' ἄν.
684. μάχηι] -χησ Syr.

οἱ μὲν Ἀθηναίων προλελεγμένοι, ἐν δ' ἄρα τοῖσι
ἦρχ' υἱὸσ Πετεοῖο Μενεσθεύσ, οἱ δ' ἅμ' ἕποντο
Φείδασ τε Στιχίοσ τε Βίασ τ' ἐύσ· αὐτὰρ Ἐπειῶν
Φυλεΐδησ τε Μέγησ Ἀμφίων τε Δρακίοσ τε,
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμόσ τε Ποδάρκησ.
ἦ τοι ὃ μὲν νόθοσ υἱὸσ Ὀιλῆοσ θείοιο 694-697 = *Ο* 333 sqq.
ἦσκε, Μέδων, Αἴαντοσ ἀδελφεόσ, — αὐτὰρ ἔναιε
ἐν Φυλάκηι, γαίησ ἄπο πατρίδοσ, ἄνδρα κατακτὰσ
γνωτὸν μητρυιῆσ Ἐριώπιδοσ, ἣν ἔχ' Ὀιλεύσ, —
αὐτὰρ ὃ Ϝιφίκλοιο πάϊσ τοῦ Φυλακίδαο.
οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντεσ,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.

Αἴασ δ' οὐκέτι πάμπαν, Ὀιλῆοσ ταχὺσ υἱόσ,
ἵστατ' ἀπ' Αἴαντοσ Τελαμωνίου, οὐδ' ἠ βαιόν·
ἀλλ' ὥσ τ' ἐν νειῶι βόε ϝοίνοπε πηκτὸν ἄροτρον 703 cf. *Κ* 353 *ν* 32
ϝῖσον θυμὸν ἔχοντε τιταίνετον, — ἀμφὶ δ' ἄρα σφι 704ᵃ cf. *Ρ* 720
πρυμνοῖσιν κεράεσσι πολὺσ ἀνακηκίει ἱδρώσ· 705ᵇ cf. *Ψ* 507
τὼ μέν τε ζυγὸν οἶον ἐύξοον ἀμφὶσ ἐϝέργει
ϝιεμένω κατὰ ϝόλκα ταμεῖν ἐπὶ τέλσον ἀρούρησ· —
ὣσ τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιιν.
ἀλλ' ἦ τοι Τελαμωνιάδηι πολλοί τε καὶ ἐσθλοὶ
ἄλλοι ἕπονθ' ἕταροι, οἵ ϝοι σάκοσ ἐξεδέχοντο,
ὁππότε μιν κάματόσ τε καὶ ἱδρὼσ γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀιλεΐδηι μεγαλήτορι Λοκροὶ ἕποντο,
οὐ γάρ σφι σταδίηι ὑσμίνηι 'μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθασ χαλκήρεασ ἱπποδασείασ,
οὐδ' ἔχον ἀσπίδασ εὐκύκλουσ καὶ μείλινα δοῦρα,

---

690. *ἦρχ'*] scribendumne *ἦρχεν*? Cf. *Δ* 327 *Δ* 197 et § 17.
— *Πετεοῖο*] cf. *Β* 552.
691. *Βίασ τ' ἐύσ*] *καὶ Ἴασοσ* Nauck (coll. *Ο* 332).
692. *Μέγησ*] sic Ar., *Μέγησ τ'* Zen. (cf. *Τ* 239).
700. *Βοιωτῶν*] **-τοῖσ'*? cf. § 316[4].
702. *ἵστατ'*] *χάζετ'* Zen.
705. *ἀνακηκίει*] sic Ar., *ἀνεκήκιεν* (ut *Η* 262 *Ψ* 507) Syr.
707. *ϝόλκα* Fick] *ὦλκα* (item *σ* 375).
— *ταμεῖν* (*ταμέσθ'* Voss) *ἐπὶ* vHerwerden] *τέμ(ν)ει δέ τε Ω*, *τάμον δέ τε* Barnes. Cf. *Σ* 547 et Apoll. Rh. III 412.
710. *ἄλλοι* H L] *λαοὶ Ω*.
712. *οὐδ' ἄρ' Ὀιλεΐδηι* Knight] *οὐδ' ἄρ' Ὀϊλιάδηι* (*ἄρα Νηλιάδηι* D) *Ω*. *ἀλλ' οὐκ Ἰλιάδηι* Zen.; cf. *Β* 527 et *Μ* 365.
713. *σταδίηι — κῆρ*] *σταδίησ ὑσμίνησ ἔργα μέμηλε* Strab. 449, alii olim (*σταδίησ ὑσμίνησ*) *ἔργ' ἐμεμήλει* (cf. *Β* 614).

ἀλλ' ἄρα τόξοισιν καὶ ἐυστρεφέ' οἰὸσ ἀώτωι 716b = 599
Ϝίλιον εἷσ ἅμ' ἕποντο πεποιθότεσ, οἷσιν ἔπειτα 717a cf. λ 372 ∾ 117
ταρφέα βάλλοντεσ Τρώων 'ρήγνυντο φάλαγγασ.
δή ῥα τόθ' οἳ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισι
'μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῆι,
οἳ δ' ὄπιθεν βάλλοντεσ ἐλάνθανον· οὐδ' ἔτι χάρμησ
Τρῶεσ ἐμιμνήισκοντο, συνεκλόνεον γὰρ ὀιστοί.
ἔνθα κε λευγαλέωσ νηῶν ἄπο καὶ κλισιάων
Τρῶεσ ἐχώρησαν προτὶ Ϝίλιον ἠνεμόεσσαν,
εἰ μὴ Πολυδάμασ θρασὺν Ἕκτορα 'ϝεῖπε παραστάσ· 725 cf. *M* 60
„Ἕκτορ, ἀμήχανόσ ἐσσι παραρρητοῖσι πιθέσθαι, 726a cf. *K* 167b
οὕνεκά τοι περὶ 'δῶκε θεὸσ πολεμήϊα ϝέργα·
τούνεκα καὶ βουλῆι ἐθέλεισ περιϝίδμεναι ἄλλων.
ἀλλ' οὔ πωσ ἅμα πάντα δυνήσεαι αὐτὸσ ἑλέσθαι. 729a = *Δ* 320
ἄλλωι μὲν γὰρ ἔδωκε θεὸσ πολεμήϊα ϝέργα,
ἄλλωι δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύϝοπα Ζεὺσ
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πολῦσ ἐσάωσε, μάλιστα δέ τ' αὐτὸσ ἀνέγνω. 734b cf. ζ 185
αὐτὰρ ἐγὼ ϝερέω ὥσ μοι δοκεῖ ἔμμεν' ἄριστα. 735 = *I* 103
πάντηι γάρ σε περὶ στέφανοσ πολέμοιο δέδηε·
Τρῶεσ δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχοσ ἔβησαν, 737a = *E* 27
οἳ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἳ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντεσ κατὰ νῆασ.
ἀλλ' ἀναχασσάμενοσ κάλε' ἐνθάδε πάντασ ἀρίστουσ·
ἔνθα δέ κεν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν, 742 cf. *B* 175
αἴ κ' ἐθέλησι θεὸσ δόμεναι κράτοσ, ἤ κεν ἔπειτα

---

731 *ἄλλωι δ' ὀρχηστύν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν.*

---

716. *ἐυστρεφέ'*] *ἐυστρόφωι* Ω (cf. vs. 599). — *οἰὸσ ἀώτωι*] nimis dissimile est *ἐντέρωι οἰόσ*, eiusmodi tamen quid requiritur.

728. *περιϝίδμεναι*] *περιέμμεναι* G (ut *P* 171 al.).

729. *δυνήσεαι αὐτὸσ ἑλέσθαι*] *θεοὶ δόσαν ἀνθρώποισι* Ariston. ad *Δ* 320.

731. Om. Ar. A C D T, adiecisse dicitur Zenodotus Mallotes, afferunt Clemens Alexandr. Strom. 625 et Lucianus de salt. § 23.

732. *τιθεῖ νόον*] *νόον τιθεῖ* (aut *τίθει*) Aristoph. T.

733. *πολλοὶ*] *πολλὸν* Aristoph.

734. *πολῦσ* § 83] *πολεῖσ* (aut *πόλεισ*). — *τ'* Hermann] *κ'* (sive = *κε* sive = *καὶ*) Ar. Ω. Cf. ζ 185 et § 9.

741. *ἔνθα δέ κεν* Brandreth] *ἔνθεν δ' ἄν*. Cf. § 326.

πὰρ νηῶν ἔλθωμεν ἀπήμονεσ. ἦ γὰρ ἐγώ γε
δέδϝια μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρῆοσ, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἄατοσ πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχησ σχήσεσθαι ὀίω.“ 747b = I 655
ὣσ ’φάτο Πολυδάμασ, ’ϝάδε δ’ Ἕκτορι μῦθοσ ἀμύμων, 748 = M 80
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Πολυδάμαν, σὺ μὲν αὖθι ἐρύκακε πάντασ ἀρίστουσ,
αὐτὰρ ἐγὼ κεῖσ’ εἶμι καὶ ἀντιάω πολέμοιο· 752 = M 368
αἶψα δ’ ἐλεύσομαι αὖτισ, ἐπεί κ’ ἐὺ τοῖσ’ ἐπιτείλω.“ 753 cf. M 369
ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ϝεϝοικώσ,
κεκληγώσ, διὰ δὲ Τρώων ’πέτετ’ ἠδ’ ἐπικούρων.
οἳ δ’ εἰσ Πανθοΐδην ἀγαπήνορα Πολυδάμαντα
πάντεσ ἐπεσσεύοντ’, ἐπεὶ Ἕκτοροσ ἔκλυον αὐδήν.
αὐτὰρ ὃ Δηΐφοβόν τε βίην θ’ Ἑλένοιο ϝάνακτοσ 758 sq. cf. 770 sq. 758 cf. 781
Ἀσιάδην τ’ Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱὸν
’φοίτα’ ἀνὰ προμάχουσ διζήμενοσ, εἴ ποθ’ ἐφεύροι. 760b cf. Δ 88
τοὺσ δ’ ηὗρ’ οὐκέτι πάμπαν ἀπήμονασ οὐδ’ ἀνολέθρουσ·
ἀλλ’ οἳ μὲν δὴ νηυσὶν ἔπι πρυμνῆισιν Ἀχαιῶν
χερσὶν ὕπ’ Ἀργείων ’κέατο ψυχὰσ ὀλέσαντεσ, 763 = Ω 168 763a = Θ 359
οἳ δ’ ἐν τείχε’ ἔσαν βεβλημένοι οὐτάμενοί τε.
τὸν δὲ τάχ’ ηὗρε μάχησ ἐπ’ ἀριστερὰ δακρυοέσσησ
δῖον Ἀλέξανδρον, Ἑλένησ πόσιν ἠυκόμοιο, 766 cf. Γ 329
θαρσύνονθ’ ἑτάρουσ καὶ ἐποτρύνοντα μάχεσθαι. 767 sq.a = P 688 767 = P 117 [sq.
ἀγχόθι δ’ ἱστάμενοσ προσέφη αἰσχροῖσι ϝέπεσσι·
„Δύσπαρι, ϝεῖδοσ ἄριστε, γυναιμανέσ, ἠπεροπευτά, 769 = Γ 39
ποῦ τοι Δηΐφοβόσ τε βίη θ’ Ἑλένοιο ϝάνακτοσ 770 sq. cf. 758 sq.
Ἀσιάδησ τ’ Ἀδάμασ ἠδ’ Ἄσιοσ Ὑρτάκου υἱόσ;
ποῦ δέ τοι Ὀθρυονεύσ; νῦν ὤλετο πᾶσα κατ’ ἄκρησ
Ϝίλιοσ αἰπεινή· νῦν τοι σάοσ αἰπὺσ ὄλεθροσ.“ 773b = χ 28 cf. ε 305
τὸν δ’ αὖτε προσέϝειπεν Ἀλέξανδροσ θεοϝειδήσ·
„Ἕκτορ, ἐπεί τοι θυμὸσ ἀναίτιον αἰτιάεσθαι — 775b cf. Δ 654

---

749 αὐτίκα δ’ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, 749 = M 81

---

744. ἔλθωμεν A] -οιμεν Ω.
745. δέδϝια § 168] δείδω. — ἀποστήσωνται A T] ἀποτίσωνται (-ονται) Ω (cf. E 881).
748. ἀμύμων Barnes] ἀπήμων (cf. M 80).

749. In textu om. A H.
751. Πολυδάμαν § 21] Πουλυδάμα. Cf. Δ 86.
768. ἀγχόθι δ’] cf. B 172.
772. κατ’ ἄκρησ] quidam olim κατὰ κρῆσ. Cf. § 82.

ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, — ἐπεί μ᾽ οὐ πάμπαν ἀνάλκιδα ᾽γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρασ ἑταίρων,
ἐκ τοῦ δ᾽ ἐνθάδ᾽ ἐόντεσ ὁμιλέομεν Δαναοῖσι
νωλεμέωσ· ἕταροι δὲ κατέκταθεν, οὓσ σὺ μεταλλᾷσ.
οἴω Δηΐφοβόσ τε βίη θ᾽ Ἑλένοιο ϝάνακτοσ 781 cf. 758
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσι
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ᾽ ἤμυνε Κρονίων.
νῦν δ᾽ ἄρχ᾽ ὅππῃ σε κραδίη θυμόσ τε κελεύει·
ἧμεσ δ᾽ ἐμμεμαῶτεσ ἅμ᾽ ἑψόμεθ᾽, οὐδέ τί φημι 785 sq. = ψ 127 sq.
ἀλκῆσ δευήσεσθαι, ὅση δύναμίσ γε πάρεστι.
πὰρ δύναμιν δ᾽ οὐκ ἔστι καὶ ἐσσυμένον πολεμίζειν."
ὣσ ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένασ ἥρωσ. 788 = Z 61
᾽βὰν δ᾽ ἴμεν᾽ ἔνθα μάλιστα μάχη καὶ φύλοπισ ἦεν,
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμυν τ᾽ Ἀσκάνιόν τε Μόρυν θ᾽, υἷ᾽ Ἱπποτίωνοσ,
οἵ ῥ᾽ ἐξ Ἀσκανίησ ἐριβώλακοσ ἦλθον ἀμοιβοὶ
ἠόι τῇι προτέρῃι· τότε δὲ Ζεὺσ ὦρσε μάχεσθαι.
οἳ δ᾽ ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ᾽ ὑπὸ βροντῆσ πατρὸσ Διὸσ εἶσι πέδονδε,
θεσπεσίωι δ᾽ ὁμάδωι ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσησ,
κυρτὰ φαληριάοντα, πρὸ μέν τ᾽ ἄλλ᾽, αὐτὰρ ἐπ᾽ ἄλλα·
ὣσ Τρῶεσ πρὸ μὲν ἄλλοι ἀρηρότεσ, αὐτὰρ ἐπ᾽ ἄλλοι,
χαλκῶι μαρμαίροντεσ ἅμ᾽ ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ᾽ ἡγέετο βροτολοιγῶι ϝῖσοσ Ἄρηϊ, 802^b = Δ 295
Πριαμίδησ· πρὸ ϝέθεν δὲ ἔχ᾽ ἀσπίδα πάντοσ᾽ ἐϝίσην, 803 = 157
ῥινοῖσιν πυκινήν, πολλὸσ δ᾽ ἐπελήλατο χαλκόσ, 804^b cf. P 493
ἀμφὶ δέ ϝοι κροτάφοισι φαεινὴ ᾽σείετο πήληξ.

---

777. μ᾽ οὐ Par. 2767] οὐδέ με vel οὐδ᾽ ἐμὲ Ω. Cf. δ 352 et § 8.
785. δ᾽ ἐμμεμαῶτεσ Ar. A T] δὲ μεμαῶτεσ C D. Eadem controversia est P 735, 746 (X 143).
788. ἀδελφεόο § 59] -φειοῦ.
792. υἷ᾽] υἱὸν Z Strab. 565 (cf. § 17). — Strabo l. l. subiungit versum: Μυσῶν ἀγχεμάχων ἡγήτορα <καρτεροθύμων>. Cf. N 5 Ξ 512.
797. δ᾽] sic Ar., olim quidam om.
803. πρὸ ϝέθεν Herodian. Syr. A C] πρόσθεν D T (cf. N 157 Ψ 533). — δὲ ἔχ᾽] δ᾽ ἔχεν Ω.

πάντηι δ' ἀμφὶ φάλαγγασ ἐπειράετο προποδίζων,
εἴ πώσ ϝοι ϝείξειαν ὑπασπίδια προβιβάντι· 807b cf. Π 609
ἀλλ' οὐ σύγχεε θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 808 cf. Ι 8
Αἴασ δὲ πρῶτοσ προκαλέσσατο, μακρὰ βιβάσθων· 809b = Ο 676 Π 534
„δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δεδϝίσσεαι αὔτωσ
Ἀργεῖουσ; οὔ τοί τι μάχησ ἀδαήμονέσ εἰμεν,
ἀλλὰ Διὸσ μάστιγι κακῆι ἐδάμημεν Ἀχαιοί. 812 cf. Μ 37
ἦ θήν πού τοι θυμὸσ ἐϝέλπεται ἐξαλαπάξειν
νῆασ· ἄφαρ δέ τε χεῖρεσ ἀμυνέμεν' εἰσὶ καὶ ἧμιν.
ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλισ ὑμὴ
χερσὶν ὕφ' ἡμετέρηισι ϝαλοῦσά τε περθομένη τε. 816 = Β 374
σοὶ δ' αὐτῶι φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσηι Διὶ πατρὶ καὶ ἄλλοισ' ἀθανάτοισι 818 cf. Ζ 259
θάσσονασ ἱρήκων ἔμεναι καλλίτριχασ ἵππουσ,
οἵ σε πόλινδ' οἴσουσι κονίοντεσ πεδίοιο.“
ὣσ ἄρα ϝοι ϝειπόντι ἐπέπτατο δεξιὸσ ὄρνισ, 821 = ο 160, 525
αἰετὸσ ὑψιπέτησ· ἐπὶ δ' ἴαχε λαὸσ Ἀχαιῶν 822b cf. 834
θάρσυνοσ οἰωνῶι· ὃ δ' ἀμείβετο φαίδιμοσ Ἕκτωρ·
„Αἶαν ἁμαρτοϝεπέσ, βουγάϊε, ποῖον ἔϝειπεσ!
αἲ γὰρ ἐγὼν οὕτω γε Διὸσ πάϊσ αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡσ τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, 827 sq. = Θ 540 sq.
ὡσ νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργεῖοισι
πᾶσι μάλ'. ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσηισ 829 cf. χ 217
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεισ κύνασ ἠδ' οἰωνοὺσ 831 cf. Θ 379
δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.“ 832 = Θ 380
ὣσ ἄρα φωνήσασ ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο 833 sq.a = Μ 251 sq.
ϝηχῆι θεσπεσίηι, ἐπὶ δ' ἴαχε λαὸσ ὄπισθε. 834b cf. 822
Ἀργέιοι δ' ἑτέρωθεν ἐϝίϝαχον, οὐδ' ἐλάθοντο 835a = Η 419

807. προβιβάντι] -βῶντι Ω (cf. Γ 22). — Addebat Zen. versum: λίην γάρ σφιν πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῶι.

809. μακρὰ βιβάσθων] φώνησέν τε Syr.

810. αὔτωσ Ar. A D] οὕτωσ Syr. C T (cf. vs. 447).

822 et 834. ἴαχε] neglecto ϝ (item Ρ 723); *λαὸσ δ' ἐπεϝίϝαχ'?

824. ἁμαρτοϝεπέσ] ἀμετροϝεπέσ Barnes, an *ἀναρτοϝεπέσ (coll. ἀρτιϝεπήσ Χ 281 et ἄρτια βάζειν Ξ 92 ϑ 240)? — βουγάϊε] sic Ar., βουγήϊε Zen., βουκάϊε l. a. in T (hinc Nicander Theriac. 5 dixit βουκαῖοσ sensu *bubulci*). Cf. σ 79.

832. ἐπὶ] παρὰ l. a. in A.

835. ἐϝίϝαχον Heyne] ἐπίαχον.

ἀλκῆσ, ἀλλ' ἔμενον Τρώων ἐπιόντασ ἀρίστουσ.
ϝηχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸσ αὐγάσ.

Ξ

Νέστορα δ' οὐκ ἔλαθεν ϝιϝαχὴ πίνοντά περ ἔμπησ,
ἀλλ' Ἀσκληπιάδην ϝέπεα πτερόεντα προσηύδα·
„φράζεο, δῖε Μαχᾶον, ὅπωσ ἔσται τάδε ϝέργα· — 3 cf. Δ 14 3ᵇ = Β 252
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενοσ αἴθοπα ϝοῖνον,
εἰσ ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμοσ Ϝεκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα ϝίσομαι εἰσ περιωπήν." — 8ᵇ cf. Ψ 451 κ 146
ὣσ ϝειπὼν σάκοσ εἷλε τετυγμένον υἷοσ ἑϝοῖο,
κείμενον ἐν κλισίηι, Θρασυμήδεοσ ἱπποδάμοιο,
χαλκῶι παμφαῖνον· ὃ δ' ἔχ' ἀσπίδα πατρὸσ ἑϝοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχοσ, ἀκαχμένον ὀξέι χαλκῶι, — 12 = Κ 135
'στῆ δ' ἐκτὸσ κλισίησ, τάχα δ' εἴσϝιδε ϝέργον ἀϝεικέσ, — 13 cf. ν 197
τοὺσ μὲν ὀρινομένουσ, τοὺσ δὲ κλονέοντασ ὄπισθε, — 14 = Ο 7
Τρῶασ ὑπερθύμουσ· ἐρέριπτο δὲ τεῖχοσ Ἀχαιῶν.
ὡσ δ' ὅτε πορφύρηι πέλαγοσ μέγα κύματι κωφῶι
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα — 17ᵇ = Ο 620
αὔτωσ, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸσ οὖρον,
ὣσ ὁ γέρων ὥρμαινε δαϊζόμενοσ κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων
ἠὲ μετ' Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, — 23 = Ν 458
βήμεν' ἐπ' Ἀτρεΐδην. οἳ δ' ἀλλήλουσ ἐνάριζον
μαρνάμενοι· 'λάκε δέ σφι περὶ χροῒ χαλκὸσ ἀτειρὴσ
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. — 26 = Π 637 cf. Ν 147
Νέστορι δὲ ξύμβληντο διοτρεφέεσ βασιλῆεσ
πὰρ νηῶν ἀνιόντεσ, ὅσοι 'βεβλήατο χαλκῶι,

---

837. αὐγάσ] αὐλάσ l. a. in T (cf. δ 74).
5. πῖνε ... αἴθοπα ϝοῖνον] μίμνε ... ἐν κλισίηισι l. a. ant.
7. καὶ λούσηι] λούσῃ(ι) δ'(ἐ) D (cf. § 295).
8. ϝίσομαι § 201] εἴσομαι.
9. ἑϝοῖο] ἑῆοσ Eust.
16. πορφύρηι] sic Ar., -ρει Zen.
— κωφῶι] sic Ar., πηγῶι l. a. ant. (ut ε 388).
18. τε] sic Ar., τῇ(ι) Ambr. L 73, τὸ Knight (coll. Χ 221 ρ 525)..
— οὐδ' ἑτέρωσε Bekker] οὐδετέρωσε.

Τυδεΐδησ Ὀδυσεύσ τε καὶ Ἀτρεΐδησ Ἀγαμέμνων. 29 = 380
πολλὸν γὰρ ἀπάνευθε μάχησ ᾿ϝεϝρύατο νῆεσ
θῖν᾿ ἔφ᾿ ἁλὸσ πολιῆσ· τὰσ γὰρ πρώτασ πεδίονδε 31ᵃ = Λ 350
εἴρυσαν, αὐτὰρ τεῖχοσ ἐπὶ πρύμνησιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ᾿ εὐρύσ περ ἐὼν ἐδυνήσατο πάσασ
αἰγιαλὸσ νῆασ χαδέμεν, ᾿στείνοντο δὲ λαοί·
τῶι ῥα προκρόσσασ ᾿ϝέρυσαν, καὶ ᾿πλῆσαν ἁπάσησ
ἠϊόνοσ στόμα μακρόν, ὅσον συνεϝέργαθον ἄκραι.
τῶι ῥ᾿ οἵ γ᾿ ὀψείοντεσ ἀυτῆσ καὶ πολέμοιο,
ἔγχε᾿ ἐρειδόμενοι, ᾿κίον ἀθρόοι· ἤχνυτο δέ σφι 38ᵃ cf. Τ 49 κ 170
θυμὸσ ἐνὶ στήθεσσιν. ὃ δὲ ξύμβλητο γεραιόσ.
τὸν καὶ φωνήσασ προσέφη κρείων Ἀγαμέμνων·
„ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδοσ Ἀχαιῶν, 42 = Κ 87
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ᾿ ἀφικάνεισ;
δέδϝια μὴ δή μοι τελέσηι ϝέποσ ὄβριμοσ Ἕκτωρ,
ὅσ ποτ᾿ ἐπηπείλησεν ἐνὶ Τρώεσσ᾿ ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ϝίλιον ἀπονέεσθαι, [Ο 702
πρὶν πυρὶ νῆασ ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούσ. 47 cf. Θ 182 Ν 629
κεῖνοσ τῶσ ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 48 = Β 330
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐυκνήμιδεσ Ἀχαιοὶ
ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον, ὥσ περ Ἀχιλλεύσ,
οὐδ᾿ ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσι.“ 51 cf. Ο 722
τὸν δ᾿ ἠμείβετ᾿ ἔπειτα γερήνιοσ ἱππότα Νέστωρ· 51ᵇ = Ν 333

---

40 Νέστωρ, ᾿πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 40 cf. Ι 8

---

30. γὰρ] γάρ ῥ᾿ A C D (cf. Β 39).

32. πρύμνησιν] πρυμνῆισιν Crates.

36. μακρόν] πολλόν Zen. Aristoph., Ar. utrumque.

37. τῶι] τῆι Pallis.

— ὀψείοντεσ] sic Ar., ΟΨΑΙΟΝΤΕΣ Zen. (cf. Λ 56), i. e. ὄψ᾿ ἀΐοντεσ (aut ὀψὰ ἰόντεσ, sed hoc vitiosum); οὐ ψαύοντεσ lectionem Zenodoto tribuebat Ptolemaeus Epithetes. Speciem habet lectio ὄψ᾿ ἀΐοντεσ, in vulgata autem desiderativum (cf. § 144) et genitivus sunt notabilia, sed iure negavit Ar. credibile esse duces vulneratos *nunc demum sensisse* prope naves pugnari. — Et alia h. l. insolite dicta sunt.

40. Ar. —

— ᾿πτῆξε] sic (πτῆξε) Aristoph. Ar., πῆξε Zen. Dionys. Sid. Herodian., πλῆξε l. a.; insolitus hic est verbi πτῆξαι usus (cf. Χ 191 ϑ 190).

— Ἀχαιῶν] ἑταίρων Zen., ἀχεύων Leaf (cf. Soph. Oed. C. 1466 et v. l. Ι 612).

44. δέδϝια (δείδια) Aristoph. L] δείδω Ω. Cf. § 168.

45. ὅσ Aristoph. C] ὥσ Ω (cf. Χ 236 Ω 388).

48. τῶσ] ϑ᾿ ὥσ C D, γ᾿ ὥσ l. a. in A (cf. Β 330).

49. ὢ πόποι] non in introitu positum suspicionem movet (cf. Ν 95—124).

„ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλωσ
Ζεὺσ ὑψιβρεμέτησ αὐτὸσ παρατεκτήναιτο.
τεῖχοσ μὲν γὰρ δὴ κατερήριπεν, ὧι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι, 56 = 68 cf. H 338
οἳ δ' ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσι
νωλεμέσ, οὐδέ κ' ἔτι γνοίησ, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣσ ἐπιμὶξ κτείνονται, ἀυτὴ δ' οὐρανὸν ἵκει. 60[b] cf. B 153
ἥμεσ δὲ φραζώμεθ' ὅπωσ ἔσται τάδε ϝέργα, 61 = Δ 14
εἴ τι νόοσ ῥέξει· πόλεμον δ' οὐχ ὔμι κελεύω
δύμεναι· οὐ γάρ πωσ βεβλημένον ἔστι μάχεσθαι.“
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῆισι μάχονται,
τεῖχοσ δ' οὐκ ἔχραισμε τετυγμένον οὐδέ τι τάφροσ,
ἧι ἔπι πόλλ' ἔπαθον Δαναοί, 'ϝέλποντο δὲ θυμῶι
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι, 68 = 56
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι. 69 = B 116
'ϝείδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνε,
ϝοῖδα δὲ νῦν, ὅτε τοὺσ μὲν ὁμῶσ μακάρεσσι θεοῖσι
κυδάνει, ἁμέτερον δὲ μένοσ καὶ χεῖρασ ἔδησε. 73[b] cf. Z 502
ἀλλ' ἄγεθ', ὣσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 74 = B 139
νῆεσ ὅσαι πρῶται ϝεϝρύαται ἄγχι θαλάσσησ, 75[a] cf. O 654
ἕλκωμεν, πάσασ δὲ ϝερύσσομεν εἰσ ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσ ὅ κεν ἔλθηι 77[a] cf. δ 785 θ 55
νὺξ ἀμβρότη, αἴ κεν τῆι ἀπόσχωνται πολέμοιο 78[b] sq.[a] cf. Δ 799 sq.
Τρῶεσ· ἔπειτα δέ κεν ϝερυσαίμεθα νῆασ ἀπάσασ.
οὐ γάρ τισ νέμεσισ φυγέμεν κακόν, οὐδ' ἀνὰ νύκτα.

---

70 νωνύμνουσ ἀπολέσθαι ἀπ' Ἄργεοσ ἐνθάδ' Ἀχαιούσ. 70 = M 70

---

58. γνοίησ] γνοίη Aristoph.

62. ῥέξει] sic Ar., γ' ἔρξει L, sic et δ' ἔρξει l. a. ant. (cf. § 224[2]).

— *οὐχ ὔμι] οὐκ ἄμμε (nos ambos) Ω, οὐκ ὔμμε Barnes (cf. § 92). Requiritur numerus pluralis pronominis personae 2[ae], casus autem dativus recte habet (cf. e. g. Z 491 ο 93).

67. ἧι] sic et οἷσ Ar.

70. Versum molestum (nam parum concinit cum vs. 74 sqq.) e N 227 huc invectum om. A[1] C[1] D.

72. ὅτε Ar. T L] ὅτι Ω.

75. νῆεσ A C] νῆασ Ω.

78. ἀμβρότη § 28] ἀβρότη. Cf. Bacchyl. XVII 42: ἀμβρότοι' ἐραννὸν ἀοῦσ φάοσ.

— αἴ (εἴ) κεν Lips. Par. 2767] ἣν καὶ Ω. Cf. § 326.

80. ἀνὰ νύκτα] ὑπαλύξαι Max. Tyr. XLI 3 (ut Θ 243 M 327 δ 512 μ 216).

βέλτερον ὃσ φεύγων προφύγηι κακὸν ἠὲ ϝαλώηι."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πολύμητισ Ὀδυσσεύσ· 82 sq. = Δ 349 sq.
„Ἀτρεΐδη, ποῖόν σε ϝέποσ 'φύγεν ἕρκοσ ὀδόντων.
οὐλόμεν', αἴθ' ὤφειλεσ ἀϝεικελίωι στρατῶι ἄλλωι
σημαίνειν, μηδ' ἧμι ϝανασσέμεν', οἷσιν ἄρα Ζεὺσ
ἐκ νεότητοσ ἔδωκε καὶ εἰσ γῆρασ τολυπεύειν
ἀργαλέουσ πολέμουσ, ὄφρα φθιόμεσθα ϝέκαστοσ.
οὕτω δὴ μέμονασ Τρώων πόλιν εὐρυάγυιαν
καλλείπειν, ἧσ εἵνεκ' ὀιζύομεν κακὰ πολλά;
σίγαε, μή τισ ἔτ' ἄλλοσ Ἀχαιῶν τοῦτον ἀκούσηι 90 cf. ξ 493
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο, 90ᵃ cf. τ 486
ὅσ τισ ἐπίσταιτο ϝῆισι φρεσὶν ἄρτια βάζειν 92 = Θ 240
σκηπτόοχόσ τ' εἴη, καί ϝοι πειθοίατο λαοὶ 93ᵇ = Μ 226
τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισι ϝανάσσεισ.
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένασ, οἷον ἔϝειπεσ, 95 = Ρ 173
ὃσ κέλεαι πολέμοιο συνεσταότοσ καὶ ἀυτῆσ
νῆασ ἐυσσέλμουσ ἅλαδ' ἑλκέμεν', ὄφρ' ἔτι μᾶλλον 97ᵃ = 106 cf. Ι 683
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπησ,
ἧμιν δ' αἰπὺσ ὄλεθροσ ἐπιρρέπηι. οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμησ.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."
τὸν δ' ἠμείβετ' ἔπειτα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ Ὀδυσεῦ, μάλα πώσ με καθίκεο θυμὸν ἐνιπῆι
ἀργαλέηι· ἀτὰρ οὐ μὲν ἐγὼν ἀϝέκοντασ ἄνωγα
νῆασ ἐυσσέλμουσ ἅλαδ' ἑλκέμεν υἷασ Ἀχαιῶν. 106ᵃ = 97
νῦν δ' εἴη ὃσ τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,

---

84. ὤφειλεσ § 273] ὤφελλεσ.
— ἀ(ϝ)εικελίωι στρατῶι ἄλλωι Nauck] -λίου στρατοῦ ἄλλου Ω, quam lectionem parum tuetur analogia verborum ἄρχειν, ϝανάσσειν, ἡγεῖσθαι modo genitivo modo dativo iunctorum.

89. *καλλείπειν] καλλείψειν Ω, ἐκπέρσειν Zen. (apte, si ἐκπέρσαι legas; sed coniectura esse videtur). Cf. Β 544.

90. ἔτ' Vrat.] τ' Ω (om. A[1] L), item τ 486. Cf. Ρ 586.

91. διὰ] ἀνὰ Nauck (coll. Β 250).

95. Aristoph. Ar. —
— σε(') Zen.] σευ Ω; item Ρ 173 (cf. Ξ 87 et § 92).

98. ἐπικρατέουσι] ἐελδομένοισι Plat. Leg. 706 e.

100. πόλεμον] πολέμου Plat. l. l.

101. ἀποπαπτανέουσιν Plat. l. l. L] ἀποπταν-έουσιν Ω.

102. κε] σε Barnes.
— ὄρχαμε λαῶν] οἷ' ἀγορεύεισ Plat. l. l.

ἢ νέοσ ἠὲ παλαιόσ· ἐμοὶ δέ κε ϝασμένωι εἴη.“
τοῖσι δὲ καὶ μετέϝειπε βοὴν ἀγαθὸσ Διομήδησ·
„ἐγγὺσ ἀνήρ, — οὐ δϝηθὰ ματεύσομεν! — αἴ κ᾿ ἐθέλητε
πείθεσθαι, καὶ μή τι κότωι ἀγάσησθε Ϝέκαστοσ,
οὕνεκα δὴ γενεῆφι νεώτατόσ εἰμι μεθ᾿ ὕμιν·
πατρὸσ δ᾿ ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένοσ εὔχομαι εἶναι, 113 cf. φ 335
Τυδέοσ, ὃν Θήβηισι χυτὴ κατὰ γαῖα καλύπτει. 114ᵇ cf. Z 464
Πορθέι γὰρ τρεῖσ παῖδεσ ἀμύμονεσ ἐξεγένοντο, 115 cf. Υ 231
᾿ϝοίκεον δ᾿ ἐν Πλευρῶνι καὶ αἰπεινῆι Καλυδῶνι, 116ᵇ = N 217
Ἄγριοσ ἠδὲ Μέλασ, τρίτατοσ δ᾿ ἔεν ἱππότα Ϝοινεύσ,
πατρὸσ ἐμοῖο πατήρ· ἀρετῆι δ᾿ ἔεν ἔξοχοσ αὐτῶν. 118ᵃ = τ 180
ἀλλ᾿ ὃ μὲν αὐτόθ᾿ ἔμεινε, πατὴρ δ᾿ ἐμὸσ Ἄργε᾿ ἐνάσθη 119ᵃ cf. N 564
πλαγχθείσ, — ὣσ γάρ που Ζεὺσ ἤθελε καὶ θεοὶ ἄλλοι, —
Ἀδρήστοιο δ᾿ ἔγημε θυγατρῶν, ᾿ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ϝάλισ δέ ϝοι ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίσ,
πολλὰ δέ ϝοι πρόβατ᾿ ἦσκε· ᾿κέκαστο δὲ πάντασ Ἀχαιοὺσ
ἐγχείηι· τὰ δὲ μέλλετ᾿ ἀκουέμεν᾿, ὡσ ἐτεόν περ. 125 cf. δ 94
τῶι οὔ κέν με γένοσ γε κακὸν καὶ ἀνάλκιδα φάντεσ
μῦθον ἀτιμάσσαιτε πεφασμένον, ὅν κ᾿ ἐὺ ϝείπω.
δεῦτ᾿ ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκηι·
ἔνθα δ᾿ ἔπειτ᾿ αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτοσ
ἐκ βελέων, μή πού τισ ἐφ᾿ ἕλκεϊ ἕλκοσ ἄρηται,
ἄλλουσ δ᾿ ὀτρύνοντεσ ἐνήσομεν, οἳ τὸ πάροσ περ
θυμῶι ϝῆρα φέροντεσ ἀφεστᾶσ᾿ οὐδὲ μάχονται.“
ὣσ ἔφαθ᾿, οἳ δ᾿ ἄρα τοῦ μάλα μὲν ᾿κλύον ἠδ᾿ ἐπίθοντο· 133 = H 379
᾿βὰν δ᾿ ἴμεν᾿, ἦρχε δ᾿ ἄρα σφι ϝάναξ ἀνδρῶν Ἀγαμέμνων. 134ᵃ cf. 384
οὐδ᾿ ἀλαοσκοπιὴν εἶχε κλυτὸσ ἐνοσίγαιοσ, 135 cf. K 515

---

111. *πείθεσθαι*] *ἐξείπω* Apoll. lex.
112. *νεώτατοσ*] sic Ar., *-τεροσ* L.
113. *ἀγαθοῦ καὶ ἐγὼ γένοσ*] *ἀγαθοῖο καὶ αἵματοσ* Clem. Alex. Paed. 127.
114. Zen. Ar. —, Aristoph. om.; cum vicinis (vs. 114—125) aut servandus videtur aut damnandus.
— *καλύπτει* A C] *κάλυψε* Ar. Ω (e Γ 243?).
116. *᾿ϝοίκεον*] *ναῖον* Nauck (cf. Δ 18).
118. *ἐμοῖο*] sic Ar., *ἐμεῖο* Zen. (cf. Apoll. Pron. 137 Synt. 164 Ammon. 49 Valcken., Anonym. 201 ibid.). Similis controversia est Τ 105 Ω 486 α 413 β 247 ζ 256, 290 λ 458 (ρ 111?) τ 180 υ 339.
— *αὐτῶν*] *ἄλλων* G H (cf. § 98).
119. *(ἔ)μεινε*] *μίμνε* T (cf. δ 508).
125. *ὡσ*] *εἰ* Ar.
127. *ἀτιμάσσαιτε* § 144] *-μήσαιτε*.
131. *ἐνήσομεν*] *ἀνήσομεν* l. a. in A T (cf. E 422), *ὀνήσομεν* Bentley.
135. *ἀλαοσκοπιὴν*] *ἀλαὸν σκοπιὴν* Zen., *ἀλαοσσκοπιὴν* A. Cf. K 515.

ἀλλὰ μετ' αὐτοὺσ ἦλθε παλαιῶι φωτὶ ϝεϝοικώσ,
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονοσ Ἀτρεΐδαο,
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Ἀτρεΐδη, νῦν δή ποθ' Ἀχιλλῆοσ ὀλοὸν κῆρ
γηθέει ἐν στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένοι', ἐπεὶ οὔ ϝοι ἔνι φρένεσ οὐδ' ἠ βαιαί. 141 cf. σ 355 φ 288
ἀλλ' ὃ μὲν ὣσ ἀπόλοιτο, θεὸσ δέ ϝε σιφλώσειε·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρεσ κοτέουσι,
ἀλλ' ἔτι που Τρώων ἡγήτορεσ ἠδὲ μέδοντεσ 144ᵇ = Κ 301
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸσ
φεύγονtασ προτὶ ϝάστυ νεῶν ἄπο καὶ κλισιάων.“ 146 cf. Δ 303
ὣσ ϝειπὼν μέγ' ἄυσεν, ἐπεσσυμένοσ πεδίοιο,
ὅσσον τ' ἐννεάχιλοι ἐϝίϝαχον ἢ δεκάχιλοι 148 sq. = Ε 860 sq.
ἀνέρεσ ἐν πολέμωι, ἔριδα ξυνάγοντεσ Ἄρηοσ·
τόσσην ἐκ στήθεσφι ϝόπα κρείων ἐνοσίχθων
ἧκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένοσ ὦρσε ϝεκάστωι 151ᵇ sq. = Λ 11 sq.
καρδίηι, ἄλληκτον πολεμιζέμεν' ἠδὲ μάχεσθαι.

Διὸσ ἀπάτη.

Ἥρη δ' εἰσέϝιδε χρυσόθρονοσ ὀφθαλμοῖσι
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν, 155ᵇ = Ν 270
αὐτοκασίγνητον καὶ δαέρα, 'χαῖρε δὲ θυμῶι·
Ζῆνα δ' ἐπ' ἀκροτάτησ κορυφῆσ πολυπίδακοσ Ἴδησ
ἥμενον εἰσέϝιδε, στυγερὸσ δέ ϝοι ἔπλετο θυμῶι.
'μερμήριξε δ' ἔπειτα βοῶπισ πότνια Ἥρη
ὅππωσ ἐξαπάφοιτο Διὸσ νόον αἰγιόχοιο.
ἥδε δέ ϝοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή, 161 = Β 5

---

136. Zen. addebat versum: ἀντιθέωι Φοίνικι ὀπάονι Πηλείωνοσ (cf. Ψ 360).
140. γηθέει ἐν Barnes] γηθεῖ ἐνί.
141. δερκομένοι' § 59] -νου G, -νωι Ω. Cf. Ι 635 sq. ζ 157.
142. Ar. —? (supervacuus dicitur in schol. T, recentioris autem aetatis esse verbum σιφλῶσαι).
145. αὐτὸσ] αὐτοὺσ T (cf. Ω 499).
148. τ'] sic Ar., δ' Aristoph. D. — ἐϝίϝαχον Bentley] ἐπίαχον.
151. ὦρσε Bentley] ἔμβαλ'. Cf. Λ 11.
157 sq. Om. Syr. (causa homoeoteleuton).
157. πολυπίδακοσ] sic Ar., πολυπιδάκου L. Cf. Ξ 307 Υ 59, 218 Ψ 117 et § 83[10].
158. Ar. —? (supervacuus dicitur in schol. T).
160. ὅππωσ] εἴ πωσ l. a. in T (cf. vs. 163).

ἐλθέμεν' εἰσ Ἴδην ἐὺ ἐντύνασαν ἓϝ' αὐτήν,
εἴ πωσ ἱμείραιτο παραδραθέμεν φιλότητι [266
ϝῆι χροιῆι, τῶι δ' ὕπνον ἀπήμονά τε λιαρόν τε 164b = ε 268 η
χεῦαι ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι. 165b cf. Θ 366
'βῆ δ' ἴμεν' εἰσ θάλαμον, τόν ϝοι φίλοσ υἱὸσ ἔτευξε 166b cf. 338
Ἥφαιστοσ, πυκινὰσ δὲ θύρασ σταθμοῖσιν ἐπῆρσε 167 = 339
κληῖδι κρυπτῆι· τὴν δ' οὐ θεὸσ ἄλλοσ ἄνοιγε.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρασ ἐπέθηκε φαεινάσ. 169 = h. Ven. 60; 169b cf. φ 45
ἀμβροσίηι μὲν πρῶτον ἀπὸ χροὸσ ἱμερόεντοσ
λύματα πάντ' ἐκάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίωι
ἀμβροσίωι ϝεδανῶι, τό ῥά ϝοι τεθυωμένον ἦεν· 172 = h. Ven. 63
τοῦ καὶ κινυμένοιο Διὸσ κατὰ χαλκοβατὲσ δῶ 173b cf. Α 426
ἔμπησ εἰσ γαῖάν τε καὶ οὐρανὸν ἷκετ' ἀυτμή.
τῶι ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτασ
πεξαμένη χερσὶ πλοκάμουσ ἔπλεξε φαεινοὺσ
καλοὺσ ἀμβροσίουσ ἐκ κράατοσ ἀθανάτοιο. 177b cf. Α 530a
ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ϝεανὸν 'ϝέσαθ', ὅν ϝοι Ἀθήνη
ἔξυσ' ἀσκήσασα, 'τίθει δ' ἐνὶ δαίδαλα πολλά·
χρυσείῃσ δ' ἐνετῆισι κατὰ στῆθοσ 'περονᾶτο.
'ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοισ' ἀραρυῖαν,
ἐν δ' ἄρα ἕρμαθ' ἕηκεν ἐὺ τρητοῖσι λοβοῖσι
τρίγληνα μορόεντα· χάρισ δ' ἀπελάμπετο πολλή. 183 = σ 298
κρηδέμνωι δ' ἐφύπερθε 'καλύψατο δῖα θεάων
καλῶι νηγατέωι· λευκὸν δ' ἔεν ἠέλιοσ ὥσ·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα. 186 = Β 44
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ 'θήκατο κόσμον, 187 cf. Η 207

---

162. ἓϝ' αὐτήν Knight] ἓ αὐτήν Gen. Apoll. Pron. 102, ἑαυτήν Ω, ἑωυτήν Zen. (cf. Ρ 551).
163. εἴ πωσ] ὅππωσ l. a. in A (cf. vs. 160).
165. χεῦαι vHerwerden] χεύηι Ω, χεύαι Naber (cf. § 118), χεύαιε βλεφάροισιν Leaf.
166. δ'] ῥ' Syr. (cf. vs. 188).
168. τὴν] τὸν pap. 732, τὰσ l. a. ant.
169. ἐπέθηκε] ἐπιθεῖσα Zen.
170. ἱμερόεντοσ] ἀθανάτοιο Plut. Mor. 693 b.
171. λίπ' ἐλαίωι] χρόα λευκὸν Athen. 688 d.
172. ϝεδανῶι] ἑανῶι pap. 732 Athen. 688 e, item codd. h. Ven. 63.
173. κατὰ Ar. L] ποτὶ Ω.
177. ἀμβροσίουσ] καὶ μεγάλουσ Zen. Aristoph.
181. ζώνην ... ἀραρυῖαν] -νηι ... -ρυίηι Ar. pap. 732 L.
182. δ' ἄρα] δέ οἱ Syr., δέ τ' ἄρ' Heyne. Cf. § 44b.
-- ἕρμαθ' ἕηκεν Knight] ἕρματα ἧκεν.
183. τρίγληνα μορόεντα] sic Ar., -ν' ἀμορόεντα quidam olim, μμοροεντα pap. 732 (ut vs. 186 λλιπαροισι), -ν' ἱμερόεντα Brandreth.
185. λευκὸν] λαμπρὸν l. a. in A.

'βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸσ μῦθον ἔϝειπε·
„ἦ ῥά κέ μοί τι πίθοιο, φίλον τέκοσ, ὅττι κε ϝείπω; 190ᵃ = Δ 93
ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῶι,
οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεισ;"
τὴν δ' ἠμείβετ' ἔπειτα Διὸσ θυγάτηρ Ἀφροδίτη· [721
„Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 194 = 243 cf. Ε
αὔδα ὅ τι φρονέεισ· τελέσαι δέ με θυμὸσ ἀνώγει, 195 sq. = Σ 426 sq. ε 89 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί."
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 197 cf. 300
„δὸσ νῦν μοι φιλότητα καὶ ἵμερον, ὧι τε σὺ πάντασ
δάμνασαι ἀθανάτουσ ἠδὲ θνητοὺσ ἀνθρώπουσ·
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίησ, 200ᵇ-202 = 301 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐὺ 'τρέφον ἠδ' ἀτίταλλον, 202ᵇ cf. Π 191 ε 354
δεξάμενοι Ῥείησ, ὅτε τε Κρόνον εὐρύϝοπα Ζεὺσ
γαίησ νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσησ.
τοὺσ εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω· 205-207 = 304 sqq.
ἤδη γὰρ δϝηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆσ καὶ φιλότητοσ, ἐπεὶ χόλοσ ἔμπεσε θυμῶι. 207ᵇ = Ι 436
εἰ κείνω γε ϝέπεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰσ εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην."
τὴν δ' αὖτε προσέϝειπε φιλομμειδὴσ Ἀφροδίτη·
„οὐκ ἔστ' οὐδὲ ϝέϝοικε τεὸν ϝέποσ ἀρνήσασθαι· 212 = ϑ 358
Ζηνὸσ γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνηισιν ἰαύεισ." 213 cf. λ 261
ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον, ἔνθα τέ ϝοι θελκτήρια πάντ' ἐτέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότησ, ἐν δ' ἵμεροσ, ἐν δ' ὀαριστὺσ

188. ῥ'] δ' pap. 782 H (cf. vs. 166).
190. ῥά κε] ραν (ῥ' ἄν) pap. 782, ῥά νυ Ω. Cf. Δ 93.
195. ἀνώγει L et l. a. in A] ἄνωγεν Ω. Cf. § 225.
196. ἐστί] ἔσται Cant., τελέσαι τὸ δὲ κ. τ. ἔσται Bentley.
198. νῦν μοι] μοι νῦν C D, δή μοι L.
199. δάμνασαι Bentley] δαμνᾶσ D, δαμνᾶι Ω, δάμνησ Brandreth. Cf. § 14, 296 et λ 221.
— ἠδὲ] τε ἰδὲ Nauck.
202. μ' ἐν] sic Ar. (?), με A C; cf. Θ 337.
203. Ῥείησ] Ῥείασ Aristoph. Ar. (cf. § 5).
208. κείνω] sic Ar., -νων Zen. Aristoph.
213. Aristoph. Ar. ——
215. τέ] δέ Ω. Cf. Θ 48.
— (ἐ)τέτυκτο] τέτυκται Lips. (cf. Ε 729).
216. ἐν δ' ὀαριστὺσ] ἠδ' ὀ. l. a. ant.

πάρφασισ, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων. 217b = Ι 554
τόν ῥά ϝοι ἔμβαλε χερσί, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„τῆ νῦν, τοῦτον ἱμάντα τεῶι ἐγκάτθεο κόλπωι 219 cf. ε 346 219b cf. 223 h. Cer. 287
ποικίλον, ὧι ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῆισι μενοινᾶισ.“
ὣσ 'φάτ', ἐμείδησεν δὲ βοῶπισ πότνια Ἥρη, 222 cf. Λ 595
μειδήσασα δ' ἔπειτα ἑϝῶι ἐγκάτθετο κόλπωι. 223b cf. 219 h. Cer. 287
ἡ μὲν ἔβη πρὸσ δῶμα Διὸσ θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀΐξασα 'λίπε ῥίον Οὐλύμποιο, 225 = Τ 114
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν 226a cf. ε 50
'σεύατ' ἐφ' ἱπποπόλων Θρηΐκων ὄρεα νιφόεντα,
ἀκροτάτασ κορυφάσ, οὐδὲ χθόνα 'μάρπτε ποδοῖιν·
ἐκ δ' Ἀθόοι' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντοσ.
ἔνθ' Ὕπνωι ξύμβλητο, κασιγνήτωι Θανάτοιο,
ἔν τ' ἄρα ϝοι 'φῦ χειρὶ ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 232 = Ζ 253
„Ὕπνε, ϝάναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ϝέποσ ἔκλυεσ ἠδ' ἔτι καὶ νῦν
πείθε'· ἐγὼ δέ κέ τοι ϝείδω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸσ ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύσεον· Ἥφαιστοσ δὲ ἐμὸσ πάϊσ ἀμφιγυήεισ
τεύξει ϝ' ἀσκήσασ, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει, 240 cf. τ 57
τῶι κεν ἐπὶ σχοίησ λιπαροὺσ πόδασ εἰλαπινάζων.“ 241b = ρ 410

---

217. φρονεόντων] -ντοσ Aristot. Eth. Nicom. VII 7.

221. γε νέεσθαι] sic Ar., γενέσθαι (= γενήσεσθαι!) Demetrius Ixion.

223. ἑϝῶι] μέσσωι Ar. (aut Zen.) A. Cf. τεῶι vs. 219.

227. 'σεύατ'] ἔσσυτ' l. a. in A.

— ἱπποπόλων] -νόμων l. a. in T, -κόμων l. a. in Lips.; cf. Ν 4.

229. ἐκ δ' Ἀθόοι' (-ωι') Menrad] ἐξ Ἀθόω δ'. Cf. § 62.

— ἐπὶ] ἐσ Zen. Aristoph.

231. Olim quidam subiungebant: ἐρχομένωι κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν.

235. ϝείδω χάριν § 160[7]] (ε)ἰδίω χάριν Ω, χάριν εἰδίω Ar.

236. ὑπ'] sic Aristoph. Ar., ἐπ' Zen.

239. δὲ vHerwerden] δέ κ' Ω, sic τεύξει (-ηι) vs. 240 pro subiunctivo habendum, futurum autem suadet quod sequitur ἥσει.

240. ϝ'] adiecit Brandreth (cf. § 14).

241. ἐπισχοίησ] ἐπισχοίασ Syr., ἐπίσχοιεσ Herodian. A C, quam lectionem e vetusta litteratura natam esse intellexit Alexander Cotyaeensis. Cf. § 114.

— Olim quidam addebant: αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντε ἴδηαι, | ἀγγεῖλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι (cf. vs. 354 sqq.).

τὴν δ' ἀπαμειβόμενοσ προσεφώνεε ϝήδυμοσ Ὕπνοσ·
„Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 243 = 194
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῖ', ὅσ περ γένεσισ πάντεσσι τέτυκται·
Ζηνὸσ δ' οὔ κεν ἐγώ γε Κρονίονοσ ἆσσον ἱκοίμην,
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτόσ γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἐφετμῆι σῆι ἐπίνυσσασ 249ᵃ = Α 590
ἤματι τῶι ὅτε κεῖνοσ ὑπέρθυμοσ Διὸσ υἱὸσ
ἔπλεε Ϝιλιόθεν, Τρώων πόλιν ἐξαλαπάξασ. 251ᵇ cf. γ 85
ἦ τοι ἐγὼ μὲν ἔθελξα Διὸσ νόον αἰγιόχοιο,
ϝήδυμοσ ἀμφιχυθείσ· σὺ δέ ϝοι κακὰ 'μήσαο θυμῶι, 253ᵃ = Ψ 63
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτασ, 254 cf. λ 400, 407 ω 110
καί μιν ἔπειτα Κόονδ' ἐὺ ναιομένην ἀπένεικασ, 255 = Ο 28
νόσφι φίλων πάντων. ὁ δ' ἐπεγρόμενοσ 'χαλέπαινε,
ῥιπτάζων κατὰ δῶμα θεούσ, ἐμὲ δ' ἔξοχα πάντων 257ᵇ = Ω 113
'ζήτεε· καί κέ μ' ἄϝιστον ἀπ' αἰθέροσ ἔμβαλε πόντωι,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.
τὴν ἱκόμην φεύγων, ὁ δ' ἐπαύσατο χωόμενόσ περ·
ἅζετο γὰρ μὴ Νυκτὶ θοῆι ἀποθύμια ϝέρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγασ ἀμήχανον ἄλλο τελέσσαι."
τὸν δ' αὖτε προσέϝειπε βοῶπισ πότνια Ἥρη·
„Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾶισ;
ἦ φὴσ ὣσ Τρώεσσιν ἀρηξέμεν εὐρύϝοπα Ζῆν

---

242 et 253. ϝήδυμοσ § 41[3]] νήδυμοσ.

245. κατευνήσαιμι καὶ ἂν] *κατευνήσαιμ', ἢ καὶ? Cf. § 326.

246. Crates addebat versum: ἀνδράσιν ἠδὲ θεοῖσ, πλείστην δ' ἐπὶ γαῖαν ἵησιν (Plut. Mor. 988 d).

249. ἄλλοτ' ἐφετμῆι σῆι ἐπίνυσσασ] sic scripsimus, ἄλλο τεῆι ἐπίνυσσεν ἐφετμῆι Zen., ἄλλοτε ἧι (i. e. ἄλλοθ' ἑϝῆι) ἐπίνυσσεν ἐφετμῆι Parmeniscus, ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ Ar.; codd. haec omnia (ἐπίνυσκεν Hesych., cf. Ο 10 et Aesch. Pers. 830), ἐπίνυσσασ coniecerat Nauck. Requiritur aoristus (cf. Α 591), minus autem placet ἐφετμὴ σὴ ἐπίνυσσε. In lectione Aristarchi ferri nequit ἄλλο pro ἄλλοτε (cf. Α 590 Υ 90; dissimiles sunt Χ 232 Ψ 454), in Parmenisci lectione ἐφετμὴ vox parum apta ad Iovis *minas* indicandas, Zenodoti lectio prorsus obscura.

252. ἔθελξα L] ἔλεξα Ω (cf. § 282).

255. Κόονδ' Callistratus C] Κόωνδ' Ω. Cf. Β 677.

258. 'ζήτεε] δίζετο vHerwerden (cf. § 200).

259. δμήτειρα θεῶν ἐσάωσε] ἐσάωσε θεῶν δμήτειρα vHerwerden.

— δμήτειρα] μήτειρα (!) Zen. Aristoph.

261. θοῆι] φίλῃι l. a. in T.

263. Olim quidam legebant: ὣσ φάτο, μείδησεν δὲ θεὰ λευκώλενοσ Ἥρη, | χειρί τέ μιν κατέρεξεν <ἔποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν>. Suppl. Nauck; cf. Α 361.

265. Ζῆν § 80] Ζῆ | ν'(α) Ar. Ω.

ὥσ Ἡρακλῆεοσ πέρι ’χώσατο, παιδὸσ ἐϝοῖο;
ἀλλ’ ἴθ’, ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων 267ᵇ = 275
δώω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν.“
ὥσ ’φάτ’, ἐχήρατο δ’ Ὕπνοσ, ἀμειβόμενοσ δὲ προσηύδα·
„ἄγρεε νῦν μοι ὄμοσσον ἀνάαστον Στυγὸσ ὕδωρ,
χειρὶ δὲ τῆι ἑτέρηι μὲν ἕλε χθόνα πουλυβότειραν,
τῆι δ’ ἑτέρηι ἅλα μαρμαρέην, ἵνα νῶῒν ἅπαντεσ
μάρτυροι ὦσ’ οἳ ἔνερθε θεοὶ Κρόνον ἀμφὶσ ἐόντεσ, 274 cf. Ο 225
ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων, 275ᵇ = 267
Πασιθέην, ἧσ τ’ αὐτὸσ ἐϝέλδομαι ἤματα πάντα.“ 276 cf. 269
ὥσ ἔφατ’, οὐδ’ ἀπίθησε θεὰ λευκώλενοσ Ἥρη, 277 = Ε 767
ὤμνυε δ’ ὡσ ἐκέλευε, θεοὺσ δ’ ὀνόμηνεν ἅπαντασ
τοὺσ ὑποταρταρίουσ, οἳ Τιτῆνεσ καλέονται.
αὐτὰρ ἐπεί ῥ’ ὄμοσέν τε ’τελεύτησέν τε τὸν ὅρκον, 280 = β 378 × 346 h. Ap. 89 cf. μ 304
τὼ ’βήτην Λήμνου τε καὶ Ἴμβρου ϝάστυ λιπόντε,
ἠέρα ϝεσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον. 282ᵇ = Ψ 501
Ἴδην δ’ ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν, 283 = Θ 47
Λεκτόν, ὅθι πρῶτον ’λιπέτην ἅλα· τὼ δ’ ἐπὶ χέρσου
’βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο ’σείετο ὕλη.
ἔνθ’ Ὕπνοσ μὲν ἔμεινε, πάροσ Διὸσ ὄσσε ϝιδέσθαι,
εἰσ ἐλάτην ἀναβὰσ περιμήκετον, ἣ τότ’ ἐν Ἴδηι
μακροτάτη πεφυυῖα δι’ ἠέροσ αἰθέρ’ ἵκανε·
ἔνθ’ ἧστ’ ὄζοισιν πεπυκασμένοσ ἐλατίνοισι,
ὄρνιθι λιγυρῆι ἐναλίγκιοσ, ἥν τ’ ἐν ὄρεσσι
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρεσ δὲ κύμινδιν.

---

269 Πασιθέην, ἧσ αἰὲν ἱμείρεαι ἤματα πάντα. 269 cf. 276 ι 210, 219

---

268. δώω vHerwerden] δώσω Ω. Nauck ἐγὼ δὲ τεῖν ... δώσω.

269. Add. H Eust.

270. (ἐ)χήρατο] ἥσατο Nauck (coll. ι 353).

271. ἀνάαστον] ἀάατον (vel ἄατον) Ω, ἀάαστον Dawes, ἀνάατον Goebel. Cf. φ 91 χ 5 et ἀάσχετοσ pro ἀνάνσχετοσ Ε 892 Ω 708.

274. μάρτυροι] sic Ar., -ρεσ Zen. (cf. § 63).

276. τ’] om. Zen. Aristoph. (cf. ι 210).

277. θεὰ λευκώλενοσ] βοῶπισ πότνια Syr. (cf. Ο 92).

279. Olim quidam addebant: ὤμνυε δ’ ἐκ πέτρησ <τό?> κατειβόμενον Στυγὸσ ὕδωρ (cf. Ο 37).

281. Λήμνου τε καὶ Ἴμβρου] Λῆμνόν τε καὶ Ἴμβρου pap. 732, Λήμνοιο κατὰ μέγα l. a. in T.

285. ὕπο (’)σείετο Zen. Aristoph. Ar. pap. 732] ὑπεσείετο Ω.

— ποδῶν ὕπο σείετο ὕλη] ἐσείετο ποσσὶν ὑφ’ ὕλη Brandreth (coll. Ν 19). Similis hiatus est ι 257.

287. περιμήκετον] περιμήκεα Nauck (coll. Ν 63 ι 487 al.), item ζ 103. Cf. πάχετοσ θ 187 ψ 191.

Ἥρη δὲ κραιπνῶσ προσεβήσετο Γάργαρον ἄκρον
Ἴδησ ὑψηλῆσ· ϝίδε δὲ νεφεληγερέτα Ζεύσ.
ὡσ δ' ἔϝιδ', ὥσ μιν ἔροσ πυκινὰσ φρένασ ἀμφεκάλυψε, 294ᵃ cf. Τ 16 Υ 424
οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι,
εἰσ εὐνὴν φοιτῶντε, φίλουσ λήθοντε τοκῆασ.
'στῆ δ' αὐτῆσ προπάροιθε, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 297 cf. Ω 286
„Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεισ; 298ᵇ cf. 309
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίησ.“ 299 cf. Ε 192
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 300 = 329 Τ 106 cf. Ξ 197
„ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίησ, 301ᵇ-303 = 200 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐὺ 'τρέφον ἠδ' ἀτίταλλον·
τοὺσ εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω. 304-306 = 205 sqq.
ἤδη γὰρ δϝηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆσ καὶ φιλότητοσ, ἐπεὶ χόλοσ ἔμπεσε θυμῶι.
ἵπποι δ' ἐν πρυμνωρείηι πολυπίδακοσ Ἴδησ
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν. [Cer. 48 308ᵇ = υ 98 h.
νῦν δὲ σεῖ' εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω, 309ᵇ cf. 298
μή πώσ μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῆι
οἴχωμαι πρὸσ δῶμα βαθυρρόου Ὠκεανοῖο.“
τὴν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ·
„Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπήομεν εὐνηθέντε. 314 sq. cf. Γ 441 sq.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶσ ἔροσ οὐδὲ γυναικὸσ
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶσ ἐδάμασσε,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίησ ἀλόχοιο,
ἣ 'τέκε Πειρίθοον θεόφιν μήστωρ' ἀτάλαντον· 318ᵇ cf. Η 366
οὐδ' ὅτε περ Δανάησ καλλισφύρου Ἀκρισιώνησ,

---

294. ἔροσ Syr.] ἔρωσ Ω. Cf. § 63.
295. οἷον] οἷοσ L.
— πρῶτόν περ Ar. A C] πρώτιστον Ω (-τα? cf. δ 577).
299. κ'] om. Zen. Aristoph.
303. μ' ἐν] με A C D (cf. vs. 202).
304—306. Zen. Ar. ——
306. Post hunc Syr. repetit vs. 208 sq.
307. πολυπίδακοσ Syr. T] -δάκου Ω (cf. vs. 157).
310. μετέπειτα] μετόπισθε Zen. Aristoph. D (in Iliade μετέπειτα †, in Odyssea κ 519 λ 27, 640 ξ 403).
314. εὐνηθέντε] -ντεσ Syr. D.
316. περιπροχυθεὶσ] περιπλεχθεὶσ Demetrius Ixion.
317—327. Aristoph. Ar. ——, frigidae eruditioni interpolatoris alicuius deberi rati. Cf. ξ 20 π 247—251. Sunt sane molesti, sed et alia hoc loco displicent.

ἣ 'τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικοσ κούρησ τηλεκλειτοῖο,
ἣ 'τέκε μοι Μίνωα καὶ ἀντίθεον 'Ραδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλησ οὐδ' Ἀλκμήνησ ἐνὶ Θήβηι,
ἥ ῥ' Ἡρακλέεα κρατερόφρονα 'γείνατο παῖδα,
ἣ δὲ Διώνυσον Σεμέλη 'τέκε, χάρμα βροτοῖσι·
οὐδ' ὅτε Δήμητροσ καλλιπλοκάμοιο ϝανάσσησ,
οὐδ' ὁπότε Λητοῦσ ἐρικυδέοσ, οὐδὲ σέ' αὐτῆσ,
ὡσ σέο νῦν ἔραμαι καί με γλυκὺσ ἵμεροσ αἱρεῖ." 328 = Γ 446
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 329 = 300
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπεσ, 330 = Α 552
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδησ ἐν κορυφῆισι, τὰ δὲ προπέφανται ἅπαντα!
πῶσ κ' ἔοι εἴ τισ νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι; οὐ κεν ἐγώ γε τεὸν πρὸσ δῶμα νεοίμην
ἐξ εὐνῆσ ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη. 336^b = Γ 410
ἀλλ' εἰ δή ῥ' ἐθέλεισ καί τοι φίλον ἔπλετο θυμῶι, [sq. 337 sq.^{a} cf. Ψ 548
ἔστιν τοι θάλαμοσ, τόν τοι φίλοσ υἱὸσ ἔτευξε 337^b = γ 145 σ 113 338^b cf. 166
Ἥφαιστοσ, πυκινὰσ δὲ θύρασ σταθμοῖσιν ἐπῆρσε· 339 = 167
ἔνθ' ἴομεν κείοντε, ἐπεί νύ τοι ἔϝϝαδεν εὐνή."
τὴν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ·
„Ἥρη, μήτε θεῶν τό γε δέδϝιθι μήτε τιν' ἀνδρῶν 342 cf. Ε 827
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφοσ ἀμφικαλύψω
χρύσεον· οὐδέ κε νῶϊ διαδράκοι Ἠέλιόσ περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάοσ εἰσοράεσθαι."
ἦ ῥα, καὶ ἀγκὰσ ἔμαρπτε Κρόνου παῖσ ϝὴν παράκοιτιν·
τοῖσι δ' ὑπὸ χθὼν δῖα 'φύεν νεοθηλέα ποίην,
λωτὸν ἐϝερσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃσ ἀπὸ χθονὸσ ὑψόσ' ἔϝεργε.

320. ἀριδείκετον] πολὺ φίλτατον olim quidam (teste T).

322. Μίνωα Syr.] Μίνων τε Ar., Μίνω τε Zen. Ω.

340. κείοντε Ahrens] κείοντεσ.

— εὐνή] εὐνήν Zen. Aristoph. (cum ἴομεν iungentes).

342. θεῶν] θεὸν Syr. A.

— ἀνδρῶν | ὄψεσθαι] ἄλλον ¦ ἀθανάτων Syr.

348. ἐϝερσήεντα Brandreth] θ' ἐρσήεντα (θ' om. Apoll. lex.). Cf. Ξ 351 Ω 419.

349. ἔϝεργε] sic (ἔεργε) Ar., ἴκανε Chia, ἄειρε et ἔερπε (?) l. a. ant., ἵν' ἀπὸ χθονὸσ ἀγκαζέσθην Zen.

τῶι ἒν ἐλεξάσθην, ἐπὶ δὲ νεφέλην ἐϝέσαντο
καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἕϝερσαι.

ὣσ ὃ μὲν ἀτρέμασ ηὗδε πατὴρ ἀνὰ Γαργάρωι ἄκρωι 352 sq.ᵃ cf. ζ 1 sq. 352ᵇ = ο 152
ὕπνωι καὶ φιλότητι δαμείσ, ἔχε δ' ἀγκὰσ ἄκοιτιν·
'βῆ δὲ θέειν ἐπὶ νῆασ Ἀχαιῶν ϝήδυμοσ Ὕπνοσ 354ᵃ = ξ 501 cf. Δ 805
ἀγγελίην ϝερέων γαιηόχωι ἐνοσιγαίωι.
ἀγχόθι δ' ἱστάμενοσ ϝέπεα πτερόεντα προσηύδα· 356 = Δ 203
„πρόφρων νῦν Δαναοῖσι, Ποσειδάων, ἐπάμυνε,
καί σφιν κῦδοσ ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύσ, ἐπεὶ αὐτῶι ἐγὼ μαλακὸν περὶ κῶμ' ἐκάλυψα, 359ᵇ cf. σ 201
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.“
ὣσ ϝειπὼν ὃ μὲν ὤιχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσι.
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσε·
„Ἀργέιοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδηι, ἵνα νῆασ ἕληι καὶ κῦδοσ ἄρηται;
ἀλλ' ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺσ
νηυσὶν ἔπι γλαφυρῆισι μένει κεχολωμένοσ ἦτορ·
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμέσ γ' ὀτρυνώμεθ' ἀμυνέμεν' ἀλλήλοισι.
ἀλλ' ἄγεθ', ὣσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 370 = Β 139
ἀσπίδεσ ὅσσαι ἄρισται ἐνὶ στρατῶι ἠδὲ μέγισται,
ϝεσσάμενοι, κεφαλὰσ δὲ παναίθηισιν κορύθεσσι
κρύψαντεσ, χερσὶν δὲ τὰ μακρόταт' ἔγχε' ἑλόντεσ,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.“ 375 cf. Ο 604

---

376 ὃσ δέ κ' ἀνὴρ μενέχαρμοσ ἔχηι ὀλίγον σάκοσ ὤμωι,
χείρονι φωτὶ δότω, ὃ δ' ἐν ἀσπίδι μείζονι δύτω.

---

351. ἀπέπιπτον] ἀνέπιπτον Zen. (coll. Pind. Ol. I 41).
— Olim quidam addebant: δή ῥα τότ' ὀφθαλμοῖσι Διὸσ χύτο νήδυμοσ ὕπνοσ.
354. ϝήδυμοσ § 41²] νήδυμοσ.
356. ἀγχόθι δ'] cf. Β 172.
357. Ποσειδάων Syr. C] -δαον Ω (cf. § 51).
— ἐπάμυνε Syr. A D T] -νον Ω.
358. ὄφρ' ἔτι] *ἧοσ ἔθ' vel potius *ἧοσ ἔτι Ζεὺσ | εὕδει, ἐπεὶ ϝοι (cf. § 98)?
366. εὔχεται] ἔλπεται Zen.
369. ἡμέσ γ' § 92] ἡμεῖσ.
371. ἀσπίδεσ A C T] -δασ Ω.
376 sq. Om. Zen., Aristoph. Ar. —, et est sane perabsurdum hoc consilium. Quamquam vix melioris notae sunt versus vicini (370—387, praesertim 381 sq.).
376. ἔχηι] ἔχει Ar. T.
— *ὀλίγον] δ' ὀλίγον Ω (δολιχον habet pap. 732¹).

ὣσ ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο. 378 = Η 379
τοὺσ δ' αὐτοὶ βασιλῆεσ ἐκόσμεον οὐτάμενοί περ,
Τυδεΐδησ Ὀδυσεύσ τε καὶ Ἀτρεΐδησ Ἀγαμέμνων· 380 = 29
οἰχόμενοι δ' ἐπὶ πάντασ ἀρήϊα τεύχε' ἄμειβον.
ἐσθλὰ μὲν ἐσθλὸσ ἔδυνε, χέρηϊ δὲ χείρον' ἔδοσκε.
αὐτὰρ ἐπεί ῥ' ἐϝέσαντο περὶ χροΐ νώροπα χαλκόν, 383 = ω 467, 500
'βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων, 384a cf. 134
δϝεινὸν ἄορ τανύηκεσ ἔχων ἐν χειρὶ παχείηι
ϝείκελον ἀστεροπῆι· τῶι δ' οὐ θέμισ ἐστὶ μιγῆναι
ἐν δαΐ λευγαλέηι, ἀλλὰ δϝέοσ ἰσχάνει ἄνδρασ.
Τρῶασ δ' αὖθ' ἑτέρωθεν ἐκόσμεε φαίδιμοσ Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοι' ἐτάνυσσαν
κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμοσ Ἕκτωρ,
ἤ τοι ὃ μὲν Τρώεσσιν, ὃ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίασ τε νέασ τε 392a = ι 484, 541
Ἀργείων· οἳ δὲ ξύνισαν μεγάλωι ἀλαλητῶι.
οὔτε θαλάσσησ κῦμα τόσον βοάει ποτὶ χέρσον,
ποντόθεν ὀρνύμενον πνοιῆι Βορέα' ἀλεγεινῆι·
οὔτε πυρὸσ τόσσοσ πέλεται βρόμοσ αἰθομένοιο
οὔρεοσ ἐν βήσσηισ', ὅτε τ' ὤρετο καιέμεν' ὕλην· 397a = Γ 34
οὔτ' ἄνεμοσ τόσσον γε περὶ δρυσὶν ὑψικόμοισι
ἠπύει, ὅσ τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δϝεινὸν ἀυσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν. 401b = Π 480
|Αἴαντοσ δὲ πρῶτοσ ἀκόντισε φαίδιμοσ Ἕκτωρ
ἔγχε', ἐπεὶ 'τέτραπτο πρὸσ ἰθύ ϝοι, οὐδ' ἀφάμαρτε,
τῆι ῥα δύω τελαμῶνε περὶ στήθεσσ' ἐτετάσθην,
ἤ τοι ὃ μὲν σάκεοσ, ὃ δὲ φασγάνου ἀργυροήλου·

---

382. χέρηϊ δὲ χείρον'(α) L] χέρεια δὲ χείρονι Ω.
— (ἔ)δοσκε] δόσκον Ar. T, *χέρηα δὲ χείροσ' ἔδοσκον?
384. ῥ'] δ' pap. 732.
394 sq. Post vs. 399 collocavit Zen.
395. Βορέα'] ἀνέμου C, ἀνέμων B.
396. πέλεται § 275] γε πέλει Etym. M. 214, 36, γε ποτὶ (ποθι) Ω, τόσσοσ γὰρ πέλεται βρόμοσ schol. Ap. Rh. III 861.

397. βήσσηισ' ὅτε τ'] -σιν ὅτ' Nauck.
— ὤρετο] ὤρορε l. a. in comm. Ar. (cf. θ 539).
398. τόσσον] sic Ar., τόσσοσ Zen.
— περὶ A D] ποτὶ C T.
— ὑψικόμοισι] ἰξοφόροισι (ut Soph. fr. 354b) Agathocles (vix serio).
400. ὅσση Zen. Aristoph. Ar. A C] τόσση Ω.
403. ἰθύ ϝοι] ἰθύν Syr., fortasse recte (insolito loco collocatum est pronomen).

τώ ϝοι ἐρυσάσθην τέρενα χρόα. 'χώσατο δ' Ἕκτωρ, 406b sq. = Χ 291 sq.
ὅττι ῥά ϝοι βέλοσ ὠκὺ ἐτώσιον ἔκφυγε χειρόσ,
ἂψ δ' ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο κῆρ' ἀλεείνων. 408 = Γ 32
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγασ Τελαμώνιοσ Αἴασ
χερμαδίωι, τά ῥα πολλά, θοάων ἔχματα νηῶν,
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρασ
στῆθοσ ἐβεβλήκειν ὑπὲρ ἄντυγοσ, ἀγχόθι δειρῆσ·
στρόμβον δ' ὣσ ἔσσευε βαλών, περὶ δ' ἔδραμε πάντηι 413a cf. Δ 147
ὡσ δ' ὅθ' ὑπὸ ῥιπῆσ πατρὸσ Διὸσ ἐξερίπηι δρῦσ
πρόρριζοσ, δϝεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆσ, — τὸν δ' οὔ περ ἔχει θράσοσ ὅσ κε ϝίδηται
ἐγγὺσ ἐών, χαλεπὸσ δὲ Διὸσ μεγάλοιο κεραυνόσ, —
ὣσ ἔπεσ' Ἕκτοροσ ὦκα χαμαὶ μένοσ ἐν κονίηισι.
χειρὸσ δ' ἐξέβαλ' ἔγχοσ, ἐπ' αὐτῶι δ' ἀσπὶσ ἑάφθη. 419b cf. Ν 543
οἳ δὲ μέγα ϝιϝάχοντεσ ἐπέδραμον υἷεσ Ἀχαιῶν,
ϝελπόμενοι ϝερύεσθαι, ἀκόντιζον δὲ θαμείασ 422b cf. Μ 44
αἰχμάσ· ἀλλ' οὔ τισ ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πολυδάμασ τε καὶ Αἰνείασ καὶ δῖοσ Ἀγήνωρ
Σαρπηδών τ' ἀρχὸσ Λυκίων καὶ Γλαῦκοσ ἀμύμων, 426 cf. Β 876
τῶν δ' ἄλλων οὔ τίσ ϝε' ἀκήδεεν, ἀλλὰ πάροιθε
ἀσπίδασ εὐκύκλουσ 'σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντεσ 'φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππουσ 429 cf. Ρ 718
ὠκέασ, οἵ ϝοι ὄπισθε μάχησ ἠδὲ πτολέμοιο 429b-432 = Ν 535 sqq.
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντεσ·
οἳ τόν γε προτὶ ϝάστυ 'φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεέοσ ποταμοῖο, 433 sq. = Φ 1 sq. Ω 692 sq.
Ξάνθου δινήεντοσ, ὃν ἀθάνατοσ 'τέκετο Ζεύσ, 434b cf. Β 741
ἔνθα μιν ἐξ ἵππων 'πέλασαν χθονί, κὰδ δέ ϝοι ὕδωρ
'χεῦαν· ὃ δ' ἀμπνύθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσι,

---

420 *καὶ κόρυσ, ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῶι.* 420b = Μ 396

---

412. *ἀγχόθι*] **ἐγγύθι* (cf. § 318)?
414. *ῥιπῆσ*] *πληγῆσ* pap. 732 Ambr. A.
416. *τὸν δ' οὔ περ . . . κε*] *τὸν* (*τῶν*? Nauck) *δ' οὔ τιν' . . . τισ* Aristoph.
418. *ὦκα*] sic Mass. et Chia, *ὠκὺ* Ar.
420. Om. pap. 732 Ambr. A (in calce add. m. rec.).
422. *ϝερύεσθαι*] *ἐρύσασθαι* Ambr.
424. *ἄριστοι*] *ἅπαντεσ* l. a. in A.
427. *δ'*] *τ'* Zen.
— *ἀκήδεεν* Nauck] *ἀκήδεσεν* (-*δησ'* L) Ω, sic vel -*σατο* Ar. Cf. Ψ 70.
436. *ἀμπνύθη*] *ἀμπνύνθη* Ω. Cf. Ε 697 et § 186.

ἑζόμενοσ δ' ἐπὶ γοῦνα κελαινεφὲσ αἷμ' ἀπέμεσσε.
αὖτισ δ' ἐξοπίσω 'πλῆτο χθονί, κὰδ δέ ϝοι ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλοσ δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργέιοι δ' ὡσ οὖν 'ϝίδον Ἕκτορα νόσφι κιόντα, 440 cf. Δ 284
μᾶλλον ἐπὶ Τρώεσσ' ἔθορον, 'μνήσαντο δὲ χάρμησ. 441 = Θ 252
ἔνθα πολὺ πρώτιστοσ 'Οιλῆοσ ταχὺσ Αἴασ
Σάτνιον οὔτασε δουρὶ μετάλμενοσ ὀξυόεντι
Ϝηνοπίδην, ὃν ἄρα νύμφη 'τέκε Νηὶσ ἀμύμων
Ϝήνοπι βουκολέοντι παρ' ὄχθασ Σατνιόεντοσ.
τὸν μὲν 'Οιλεΐδησ δουρὶ κλυτὸσ ἐγγύθεν ἐλθὼν 446ᵇ = Ε 72
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῶι 447ᵃ = Ζ 64
Τρῶεσ καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην. 448 = Π 764
τῶι δ' ἐπὶ Πολυδάμασ ἐγχεσπάλοσ ἦλθεν ἀμύντωρ
Πανθοΐδησ, 'βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηϊλύκοιο· δὶ' ὤμου δ' ὄβριμον ἔγχοσ 451ᵇ sq. = Ν 519 sq.
ἔσχεν, ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.
Πολυδάμασ δ' ἔκπαγλον ἐπηύξατο μακρὸν ἀύσασ· 453 sq. cf. Ν 413 sq.
„οὐ μὰν αὖτ' ὀίω μεγαθύμου Πανθοΐδαο
χειρὸσ ἄπο στιβαρῆσ ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τισ Ἀργεΐων 'κόμισε χροΐ, καί μιν ὀίω
αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϝιδοσ εἴσω."
ὣσ ἔφατ', Ἀργεΐοισι δ' ἄχοσ 'γένετ' εὐξαμένοιο, 458 = Ν 417
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· 459 cf. Ν 418
καρπαλίμωσ δ' ἀπιόντοσ ἀκόντισε δουρὶ φαεινῶι. 461ᵇ = Ν 516
Πολυδάμασ δ' αὐτὸσ μὲν ἀλεύατο κῆρα μέλαιναν 462ᵇ = Γ 360
λικριφὶσ ἀΐξασ, 'κόμισεν δ' Ἀντήνοροσ υἱὸσ 463ᵃ = τ 451

460 τῶι Τελαμωνιάδηι· τοῦ γὰρ 'πίσεν ἄγχι μάλιστα.

437. ἀπέμεσσε(ν) Ar.] ἀπέμασσεν Zen. pap. 782 A C D (cf. Ε 798).
438. κὰδ] τὼ Ar. A C. Cf. Π 825.
440. νόσφι κιόντα] νόσφιν ἰόντα (Ar.?) A C (cf. β 260 θ 286 κ 546 et ἰών — ἰών permutata Δ 277 alibi).
444 sq. Ϝηνοπ.] Οἰνοπ. Strab. 605 et 619. Cf. Π 401 Ψ 634 φ 144.
445. ὄχθασ] ὄχθη<ι>σ Zen.
— Σατνιόεντοσ] Σαγγαρίοιο l. a. ant. (ut Γ 187).
446. 'Οιλεΐδησ Knight] -λιάδησ (cf. Μ 365).
447. οὖτα κατὰ λαπ.] οὔτασε καλλ. Ω. Cf. Ζ 64 Ξ 517.
449. ἦλθεν] ἤιεν l. a. ant. Cf. Ν 384.
453. ἔκπαγλον] ἔκπαγλοσ l. a. in T.
— μακρὸν ἀύσασ] μακρὰ βιβάσθων pap. 782 A H (ut Ν 809 alibi).
456. 'κόμισε] κόμισ' ἐν Agar (coll. Χ 286 al.).
460. Del. Heyne. De Oilei filio haec dici fert ratio (cf. vs. 442 sqq.). Recentis originis indicium est τῶι. Cf. Plut. Mor. 1010 d.

Ἀρχέλοχοσ· τῶι γάρ ῥα θεοὶ ’βούλευσαν ὄλεθρον.
τόν ῥ’ ἔβαλεν κεφαλῆσ τε καὶ αὐχένοσ ἐν συνεοχμῶι,
νείατον ἀστράγαλον, ἀπὸ δ’ ἄμφω ’κέρσε τένοντε· 466ᵇ = Κ 456
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνέσ τε
οὔδεϊ ’πλῆντ’ ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντοσ.
Αἴασ δ’ αὖτ’ ἐγέγωνεν ἀμύμονι Πολυδάμαντι·
„φράζεο, Πολυδάμαν, καί μοι νημερτὲσ ἐνίσπε, 470ᵇ = γ 101 δ 331 χ 166
ἦ ῥ’ οὐχ οὗτοσ ἀνὴρ Προθοήνοροσ ἀντὶ πεφάσθαι
ἄξιοσ; οὐ μέν μοι κακὸσ εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητοσ Ἀντήνοροσ ἱπποδάμοιο
ἢ πάϊσ· αὐτῶι γάρ ῥα φυὴν ἄγχιστα ϝέϝοικε.“
ἦ ῥ’ εὖ γιγνώσκων, Τρῶασ δ’ ἄχοσ ἔλλαβε θυμόν.
ἔνθ’ Ἀκάμασ Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ
ἀμφὶ κασιγνήτωι βεβαώσ· ὃ δ’ ὑφεῖλκε ποδοῖιν.
τῶι δ’ Ἀκάμασ ἔκπαγλον ἐπηύξατο μακρὸν ἀύσασ· 478 cf. Ν 413
„Ἀργέιοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
οὔ θην οἴοισίν γε πόνοσ τ’ ἔσεται καὶ ὀιζὺσ
ἡμῖν, ἀλλά ποθ’ ὧδε κατακτενέεσθε καὶ ὕμεσ.
φράζεσθ’ ὣσ ὕμιν Πρόμαχοσ δεδμημένοσ εὕδει
ἔγχε’ ἐμῶι, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δϝηρὸν ἔηι ἄτιτοσ. τῶι καί τέ τισ εὔχεται ἀνὴρ
γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆσ ἀλκτῆρα λιπέσθαι.“ 485ᵇ cf. Σ 100
ὣσ ἔφατ’, Ἀργείοισι δ’ ἄχοσ ’γένετ’ εὐξαμένοιο. 486 = Ν 417
Πηνελέωι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε, 487 cf. Ν 418
ὁρμήθη δ’ Ἀκάμαντοσ· ὃ δ’ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ϝάνακτοσ. ὃ δ’ οὔτασε Ϝιλιονῆα,
υἱὸν Φόρβαντοσ πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείασ Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·

---

464. Ἀρχέλοχοσ] sic Ar., Ἀρχίλοχοσ Z.
465. συνεοχμῶι] συνεεχμωι pap. 732. Vox aliunde non est cognita.
469. ἀμύμονι Πολυδάμαντι] -να Πουλυδάμαντα Zen.
470. Πο(υ)λυδάμαν Zen.] -δάμα Ω. Cf. Λ 86.
— ἐνίσπε § 246] ἐνίσπεσ aut ἔνισπε Ω.
472. εἴδεται] neglecto ϝ.
474. ῥα φυὴν Aristoph.] κεφαλὴν pap. 732, γενεὴν Ω.
— (ϝ)έ(ϝ)οικε Aristoph.] ἐώικει Ω.
481. ἡμῖν] ἥμισιν (cf. § 93)?
— κατακτενέεσθε § 269] -κτανέεσθε.
483. ἵνα μή] μή τοι l. a. in A.
484. ἔηι ἄτιτοσ Clarke] ἄτιτοσ ἔηι (cf. Ν 414 et Hermann ad Aesch. Ag. 72). Leaf ἄτιμοσ ἔηι cum Par. 1805 (coll. π 431).
— τέ τισ H] κέ τισ Ω, τίσ τ’ Monro.
485. μεγάροισιν ἀρῆσ Zen.] -ροισ ἄρεωσ (vel -οσ) Ω, -ροισιν Ἄρεω Ar.? Cf. Σ 100, 213.

τῶι δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον 'τέκε Ϝιλιονῆα.
τὸν τόθ' ὑπ' ὀφρύοσ οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ
καὶ διὰ ϝινίου ἦλθεν, ὃ δ' ἕζετο χεῖρε πετάσσασ 495^{t} = Φ 115 cf. ι 417
ἄμφω. Πηνέλεοσ δὲ ϝερυσσάμενοσ ξίφοσ ὀξὺ 496^{b} = Μ 190
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε 497^{a} cf. Κ 455^{b}
αὐτῆι σὺν πήληκι κάρη. ἔτι δ' ὄβριμον ἔγχοσ
ἦεν ἐν ὀφθαλμῶι, ὃ δὲ φὴ κώδειαν ἀνασχὼν
'πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενοσ ϝέποσ ηὔδα·
„ϝειπέμεναί μοι, Τρῶεσ, ἀγαυοῦ Ϝιλιονῆοσ
πατρὶ φίλωι καὶ μητρὶ γοήμεναι ἐν μεγάροισι·
οὐδὲ γὰρ ἥ, Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
ἀνδρὶ φίλωι ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίησ σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν."
ὣσ 'φάτο, τοὺσ δ' ἄρα πάντασ ὑπὸ τρόμοσ ἔλλαβε γυῖα, 506 cf. σ 88 ω 450; 506^{b} cf. Γ 34
'πάπτηνεν δὲ ϝέκαστοσ ὅπηι φύγοι αἰπὺν ὄλεθρον. 507 = Π 288 χ 43

ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι, 508 sq.^{a} = Δ 218; 508 = Β 484 [sq.
ὅσ τισ δὴ πρῶτοσ βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
ἤρετ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸσ ἐνοσίγαιοσ.
Αἴασ ῥα πρῶτοσ Τελαμώνιοσ Ὕρτιον οὖτα 511^{a} cf. Ζ 5
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων,
Φάλκην δ' Ἀντίλοχοσ καὶ Μέρμερον ἐξενάριξε,
Μηριόνησ δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Τεῦκροσ δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Ἀτρεΐδησ δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸσ ἄφυσσε 517^{a} = Ζ 64; 517^{b} cf. Ν 507^{b}
δηιώσασ, ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν 518^{b} = Ρ 86 [sq.^{a}
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε. 519^{b} = Δ 461
πλείστουσ δ' Αἴασ εἷλεν, Ὀιλῆοσ ταχὺσ υἱόσ·

496. Πηνέλεοσ § 62] -ωσ. Cf. Β 494.
499. δὲ φὴ Zen.] δὲ φῆ Ar. (damnato versu 500?), sic vel δ' ἔφη Ω. Cf. Β 144.
505. σὺν] ἐν Zen. Aristoph. (cf. Γ 159).
506. τρόμοσ ἔλλαβε γυῖα] χλωρὸν δέοσ εἷλεν D T.
509 (508—510?). Critici quidam —, non Ar.
510. ἤρετ' Eust.] ἤ(ι)ρατ' Ω. Cf. § 284.
511. ῥα] μὲν C.
512. καρτεροθύμων] βαρβαροφώνων l. a. in T (ut Β 867).
515. Περιφήτην] Περιφοίτην pap. 732[1], Πολυφοίτην (-φήτην) Barnes coll. Ν 191.
517. οὖτα κατὰ λαπάρην D T] οὔτασε καλλαπάρην A C; cf. vs. 447.
520. Ὀιλῆοσ] Ὀιλιάδησ pap. 732.

οὐ γάρ ϝοί τισ ὁμοῖοσ ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺσ ἐν φόβον ὄρσηι.

παλίωξισ παρὰ τῶν νεῶν.

O *αὐτὰρ ἐπεὶ διά τε σκόλοπάσ καὶ τάφρον ἔβησαν* 1 = Θ 343
φεύγοντεσ, πολλοὶ δὲ ’δάμεν Δαναῶν ὑπὸ χερσί, 2 sq. cf. Θ 344 sq.
οἳ μὲν δὴ παρ’ ὄχεσφιν ἐρητύοντο μένοντεσ,
χλωροὶ ὑπὸ δϝέεοσ, πεφοβημένοι, ἤγρετο δὲ Ζεὺσ 4ᵃ cf. Κ 376
Ἴδησ ἐν κορυφῆισι παρὰ χρυσοθρόνου Ἥρησ.
’στῆ δ’ ἄρ’ ἀναΐξασ, ’ϝίδε δὲ Τρῶασ καὶ Ἀχαιούσ, 6ᵃ = ν 197
τοὺσ μὲν ὀρινομένουσ, τοὺσ δὲ κλονέοντασ ὄπισθε 7 = Ξ 14
Ἀργείουσ, μετὰ δέ σφι Ποσειδάωνα ϝάνακτα.
Ἕκτορα δ’ ἐν πεδίωι ’ϝίδε κείμενον, ἀμφὶ δ’ ἑταῖροι
ἥαθ’· ὃ δ’ ἀργαλέωι ἔχετ’ ἄσθματι κῆρ ἀπινύσσων, 10ᵃ cf. Π 109
αἷμ’ ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατοσ ’βάλ’ Ἀχαιῶν.
τὸν δὲ ϝιδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε, 12ᵃ cf. Θ 350
δϝεινὰ δ’ ὑπόδρα ϝιδὼν Ἥρην πρὸσ μῦθον ἔϝειπε·
„ἦ μάλα δὴ κακότεχνοσ, ἀμήχανε, σὸσ δόλοσ, Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχησ, ἐφόβησε δὲ λαούσ.
οὐ μὰν ϝοῖδ’ εἰ αὖτε κακορραφίησ ἀλεγεινῆσ 16ᵇ cf. μ 26
πρώτη ἐπαύρηαι καί σε πληγῆισιν ἱμάσσω.
οὐ μέμνησ’, ὅτε σε ’κρέμασ’ ὑψόθεν, ἐκ δὲ ποδοῖιν 18ᵃ = Υ 188 Φ 396 ω 115
ἄκμονασ ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄρρηκτον; σὺ δ’ ἐν αἰθέρι καὶ νεφέληισι
ἐκρέμασ’. ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,

---

522. *τε Ζεὺσ*] *δὴ θεὸσ* l. a. in T.
— *ὄρσηι*] *ὦρσε* C D T.
5. Olim quidam addebant: *ἕζετο δ’ ὀρθωθείσ, μαλακὸν δ’ ἔνδυνε χίτωνα* (= Β 42).
10. *ἥαθ’* § 220] *εἷαθ’* Ω, *εἷαθ’* Ar., miro errore ad *εἰμί* referens (item Ω 84 υ 106; cf. δ 705).
— *κῆρ ἀπινύσσων*] sic Ar., *κῆρ ἀπινύσκων* Aristoph. (cf. ε 342), *κῆρα πινύσσων* olim alii. Cf. Ξ 249.
15. *δὲ λαούσ*] *δ’ Ἀχαιούσ* l. a. in T.
16. *εἰ αὖτε*] vitium metricum (cf. § 14), item ξ 67.

18—31. Om. Zen.
18. *οὐ* § 8] *ἦ οὐ.*
— *μέμνησ’* Rhet. Spengel III 244] *μέμνηι* (cf. § 117 et Υ 188 Φ 396 ω 115).
— *ὅτε σε (’)κρέμασ’(α)* Naber] *ὅτε τ’ ἐκρέμω* Ω (*τε κρέμω* metri causa Bentley). An **ἦ οὐ μέμνησαι, ὅτε σ’ ἐκρέμασ’ ἐκ δὲ ποδοῖιν?* Cf. Θ 140 π 424.
19. *ἄκμονασ ἧκα*] **ἄκμον’ ἕηκα?*
21. Subiungebant olim quidam: *πρίν γ’ ὅτε δή σ’ ἀπέλυσα πεδῶν* (sic Heyne pro *ποδῶν*), *μύδρουσ δ’ ἐνὶ Τροίηι | κάββαλον, ὄφρα πέλοιτο καὶ ἐσσομένοισι πυθέσθαι.*

λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
'ρίψασκον τεταγὼν ἀπὸ βηλοῖ', ὄφρ' ἀφίκοιτο 23 cf. Λ 591
γῆν ὀλιγηπελέων. ἐμὲ δ' οὐδ' ὧσ θυμὸν ἀνίει
ἀζηχῆσ ὀδύνη Ἡρακλέεοσ θείοιο,
τὸν σὺ ξὺν Βορέηι ἀνέμωι πεπιθοῦσα θυέλλασ
'πέμψασ ἐπ' ἀτρύγετον πόντον κακὰ μητιάουσα,
καί μιν ἔπειτα Κόονδ' ἐὺ ναιομένην ἀπένεικασ. 28 = Ξ 255
τὸν μὲν ἐγὼν ἔνθεν 'ρύμην καὶ ἀνήγαγον αὖτισ
Ἄργοσ ἐσ ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ' αὖτισ μνήσω, ἵν' ἀπολλήξηισ ἀπατάων,
ὄφρα ϝίδηισ εἴ τοι χραίσμηι φιλότησ τε καὶ εὐνή,
ἣν ἐμίγησ ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησασ."
ὧσ 'φάτο, 'ρίγησεν δὲ βοῶπισ πότνια Ἥρη, 34ª = Γ 259
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„ϝίστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸσ εὐρὺσ ὕπερθε 36-38 = ε 184 sqq.
καὶ τὸ κατειβόμενον Στυγὸσ ὕδωρ, ὅσ τε μέγιστοσ
ὅρκοσ δϝεινότατόσ τε πέλει μακάρεσσι θεοῖσι,
σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχοσ αὐτῶν
κουρίδιον, τὸ μὲν οὐ κεν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
μὴ δι' ἐμὴν ϝιότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάσ τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει,
ἀλλά ποθ' αὐτὸν θυμὸσ ἐποτρύνει καὶ ἀνώγει, 43ᵇ = Ζ 439
τειρομένουσ δ' ἐπὶ νηυσὶ ϝιδὼν ἐλέησεν Ἀχαιούσ.
αὐτάρ τοι κείνωι κεν ἐγὼ παραμυθησαίμην
τῆι ἴμεν' ἧι κεν δὴ σύ, κελαινεφέσ, ἡγεμονεύηισ."
ὧσ 'φάτ', ἐμείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, 47 = Ε 426
καί μιν ἀμειβόμενοσ ϝέπεα πτερόεντα προσηύδα·

---

23. 'ρίψασκον § 146] ῥίπτασκον. — ὄφρ' ἀφίκοιτο] ὄφρ' ἂν ἵκηται Ω, ὄφρ' ἂν ἵκοιτο Naber. Cf. κ 65 ρ 298 ω 430 (et Ν 141).

24. θυμὸν] sic Ar., θυμὸσ T.

28. Κόονδ'] Κόωνδ' Ω. Cf. Ξ 255 et Β 677.

29. (')ρύμην Heyne] ῥυσάμην Ω (ῠ pro ῡ). Cf. § 164. — ἀνήγαγον] ἀπήγαγον l. a. in T (cf. κ 274 et Ο 706 ο 436 π 370 σ 278 et permutatarum litterarum Ν—Π exempla Λ 55).

32. ϝίδηισ] ἴδηι Ar. (i. e. ϝίδη', § 117; cf. Ε 221 al.). — εἴ § 326] ἥν.

33. Om. Zen. Aristoph.

35. ἔπεα] neglecto ϝ. Item Ο 89, 145 β 269 ε 117 η 236 θ 442, 460 ν 290 ψ 34 Χ 81.

38. ὅρκοσ δϝεινότατόσ τε πέλει] *δϝεινότατόσ θ' ὅρκοσ πέλεται (item ε 186)? Cf. § 275.

44. τειρομένουσ] κτεινομένουσ Aristoph. Mass. Arg.

45. κείνωι κεν Nauck] καὶ κείνωι.

„εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπισ πότνια Ἥρη, 49 cf. Σ 357
ϝῖσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοισ,
τῶι κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλληι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέωσ ἀγορεύεισ,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ϝῖρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθηι, καὶ ϝείπηισι Ποσειδάωνι ϝάνακτι
πανσάμενον πολέμοιο ἐϝὰ πρὸσ δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνηισι μάχην εἶσ Φοῖβοσ Ἀπόλλων,
αὖτισ δ' ἐμπνεύσηισι μένοσ, λελάθηι δ' ὀδυνάων,
αἳ νῦν μιν τείρουσι κατὰ φρένασ, αὐτὰρ Ἀχαιοὺσ
αὖτισ ἀποστρέψηισιν ἀνάλκιδα φύζαν ἐνόρσασ, 62b cf. Π 656
φεύγοντεσ δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι."

Πηλεΐδα' Ἀχιλῆοσ· ὃ δ' ἀνστήσει ϝὸν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμοσ Ἕκτωρ
Ϝιλίοο προπάροιθε, πολῦσ ὀλέσαντ' αἰζηοὺσ 66a=Χ 6 cf. Φ 104
τοὺσ ἄλλουσ, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενοσ κτενεῖ Ἕκτορα δῖοσ Ἀχιλλεύσ.
ἐκ τοῦ δ' ἂν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερέσ, εἰσ ὅ κ' Ἀχαιοὶ
Ϝίλιον αἰπὺ ἕλοιεν Ἀθηναίησ διὰ βουλάσ.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτε τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν' ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλεΐδαο τελευτηθήμεν' ἐϝέλδωρ, [Oer. 467
ὥσ ϝοι ὑπέστην πρῶτον, ἐμῶι δ' ἐπένευσα κάρητι, 75b cf. Α 528 h.
ἤματι τῶι ὅτ' ἐμεῖο θεὰ Θέτισ ἥψατο γούνων 76 cf. Α 512
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον. 77 = Θ 372

---

49. βοῶπισ] sic Aristoph., -πι (Ar.?) A (cf. Ε 357).
50. μετ'] ἐν l. a. in T.
— καθίζοισ] θεοῖσι (et φρονέοισθα?) l. a. ant.
54. κάλεσσον] κέλευσον l. a. in A.
55. κλυτότοξον] κλυτὸν αὐδήν l. a. ant.
56—77. Aristoph. Ar. —, Zen. om. vs. 64—77.
58. ἐϝὰ] cf. Θ 430.
64—77. Damnárunt veteres (cf. vs. 56—77). Recentis aetatis indicia sunt: ἂν vs. 69 (§ 326), Ϝίλιον vs. 71 neutr. (cf. O 92 Σ 174), κτενεῖ pro -έει vs. 65 et 68 (cf. § 147); parum autem in Iliadem nostram quadrat vs. 70, non enim παλίωξιν sive fugam Troianorum (*M* 71 *O* 601) continuo insecutum est Troiae excidium; neque aptior est versus 64, non enim in *Achillis* potissimum naves fugientes incident Achivi.
64. ἀνστήσει ϝὸν] sic (ὃν) Ar., ἀνστήσειεν l. a. ant.
66. πολῦσ § 83] πολεῖσ vel πολέασ.
70. τεύχοιμι] τεύχωμι (et vs. 71 -ωσιν) Cobet (cf. § 112).
71. αἰπὺ ἕλοιεν] αἰπὺ ἕλωσιν C, ἐκπέρσωσιν Arist(*ophanes*?).
72. ἄρ'] ἂν Barnes.
— παύω] sic Ar., παύσω D (cf. *B* 436).

ὣσ ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενοσ Ἥρη, 78 = E 767
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰσ μακρὸν Ὄλυμπον. 79 = Θ 410
ὠσ δ' ὅτε κ' ἀΐξηι νόοσ ἀνέροσ, ὅσ τ' ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼσ φρεσὶ πευκαλίμηισι νοήσηι
„ἔνθ' εἴην ἠ' ἔνθα", μενοινάηισί τε πολλά,
ὣσ κραιπνῶσ μεμαυῖα διέπτατο πότνια Ἥρη. 83 cf. 172
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθε
ἀθανάτοισι θεοῖσι Διὸσ δόμωι· οἳ δὲ ϝιδόντεσ
πάντεσ ἀνήϊξαν καὶ ἐδεικανάοντο δέπασσι. 86b cf. σ 111b ω 410a
ἡ δ' ἄλλουσ μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήιωι
'δέκτο δέπασ· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα, 88b = Z 394
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Ἥρη, τίπτε βέβηκασ; ἀτυζομένηι δὲ ϝέϝοικασ!
ἦ μάλα δή σ' ἐφόβησε Κρόνου πάϊσ, ὅσ τοι ἀκοίτησ."
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενοσ Ἥρη·
„μή με, θεὰ Θέμι, ταῦτα διείρεο· ϝοῖσθα καὶ αὐτή,
οἷοσ κείνοο θυμὸσ ὑπερφίαλοσ καὶ ἀπηνήσ. 94a cf. Σ 262 ο 212
ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοισ' ἔνι δαιτὸσ ἐϝίσησ· 94b = Ψ 611
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισι,
οἷα Ζεὺσ κακὰ ϝέργα πιφαύσκεται· οὐδέ τί φημι
πᾶσιν ὁμῶσ θυμὸν κεχαρησέμεν', οὔτε βροτοῖσι
οὔτε θεοῖσ', εἴ πέρ τισ ἔτι νῦν δαίνυτ' ἐύφρων."
ἡ μὲν ἄρ' ὣσ ϝειποῦσα καθέζετο πότνια Ἥρη,
ὤχθησαν δ' ἀνὰ δῶμα Διὸσ θεοί. ἡ δ' ἐγέλασσε 101a = A 570
χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέηισι
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
„νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντεσ!

---

78. Olim quidam subiungebant: Ζῆν' ὑποταρβήσασα· νόοσ δέ οἱ ἄλλα μενοίνα.

79. δὲ κατ'] δ' ἐξ Ar.? (Zenodoto tribuit δ' ἐξ Didymus, ut vs. 169; sed cf. Θ 410).

82. εἴην] sic Ar., εἴη L H.

— μενοινάηισι § 190 sq.] -νήηισι Ar., -νήσειε Ω.

86b. Sic Ar., κάλεόν τέ μιν εἰσ ἓ ἕκαστοσ l. a. ant. (cf. Ψ 203).

— δέπασσι] ἐπέεσσιν Zen.

89. ἔπεα] neglecto ϝ (cf. vs. 35).

92. θεὰ λευκώλενοσ] βοῶπισ πότνια l. a. in A (cf. Ξ 277).

94. κείνοο § 59] κείνου Ar., ἐκείνου Ω (cf. § 97).

97. τί] ἑ H.

99. δαίνυτ' ἐύφρων] -ται εὔφρων Ω.

104. μενεαίνομεν ἀφρονέοντεσ] μ. ἀφραδέοντεσ A^{3} C, μ. ἀφρονέοντι l. a. in comm. Ar., μ. ἰσοφαρίζειν Heracl. All. 2 (cf. Z 101), ἐριδαίνομεν ἀφρονέοντι l. a. in T. Verbum ἀφρονέω † (ἀφραίνω B 258 H 109 υ 360).

ἤ ἔτι μιν μέμαμεν καταπαυέμεν ἆσσον ἰόντεσ 105 cf. Δ 567
ἢ ϝέπεϊ ἠὲ βίηι· ὃ δ' ἀφήμενοσ οὐκ ἀλεγίζει 106ᵇ sq.ᵃ cf. Δ 180 sq.
οὐδ' ὄθεται, φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι [P 322
κάρτεΐ τε σθένεΐ τε διακριδὸν ἔμμεν' ἄριστοσ. 108ᵃ = P 329 cf. 108ᵇ cf. M 103
τῶι ἔχεθ' ὅττι κεν ὔμι κακὸν πέμπηισι ϝεκάστωι.
ἤδη γὰρ νῦν ϝέλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸσ γάρ ϝοι ὄλωλε μάχηι ἔνι, φίλτατοσ ἀνδρῶν,
Ἀσκάλαφοσ, τόν φησι ϝὸν ἔμμεναι ὄβριμοσ Ἄρησ."
ὣσ ἔφατ', αὐτὰρ Ἄρησ θαλερὼ 'πεπλήγετο μηρὼ 113ᵇ sq. = 397 sq. ν 198 sq.
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενοσ δὲ προσηύδα·
„μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντεσ,
τίσασθαι φόνον υἷοσ ἰόντ' ἐπὶ νῆασ Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸσ πληγέντι κεραυνῶι 117ᵇ cf. μ 416 ξ 306
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίηισι."
ὣσ 'φάτο, καί ῥ' ἵππουσ 'κέλετο Δϝεῖμόν τε Φόβον τε 119ᵇ cf. Δ 37
ζευγνύμεν', αὐτὸσ δ' ἔντε' ἐδύσετο παμφανάοντα. 120ᵇ = I 596
ἔνθα κ' ἔτι μείζων τε καὶ ἀργαλεώτεροσ ἄλλοσ
πὰρ Διὸσ ἀθανάτοισι χόλοσ καὶ μῆνισ ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδϝείσασα θεοῖσι
ὦρτο δι' ἐκ προθύρου, —'λίπε δὲ θρόνον ἔνθ' ἐθάασσε, — 124ᵇ cf. I 194
τοῦ δ' ἀπὸ μὲν κεφαλῆσ κόρυθ' εἵλετο καὶ σάκοσ ὤμων,
ἔγχοσ δ' ἔστησε στιβαρῆσ ἀπὸ χειρὸσ ἑλοῦσα 126ᵃ cf α 127 ρ 29
χάλκεον· ἣ δὲ ϝέπεσσι καθήπτετο θοῦρον Ἄρηα·
„μαινόμενε, φρένασ ἠλέ, διέφθορασ! ἤ νύ τοι αὔτωσ
οὔατ' ἀκουέμεν' ἐστί, νόοσ δ' ἀπόλωλε καὶ αἰδώσ.
οὐκ ἀΐεισ ἅ τέ φησι θεὰ λευκώλενοσ Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸσ Ὀλυμπίου εἰλήλουθε;
ἤ ἐθέλεισ αὐτὸσ μὲν ἀναπλήσασ κακὰ πολλὰ
ἂψ ἴμεν Οὔλυμπόνδε, καὶ ἀχνύμενόσ περ, ἀνάγκηι, 133ᵇ cf. M 178
αὐτὰρ τοῖσ' ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;

---

105. *καταπαυέμεν'] καταπαυσέμεν Ω (cf. B 514).

114. καταπρηνέσσ'] *-νέσ (item O 398 ν 199)? Cf. Π 792.

— δὲ προσηύδα] δ' ἔπεα ηὔδα Ar. A (neglecto ϝ), item O 398 ν 199.

121. κ' ἔτι] κέ τισ D G.

126. ἀπὸ] ἐκ C.

127. ἣ δ'(ἐ)] ἠδ' pars codicum. Similis controversia est ε 391 λ 233, 285 μ 168.

128. μαινόμενε] δαιμόνιε Et. Gud. 38, 36 M. 68, 46.

134. κακὸν ... πᾶσι] sic Aristoph., θεοῖσ... πῆμα Zen.

αὐτίκα γὰρ Τρῶασ μὲν ὑπερθύμουσ καὶ Ἀχαιοὺσ
λείψει, ὃ δ' ἡμέασ εἶσι κυδοιμήσων ἐσ Ὄλυμπον,
μάρψει δ' ἑξείησ ὅσ τ' αἴτιοσ ὅσ τε καὶ οὐκί.
τῶι σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷοσ ἑῆοσ·
ἤδη γάρ τισ τοῦ γε βίην καὶ χεῖρασ ἀμείνων
ἢ πέφατ' ἢ καὶ ἔπειτα πεφήσεται. ἀργαλέον δὲ
πάντων ἀθανάτων ῥῦσθαι γενεήν τε τόκον τε." 141ᵇ = Η 128
ὣσ ϝειποῦσ' ἵδρυσε θρόνωι ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα 'καλέσσατο δώματοσ ἐκτὸσ
Ϝῖρίν θ', ἥ τε θεοῖσι μετάγγελοσ ἀθανάτοισι,
καί σφασ φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Ζεὺσ σφῶ' εἰσ Ἴδην κέλετ' ἐλθέμεν' ὅττι τάχιστα·
αὐτὰρ ἐπεί κ' ἔλθητε Διόσ τ' εἰσ ὦπα ϝίδησθε,
ϝερδέμεν' ὅττι κε κεῖνοσ ἐποτρύνηι καὶ ἀνώγηι."
ἡ μὲν ἄρ' ὣσ ϝειποῦσα πάλιν 'κίε πότνια Ἥρη,
ἕζετο δ' εἰνὶ θρόνωι· τὼ δ' ἀΐξαντ' ἐπετέσθην. 150ᵃ cf. Θ 199
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν, 151 cf. Θ 47
ηὗρον δ' εὐρύϝοπα Κρονίδην ἀνὰ Γαργάρωι ἄκρωι 152ᵃ = Ω 98 cf. [Α 498
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφοσ ἐστεφάνωτο. 152ᵇ = Ξ 352
τὼ δὲ πάροιθ' ἐλθόντε Διὸσ νεφεληγερέταο
'στήτην· οὐδέ σφωε ϝιδὼν ἐχολώσατο θυμῶι,
ὅττι ϝοι ὦκα ϝέπεσσι φίλησ ἀλόχοι' ἐπιθέσθην.
Ϝῖριν δὲ προτέρην ϝέπεα πτερόεντα προσηύδα·
„βάσκ' ἴθι, Ϝῖρι ταχεῖα· Ποσειδάωνι ϝάνακτι 158ᵃ = Θ 399
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελοσ εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχησ ἠδὲ πτολέμοιο 160 cf. 176
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ' εἰσ ἅλα δῖαν. 161 = 177
εἰ δέ μοι οὐ ϝεπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει, 162 cf. 178
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν, 163 cf. α 294

---

138. ἑῆοσ] ἑοῖο Zen. (cf. Α 393).

139. τοῦ γε Ar. A T] τοῦδε Zen. Aristoph. Ω.

141. *ἀθαιάτων] ἀνθρώπων. Cf. Π 449 Φ 187.

144. μετάγγελοσ] sic Ar., alii μέτ' ἄγγελοσ. Cf. Ψ 199.

147 sq. Aristoph. Ar. —

150. εἰνὶ θρόνωι] cf. Θ 199.

155. σφωε Heyne (cum Par. 1805)] σφωϊν Ω, an *ἱστήτην οὐδέ σφε?

162. μοι] μου Ammonius.

— ἀλογήσει] Nauck ἀπιθήσει, item ἀπιθήσεισ vs. 178, quod λόγοσ non sit vox epica (cf. Ο 393 α 56).

μή μ' οὐδὲ κρατερόσ περ ἐὼν ἐπιόντα ταλάσσηι
μεῖναι, ἐπεὶ ϝέο φημὶ βίηι πολὺ φέρτεροσ εἶναι 165-167 cf. 181 sqq.
καὶ γενεῆι πρότεροσ· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ϝῖσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.“ 167ᵃ = Α 187, 167ᵇ = Η 112
ὣσ ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμοσ ὠκέα Fῖρισ, 168 sq. = Λ 195 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰσ Fίλιον ἱρήν.
ὡσ δ' ὅτε κ' ἐκ νεφέων πτῆται νιφὰσ ἠὲ χάλαζα
ψυχρὴ ὑπὸ ῥιπῆσ αἰθρηγενέοσ Βορέαο, 171 cf. Τ 358
ὣσ κραιπνῶσ μεμανῖα διέπτατο ὠκέα Fῖρισ. 172 cf. 83
ἀγχόθι δ' ἱσταμένη προσέφη κλυτὸν ἐνοσίγαιον·
„ἀγγελίην τινά τοι, γαιήοχε κυανοχαῖτα,
ἦλθον δεῦρο φέρουσα παραὶ Διὸσ αἰγιόχοιο.
παυσάμενόν σ' ἐκέλευσε μάχησ ἠδὲ πτολέμοιο 176 cf. 160
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἤ' εἰσ ἅλα δῖαν. 177 = 161
εἰ δέ ϝοι οὐ ϝεπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεισ, 178 cf. 162
ἠπείλει καὶ κεῖνοσ ἐναντίβιον πολεμίξων 179ᵇ cf. Κ 451 Υ 85 Φ 477
ἐνθάδ' ἐλεύσεσθαι. σὲ δ' ὑπεξαλέασθαι ἀνώγει
χεῖρασ, ἐπεὶ σέο φησὶ βίηι πολὺ φέρτεροσ εἶναι 181-183 cf. 165 sqq.
καὶ γενεῆι πρότεροσ· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ϝῖσόν ϝοι φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.“
τὴν δὲ μέγ' ὀχθήσασ προσέφη κλυτὸσ ἐνοσίγαιοσ· 184 cf. Θ 208, 184ᵃ = Α 517
„ὢ πόποι, ἦ ῥ' ἀγαθόσ περ ἐὼν ὑπέροπλον ἔϝειπε,
εἴ μ' ὁμότιμον ἐόντα βίηι ἀϝέκοντα καθέξει.
τρεῖσ γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓσ 'τέκε Ῥείη,
Ζεὺσ καὶ ἐγώ, τρίτατοσ δ' Ἀϝίδησ, ἐνέροισι ϝανάσσων·
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστοσ δ' ἔμμορε τιμῆσ. 189ᵇ = λ 338
ἤ τοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀϝίδησ δὲ 'λάχε ζόφον ἠερόεντα,
Ζεὺσ δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸσ Ὄλυμποσ.

---

164. ταλάσσηι] θελήσηι l. a. in T.
166 sq. Ar. —
169. δὲ κατ'] sic Ar., δ' ἐξ Zen. (cf. vs. 79).
170. πτῆται] πτάεται? Cf. § 150[14].
173. ἀγχόθι δ'] cf. Β 172.
179. πολεμίξων] sic Ar., -ζων Zen. (cf. Β 436).
187. τ' ἐκ] sic Ar., τε Syr. — 'τέκε Ῥείη] τέκε(το) Ῥέα Ω. Cf. Ξ 203 et § 8.
189. ἕκαστοσ] neglecto ϝ; *τριχθὰ δέδασται πάντα?
192. εὐρὺν] sic Ar., αἰπὺν Zen. (cf. Γ 364).

τῶι ῥα καὶ οὔ τι Διὸσ βέομαι φρεσίν, ἀλλὰ ϝέκηλοσ,
καὶ κρατερόσ περ ἐών, μενέτω τριτάτηι ἐνὶ μοίρηι.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣσ δεδϝισσέσθω!
θυγατέρεσσιν γάρ κε καὶ υἱάσι βέλτερον εἴη
ἐππάγλοισι ϝέπεσσιν ἐνισσέμεν', οὓσ ἔτεκ' αὐτόσ
οἵ ϝεθεν ὀτρύνοντοσ ἀκούσονται καὶ ἀνάγκηι."
τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμοσ ὠκέα Ϝῖρισ·
„οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταστρέψεισ; στρεπταὶ μέν τε φρένεσ ἐσθλῶν. 203b cf. Ν 115
ϝοῖσθ' ὡσ πρεσβυτέροισιν Ἐρινύεσ αἰὲν ἕπονται."
τὴν δ' αὖτε προσέϝειπε Ποσειδάων ἐνοσίχθων· 205 cf. ϑ 854
„Ϝῖρι θεά, μάλα τοῦτο ϝέποσ κατὰ μοῖραν ἔϝειπεσ· 206b = ϑ 141
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελοσ αἴσιμα ϝείδηι.
ἀλλὰ τόδ' αἰνὸν ἄχοσ κραδίην καὶ θυμὸν ἱκάνει, 208 = Θ 147
ὁππότε ϝισόμορον καὶ ὁμῆι πεπρωμένον αἴσηι 209b = Π 441 X 179
νεικείειν ἐθέληισι χολωτοῖσιν ϝεπέεσσι. 210 cf. Δ 241 χ 26, 225
ἀλλ' ἤ τοι νῦν μέν γε νεμεσσηθεὶσ ὑποϝείξω,
ἄλλο δέ τοι ϝερέω, καὶ ἀπειλήσω τό γε θυμῶι·
εἰ μὲν ἄνευθ' ἐμέθεν καὶ Ἀθηναίησ ἀγελείησ
Ἥρησ θ' Ἡφαίστου τε καὶ Ἑρμείαο ϝάνακτοσ
Ϝιλίου αἰπεινῆσ πεφιδήσεται, οὐδ' ἐθελήσει
ἐκπέρσαι, δόμεναι δὲ μέγα κράτοσ Ἀργείοισι,
ϝίστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστοσ χόλοσ ἔσται."
ὣσ ϝειπὼν 'λίπε λαὸν Ἀχαιικὸν ἐνοσίγαιοσ,
'δῦνε δὲ πόντον ἰών, 'πόθεσαν δ' ἥρωεσ Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύσ· 220 = Π 666
„ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·

---

194. βίομαι] *γ' ὄθομαι (coll. Α 180 Ο 107, 166, 182)? Ceterum cf. § 194.

197. θυγατέρεσσιν] -ρεσσί τε Fick (cf. Α 388).

— κε Par. 2767 Harl.] τε Ω.

— υἱάσι] υἱέσι l. a. ant.

— βέλτερον Ar.] κάλλιον Aristoph., κέρδιον Ω (cf. Ο 226 X 108).

— εἴη] *ἦεν (servato τε), ut υ 331?

207. ϝείδηι] εἴπηι Zen.

209. ὁππότε Bentley] ὁππότ' ἂν (cf. Π 53 et § 326).

211. γε Ar.] κε Ω.

212—217. Ar. —. Solus versus 214 molestus est.

213. εἰ μὲν Thiersch] αἴ κεν.

— ἄνευθ' Nauck] ἄνευ.

214. θ' Syr.] om. Ω.

— Ἡφαίστου τε καὶ Ἑρμείαο l. a. ant.] Ἑρμείω (cf. § 55) τε καὶ Ἡφαίστοιο Ω.

ἤδη μὲν γάρ τοι γαιήοχοσ ἐνοσίγαιοσ
οἴχεται εἰσ ἅλα δῖαν, ἀλευάμενοσ χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχησ ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶσ ἐόντεσ. 225 cf. Ξ 274
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ ϝοι αὐτῶι
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶσ ὑπέϝειξε
χεῖρασ ἐμάσ, ἐπεὶ οὔ κεν ἀϝιδρωτί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν, 229[b] cf. E 738
τῆι μάλ' ἐπισσείων φοβέειν ἥρωασ Ἀχαιούσ·
σοὶ δ' αὐτῶι μελέτω, ϝεκατηβόλε, φαίδιμοσ Ἕκτωρ. 231[a] = α 305
τόφρα γὰρ οὖν ϝοι ἔγειρε μένοσ μέγα, ὄφρα κ' Ἀχαιοὶ
φεύγοντεσ νῆάσ τε καὶ Ἑλλήσποντον ἵκωνται. 233 cf. Σ 150 Ψ 2
κεῖθεν δ' αὐτὸσ ἐγὼ φράσομαι ϝέργον τε ϝέποσ τε,
ὥσ κε καὶ αὖτισ Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο." 235[b] cf. T 227
ὣσ ἔφατ', οὐδ' ἄρα πατρὸσ ἀνηκούστησεν Ἀπόλλων, 236 sq.[a] = Π 676 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἴρηκι ϝεϝοικὼσ 237[a] = Δ 196
ὠκέι φασσοφόνωι, ὅσ τ' ὤκιστοσ πετεηνῶν. 237[b] = Π 582
ηὗρ' υἱὸν Πριάμοιο δαΐφρονοσ, Ἕκτορα δῖον, 239 = Δ 197
ἥμενον, οὐδ' ἔτ' ἔκειτο, νέον δ' ἐσαγείρετο θυμόν, 240[b] cf. Φ 417
ἀμφὶ ϝὲ γιγνώσκων ἑτάρουσ, ἀτὰρ ἆσθμα καὶ ἱδρὼσ
'παύετ', ἐπεί μιν ἔγειρε Διὸσ νόοσ αἰγιόχοιο. 242[b] = ω 164
ἀγχόθι δ' ἱστάμενοσ προσέφη ϝεκάϝεργοσ Ἀπόλλων·
„Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
ἧσ' ἀλλοφρονέων; ἦ πού τί σε κῆδοσ ἱκάνει;"
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαιόλοσ Ἕκτωρ· 246 = X 337; 246[a] cf. Π 843
„τίσ δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅσ μ' εἴρεαι ἄντην; 247[a] = Z 123
οὐκ ἀΐεισ, ὅ με νηυσὶν ἔπι πρυμνῆισιν Ἀχαιῶν
ϝοὺσ ἑτάρουσ ὀλέκοντα βοὴν ἀγαθὸσ 'βάλεν Αἶασ

---

223. αἰπὺν] αἰνὸν Nauck.
224. κε] τε A C D T.
225. ἐνέρτεροι D T] (ἐ)νέρτατοι Zen., νέρτεροι A C. Cf. Y 57.
226. κέρδιον] κάλλιον Apoll. Pron. 54 (cf. vs. 197).
230. τῆι] τὴν C.
231—235. Aristoph. Ar. —
232. ὄφρα κ' § 326] ὄφρ' ἂν Ω, τόφρ' ἂν Ar. (?, cf. I 447 M 75 al.).
236. ἀνηκούστησεν] ἐν. vHerwerden (item Π 676; cf. Y 14).
239. ηὗρ'] εὗρε δ' L (cf. Δ 327).
240. ἐσαγείρετο Ar. A] -ρατο C D T.
243. ἀγχόθι δ'] cf. B 172.
245. ἧσ'] κεῖσ' Aristoteles? (cf. Metaph. III 5 de Anim. I 2).
— ἀλλοφρονέων Aristot. l. l.] ὀλιγηπελέων Ω (ut O 24 ε 457 τ 356), quod propter vicinum ὀλιγοδρανέων reiecit Naber.

χερμαδίωι πρὸσ στῆθοσ, ἔπαυσε δὲ θούριδοσ ἀλκῆσ; 230ᵇ = *P* 81
καὶ δὴ ἐγώ γ' ἐφάμην νέκυασ καὶ δῶμ' Ἀϝίδαο
ἤματι τῶιδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ϝεκάϝεργοσ Ἀπόλλων·
„θάρσεε νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδησ προέηκε παρεστάμεναι καὶ ἀμύνειν, 255ᵇ = *P* 563 cf. *Φ* 231
Φοῖβον Ἀπόλλωνα χρυσάορα, ὅσ σε πάροσ περ
ῥύομ' ὁμῶσ αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι
νηυσὶν ἐπὶ γλαφυρῆισιν. ἐλαυνέμεν' ὠκέασ ἵππουσ· 259ᵃ = *E* 327
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ' ἥρωασ Ἀχαιούσ." [*P* 456
ὣσ ϝειπὼν ἔμπνευσε μένοσ μέγα ποιμένι λαῶν. 262 = *Y* 110 cf.
ὡσ δ' ὅτε τισ στατὸσ ἵπποσ, ἀκοστήσασ ἐπὶ φάτνηι, 263-268 = *Z* 506 sqq.
δεσμὸν ἀπορρήξασ θείηι πεδίοιο κροαίνων,
265 εἰωθὼσ λούεσθαι ἐυρρεέοσ ποταμοῖο, —
268 ῥίμφα ϝε γοῦνα φέρει μετὰ ϝήθεα καὶ νομὸν ἵππων
266 κυδιάονθ', ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
267 ὤμοισ' ἀΐσσονται· ὃ δ' ἀγλαΐηφι πέποιθε, —
269 ὣσ Ἕκτωρ λαιψηρὰ πόδασ καὶ γούνατ' ἐνώμα 269 cf. *X* 24 269ᵇ cf. *K* 358
270 ὀτρύνων ἱππῆασ, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν. 270ᵇ = *β* 297
οἳ δ', — ὥσ τ' ἢ ἔλαφον κεραὸν ἠ' ἄγριον αἶγα 271ᵇ = *Γ* 24
ἐσσεύαντο κύνεσ τε καὶ ἀνέρεσ ἀγροιῶται, 272 = *Δ* 549
τὸν μέν τ' ἠλίβατοσ πέτρη καὶ δάσκιοσ ὕλη
ἐρρύατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν,
τῶν δέ θ' ὑπὸ ϝιϝαχῆσ ἐφάνη λὶσ ἠυγένειοσ 275ᵇ cf. *P* 109 *Σ* 318 *δ* 456
εἰσ ὁδόν, αἶψα δὲ πάντασ ἀπέτραπε καὶ μεμαῶτασ, —
ὣσ Δαναοὶ τῆοσ μὲν ὁμιλαδὸν αἰὲν ἕποντο, 277 cf. *P* 730
νύσσοντεσ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι· 278 = *N* 147 *P* 731

---

252. ὄψεσθαι] ἵξεσθαι Ar. (cf. *ρ* 448).
— ἄϊον ἦτορ] ἦτορ ἄϊσθον vHerwerden (coll. *Π* 468 *Y* 403).
253. ϝεκάϝεργοσ] Διὸσ υἱὸσ C (cf. *Y* 103 *Φ* 461).
256. χρυσάορα] cf. *E* 509.
— περ A T] γε Ω (cf. *N* 465).
265. Om. Zen., Ar. —• (simulque vs. 266—268).
266 sq. κυδιάονθ' ... πέποιθε] κυδιόων ... πεποιθώσ Ω. Cf. *Z* 509 sq.
268. Cf. *Z* 511.
270. ὀτρύνων] ὀτρυνέων l. a. in T (cf. *B* 436).
272. ἐσσεύαντο Ar.] -οντο Ω.
274. *ἐρρύατ'(ο)] εἰρύσατ' (vitiose -ρῠσ- pro -ρῡσ). Cf. *Δ* 186.
277. τῆοσ (τεῖωσ) Zen.] εἵωσ Ar. Ω (cf. *M* 141 et § 323).

αὐτὰρ ἐπεὶ ’ϝίδον Ἕκτορ’ ἐποιχόμενον στίχασ ἀνδρῶν,
’τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμόσ.
τοῖσι δ’ ἔπειτ’ ἀγόρευε Θόασ Ἀνδραίμονοσ υἱόσ,
Αἰτωλῶν ὄχ’ ἄριστοσ, ἐπιστάμενοσ μὲν ἄκοντι,
ἐσθλὸσ δ’ ἐν σταδίηι, ἀγορῆι δέ ϝε παῦροι Ἀχαιῶν
’νίκαον, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι· 286 = Ν 99
οἷον δ’ αὖτ’ ἐξαῦτισ ἀνέστη, κῆρασ ἀλύξασ,
Ἕκτωρ. ἦ θήν μιν μάλ’ ἐϝέλπετο θυμὸσ ἑκάστου
χερσὶν ὕπ’ Αἴαντοσ θανέμεν Τελαμωνιάδαο,
ἀλλά τισ αὖτε θεῶν ἐρρύσατο ἠδ’ ἐσάωσε 290ᵇ cf. χ 372
Ἕκτορ’, ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ’ ἔλυσε, 291ᵇ cf. ξ 69
ὡσ καὶ νῦν ἔσσεσθαι ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸσ ἐριγδούπου πρόμοσ ἵσταται ὧδε μενοινῶν.
ἀλλ’ ἄγεθ’, ὡσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. 294 = Β 139
πληθὺν μὲν ποτὶ νῆασ ἀνώξομεν ἀπονέεσθαι,
αὐτοὶ δ’, ὅσσοι ἄριστοι ἐνὶ στρατῶι εὐχόμεθ’ εἶναι,
στήομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντεσ,
δούρατ’ ἀνασχόμενοι· τὸν δ’ οἴω καὶ μεμαῶτα 298ᵃ = Δ 594
θυμῶι δϝείσεσθαι Δαναῶν καταδύμεν’ ὅμιλον.“
ὣσ ἔφαθ’, οἳ δ’ ἄρα τοῦ μάλα μὲν ’κλύον ἠδ’ ἐπίθοντο. 300 = Η 379
οἳ μὲν ἄρ’ ἀμφ’ Αἴαντα καὶ ’Ιδομενῆα ϝάνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ’ ἀτάλαντον Ἄρηϊ,
ὑσμίνην ἤρτυνον, ἀριστῆασ καλέσαντεσ,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺσ ἐπὶ νῆασ Ἀχαιῶν ἀπενέοντο.
Τρῶεσ δὲ προέτυψαν ἀϝολλέεσ, ἦρχε δ’ ἄρ’ Ἕκτωρ 306 = Ν 136
μακρὰ βιβάσ. πρόσθεν δὲ ’κί’ αὐτοῦ Φοῖβοσ Ἀπόλλων
ϝειμένοσ ὤμοιιν νεφέλην, ἔχε δ’ αἰγίδα θοῦριν,

282. ἄκοντι] -ντοσ vHerwerden (coll. φ 406 Π 811 al.).

288. ἑκάστου] neglecto ϝ.

290. ἠδ’(ὲ) Bekker] καὶ Ω (item χ 372). Vocula καὶ sequente vocali in arsi collocata suspicionem movet etiam Ω 60, 570 λ 118 (= 161 μ 140), cf. § 14, et in thesi manifesto vitio non correpta est Ω 641 β 230 (= ε 8), 232 (= ε 10). Brandreth καὶ ϝ’ (cf. ξ 279).

297. εἴ] ὣσ A. — κε] ϝε Bentley.

298. δ’ οἴω] δίω? Cf. § 295.

301. Αἴαντα] -ντε Zen. Aristoph. T (cf. Κ 53).

307. βιβάσ] βιβῶν Ar. (?), βοῶν Zen.; cf. Γ 22 Μ 277.

δϝεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺσ
Ἥφαιστοσ Διὶ δῶκε φορήμεναι εἰσ φόβον ἀνδρῶν·
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀϝολλέεσ, ὦρτο δ' ἀυτὴ — 312 cf. Ε 498
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀιστοὶ — 313ᵇ cf. Ν 585
'θρῶισκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν — 314 sq. cf. Λ 571; 314ᵇ = Λ 553 sq.
ἄλλα μὲν ἐν χρό' ἐπήγνυτ' Ἄρηϊ θόων αἰζηῶν, — 315 cf. Θ 298
πολλὰ δὲ καὶ μεσσηγύ, πάροσ χρόα λευκὸν ἐπαυρεῖν, — 316 sq. = Λ 573 sq.
ἐν γαίηι ἵσταντο, λιλαιόμενα χροὸσ ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβοσ Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαόσ. — 319 = Θ 67
αὐτὰρ ἐπεὶ κατ' ἐνῶπα ϝιδὼν Δαναῶν ταχυπώλων
'σεῖσ', ἐπὶ δ' αὐτὸσ ἄυσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε, 'λάθοντο δὲ θούριδοσ ἀλκῆσ. — 322ᵇ = Π 357
οἳ δ', ὥσ τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ' οἰῶν — 323ᵇ = μ 299 cf. Λ 696
θῆρε δύω κλονέωσι μελαίνησ νυκτὸσ ἀμολγῶι,
ἐλθόντ' ἐξαπίνησ σημάντοροσ οὐ παρεόντοσ,
ὣσ ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδεσ· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδοσ ὄπαζε. — 327ᵇ = Μ 255
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσησ ὑσμίνησ. — 328 = Π 306
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεσθῆοσ μεγαθύμου πιστὸν ἑταῖρον·
Αἰνείασ δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξε·
ἤ τοι ὃ μὲν νόθοσ υἱὸσ 'Οιλῆοσ θείοιο — 333-336 = Ν 694 sqq.
ἦσκε Μέδων, Αἴαντοσ ἀδελφεόσ, — αὐτὰρ ἔναιε
ἐν Φυλάκηι, γαίησ ἄπο πατρίδοσ, ἄνδρα κατακτάσ,
γνωτὸν μητρυιῆσ 'Εριώπιδοσ, ἣν ἔχ' 'Οιλεύσ, —
Ἴασοσ αὖτ' ἀρχὸσ μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸσ δὲ Σφήλοιο 'καλέσκετο Βουκολίδαο.
Μηκιστῆα δὲ Πολυδάμασ, 'Εχίον δὲ Πολίτησ

322ᵇ. φόβου δ' ἐμνήσατο Ἕκτωρ Galen. V 298.

324. κλονέωσι A] -ουσι Ω.

327. ἧκε] *ὦρσε (item Π 291)? Cf. Λ 544 Ξ 522 (Θ 335 Σ 218 Υ 93 Χ 204, ad Λ 11, 402).

330. χαλκοχιτώνων] καρτεροθύμων l. a. in A.

333 et 336. 'Οιλῆοσ et 'Οιλεύσ] Zen. litteras ΟΙΛ interpretabatur ὁ 'Ιλ.

339. Μηκιστῆα δὲ Brandreth] Μηκιστῆ(ν) vel -ῆν δ' ἕλε Ω (cf. χ 266 et § 76), Πολυδάμασ δ' ἕλε Μηκιστῆ' Peppmueller.

πρώτηι ἐν ὑσμίνηι, Κλονίον δ' ἕλε δῖοσ Ἀγήνωρ.
Δηΐοχον δὲ Πάρισ 'βάλε νείατον ὦμον ὄπισθε
φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 342b = Ν 388
ὄφρ' οἳ τοὺσ ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ 343a = Μ 195
τάφρωι καὶ σκολόπεσσιν ἐνιπλήξαντεσ ὀρυκτῆι 344 cf. Μ 72
ἔνθα καὶ ἔνθ' ἐφέβοντο, 'δύοντο δὲ τεῖχοσ ἀνάγκηι.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσασ· 346 = Ζ 110
„νηυσὶν ἐπισσεύεσθ', ἐᾶν δ' ἔναρα βροτόεντα· 347b cf. Ρ 13
ὃν δέ κ' ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω, 348 cf. Β 391
αὐτόθι ϝοι θάνατον μητίσομαι, οὐδέ κε τόν γε
γνωτοί τε γνωταί τε πυρὸσ λελάχωσι θανόντα,
ἀλλὰ κύνεσ ϝερύουσι πρὸ ϝάστεοσ ἡμετέροιο."
ὣσ ϝειπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππουσ,
κεκλόμενοσ Τρώεσσι κατὰ στίχασ. οἳ δὲ σὺν αὐτῶι 353a cf. Δ 91
πάντεσ ὁμοκλήσαντεσ ἔχον ϝερυσάρματασ ἵππουσ
ϝηχῆι θεσπεσίηι· προπάροιθε δὲ Φοῖβοσ Ἀπόλλων
ῥεῖ' ὄχθασ καπέτοιο βαθείησ ποσσὶν ἐρείπων
εἰσ μέσσον κατέβαλλε, 'γεφύρωσεν δὲ κέλευθον 357b cf. Φ 245
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸσ ἐρωὴ 358b = Φ 251
γίγνεται, ὁππότ' ἀνὴρ σθένεοσ πειρώμενοσ ἧηι. 359 cf. Π 590 Ψ 432
τῆι ῥ' οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχοσ Ἀχαιῶν 361a cf. Β 447
ῥεῖα μάλ', ὡσ ὅτε τισ ψάμαθον πάϊσ ἄγχι θαλάσσησ,
ὅσ τ' ἐπεὶ οὖν ποιήσηι ἀθύρματα νηπιέηφι,
ἂψ αὖτισ συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὣσ ῥα σύ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
σύγχεασ Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσασ.

ὣσ οἳ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντεσ, 367b-369 = Θ 345 sqq.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρασ ἀνίσχοντεσ μεγάλ' ηὐχετάοντο ϝέκαστοσ.
Νέστωρ αὖτε μάλιστα γερήνιοσ, οὖροσ Ἀχαιῶν, 370 = 659 cf. Θ 80

342. προμάχοισι] πυμάτοισι l. a. ant.
347. ἐπισσεύεσθ', ἐᾶν] -εσθον, ἐᾶν Zen. (cf. Γ 459 et § 52).
349. κε] νυ Ω. Cf. Δ 93.
353. κατὰ L] ἐπὶ Ω. Cf. Δ 91.
356. ποσσὶν] χερσὶν Zen.
359. ἧηι § 122] ἧ(ι)σι.
363. νηπιέηφι § 46] -ίηισιν.
369. μεγάλ'] cf. Θ 347.
370. αὖτε] δ' αὖτε Syr. H.

ηὔχετο, χεῖρ᾽ ὀρέγων εἰσ οὐρανὸν ἀστερόεντα· 371 = ι 527
„Ζεῦ πάτερ, εἴ ποτέ τίσ τοι ἐν Ἄργεΐ περ πολυπύρωι
ἢ βοὸσ ἢ ὄιοσ κατὰ πίονα μηρία καίων 373 cf. δ 764
ηὔχετο νοστῆσαι, σὺ δ᾽ ὑπέσχεο καὶ κατένευσασ, 374[b] = ν 133 cf. Β 112
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲσ ἦμαρ,
μηδ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούσ.“ 376 = Θ 244
ὣσ ἔφατ᾽ εὐχόμενοσ, μέγα δ᾽ ἔκτυπε μητιέτα Ζεὺσ
ἀράων ἀΐων Νηληϊάδαο γέροντοσ.
Τρῶεσ δ᾽ ὡσ ἐπύθοντο Διὸσ κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ᾽ Ἀργείοισ᾽ ἔθορον, ᾽μνήσαντο δὲ χάρμησ. 380 cf. Θ 252
οἳ δ᾽, ὥσ τε μέγα κῦμα θαλάσσησ εὐρυπόροιο
νηὸσ ὑπὲρ τοίχων καταβήσεται, ὁππότ᾽ ἐπείγηι
ϝὶσ ἀνέμοι᾽, — ἣ γάρ τε μάλιστά γε κύματ᾽ ὀφέλλει, —
ὣσ Τρῶεσ μεγάληι ϝιϝαχῆι κατὰ τεῖχοσ ἔβαινον,
ἵππουσ δ᾽ εἰσελάσαντεσ ἐπὶ πρύμνηισ᾽ ἐμάχοντο
ἔγχεσιν ἀμφιγύοισ᾽ αὐτοσχεδόν, οἳ μὲν ἀφ᾽ ἵππων,
οἳ δ᾽ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντεσ
μακροῖσι ξυστοῖσι, τά ῥά σφ᾽ ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα ϝειμένα χαλκῶι.

Πάτροκλοσ δ᾽, ἦοσ μὲν Ἀχαιοί τε Τρῶέσ τε
τείχεοσ ἀμφ᾽ ἐμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ᾽ ὅ γ᾽ ἐνὶ κλισίηι ἀγαπήνοροσ Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοισ᾽, ἐπὶ δ᾽ ἕλκεϊ λυγρῶι
φάρμακ᾽ ἀκέσματ᾽ ἔπασσε μελαινάων ὀδυνάων.
αὐτὰρ ἐπεὶ δὴ τεῖχοσ ἐπεσσυμένουσ ἐνόησε 395 cf. Μ 143
Τρῶασ, ἀτὰρ Δαναῶν ᾽γένετο ϝιϝαχή τε φόβοσ τε, 396 = Μ 144
δή ῥα τότ᾽ ᾤμωξεν καὶ ἐϝὼ ᾽πεπλήγετο μηρὼ 397sq. = ν 198sq. 397 = Μ 162
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενοσ δὲ προσηύδα· 397[b]sq. = 113sq.
„Εὐρύπυλ᾽, οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπησ

---

377. ἔκτυπε] ἔκλυε Zen.
389. χαλκῶι] -κόν Ambr. Z.
391. τείχεοσ] τείχεϊ? Cf. § 316[1] et Π 496, 533 Σ 20.
393. λόγοισ᾽] λούων l. a. in T (cf. § 295), ϝέπεσσ᾽ vHerwerden (item α 56). Cf. Ο 162. Epicum non est λόγοσ, sed vox novicia a recentis huius loci dictione fortasse non aliena.
394. ἀκέσματ᾽] ἀκήματ᾽ Ω, Ar. utrumque.
395. τεῖχοσ] νῆασ Nitzsch.
397. δή ῥα τότ᾽ ᾤμωξεν καὶ ἐϝὼ Bekker] ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα καὶ ὣ Ω (item ν 198). Cf. Μ 162.
398. Cf. vs. 114.

ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκοσ ὄρωρε. 400ᵇ = Ν 122
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε
σπεύσομαι εἰσ Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίσ ϝοῖδ' εἴ κέν ϝοι σὺν δαίμονι θυμὸν ὀρίνω 403 cf. Λ 792
παρϝειπών; ἀγαθὴ δὲ παραίφασίσ ἐστιν ἑταίρου." 404 = Λ 793
τὸν μὲν ἄρ' ὣσ ϝειπόντα πόδεσ 'φέρον· αὐτὰρ Ἀχαιοὶ 405 cf. Σ 148
Τρῶασ ἐπερχομένουσ 'μένον ἔμπεδον. οὐδ' ἐδύναντο
παυροτέρουσ περ ἐόντασ ἀπώσασθαι παρὰ νηῶν,
οὐδέ ποτε Τρῶεσ Δαναῶν ἐδύναντο φάλαγγασ
ῥηξάμενοι κλισίῃσι μιγήμεναι ἠδὲ νέεσσι.
ἀλλ' ὥσ τε στάθμη δόρυ νήϊον ἐξιθύνει
τέκτονοσ ἐν παλάμῃσι δαήμονοσ, ὅσ ῥά τε πάσησ
εὖ ϝείδῃ σοφίησ ὑποθημοσύνῃσιν Ἀθήνησ, 412ᵇ = π 233
ὣσ μὲν τῶν ἐπὶ ϝῖσα μάχη 'τέτατο πτόλεμόσ τε· 413 = Μ 436
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι. 414 cf. Μ 175
Ἕκτωρ δ' ἄντ' Αἴαντοσ ἐϝίσατο κυδαλίμοιο.
τὼ δὲ μιῆσ περὶ νηὸσ ἔχον πόνον, οὐδ' ἐδύναντο
οὔθ' ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆασ,
οὔθ' ὃ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων. 418 cf. Μ 420; 418ᵇ = Φ 93
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμοσ Αἴασ,
πῦρ εἰσ νῆα φέροντα, κατὰ στῆθοσ 'βάλε δουρί· 420ᵇ sq.ᵃ = Ν 186 sq.
'δούπησεν δὲ πεσών, δαλὸσ δέ ϝοι ἔκπεσε χειρόσ.
Ἕκτωρ δ' ὣσ ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσι
ἐν κονίῃσι πεσόντα νεὸσ προπάροιθε μελαίνησ,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσασ· 424 sq. = Λ 285 sq.
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχησ ἐν στείνεϊ τῷδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα." 428 = Π 500
ὣσ ϝειπὼν Αἴαντοσ ἀκόντισε δουρὶ φαεινῷ.
τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα, Μάστοροσ υἱόν,
Αἴαντοσ θεράποντα Κυθήριον, ὅσ ῥα παρ' αὐτῷ
'ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,

---

403. τίσ Bentley] τίσ δ'.
409. ἠδὲ l. a. in A] οὐδὲ Ω. Cf. Ι 381 et v. l. Ρ 42.
415. ἐϝίσατο § 201] ἐείσατο.
417. νῆασ] νῆα Ar.
430. Μάστοροσ] Μήστοροσ C.

τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατοσ ὀξέι χαλκῶι,
ἑσταότ' ἄγχ' Αἴαντοσ· ὃ δ' ὕπτιοσ ἐν κονίηισι — 434b = Δ 522
νηὸσ ἄπο πρυμνῆσ χαμάδισ 'πέσε, 'λύντο δὲ γυῖα. — 435b = Η 16
Αἴασ δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· — 436 cf. 466
„Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸσ ἑταῖροσ
Μαστορίδησ, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα — 438b cf. Ν 363
ϝῖσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
τὸν δ' Ἕκτωρ μεγάθυμοσ ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ — 440b sq.a cf. Ε 171
ὠκύμοροι καὶ τόξον, ὅ τοι 'πόρε Φοῖβοσ Ἀπόλλων;“ — 441b cf. Α 72
ὣσ 'φάθ', ὃ δὲ ξυνέηκε, θέων δέ ϝοι ἄγχι παρέστη — 442a = Β 182, 442b = 649
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην — 443 cf. φ 59
ἰοδόκον· μάλα δ' ὦκα βέλοσ Τρώεσσιν ἐφίει,
καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνοροσ ἀγλαὸν υἱόν,
Πολυδάμαντοσ ἑταῖρον ἀγανοῦ Πανθοΐδαο,
ἡνία χερσὶν ἔχοντα. ὃ μὲν 'πεπόνητο καθ' ἵππουσ,
τῆι γὰρ ἔχ', ἧι ῥα πολὺ πλεῖσται 'κλονέοντο φάλαγγεσ, — 448b = Λ 148
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενοσ· τάχα δ' αὐτῶι — 449 sq.=Ρ 291 sq.
ἦλθε κακόν, τό ϝοι οὔ τισ ἐρύκακε ϝιεμένων περ.
αὐχένι γάρ ϝοι ὄπισθε πολύστονοσ ἔμπεσεν ἰόσ·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ ϝοι ἵππω — 452 = Θ 122
κείν' ὄχεα κροτέοντε. ϝάναξ δ' ἐνόησε τάχιστα — 453a cf. Λ 160 h. Ap. 234
Πολυδάμασ, καὶ πρῶτοσ ἐναντίοσ ἤλυθεν ἵππων· — 454b cf. ξ 278
τοὺσ μὲν ὃ Ϝαστυνόωι Προτιάονοσ υἱέ' ἔδωκε,
πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἰσχέμεν' εἰσοράοντα
ἵππουσ, αὐτὸσ δ' αὖτισ ἰὼν προμάχοισιν ἐμίχθη. — 457 cf. Ε 134
Τεῦκροσ δ' ἄλλον ὀϊστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῆι — 458a = Θ 309
459 ἥινυτο, καί κέ ϝ' ἔπαυσε μάχησ ἐπὶ νηυσὶν Ἀχαιῶν,
461 ἀλλ' οὐ 'λῆθε Διὸσ πυκινὸν νόον, ὅσ ῥ' ἐφύλασσε
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχοσ ἀπέϝρα,

---

460 εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.

---

439. τοκεῦσιν] τέκεσσιν Zen.
444. ϝέλοσ vChrist] βέλεα. Cf. § 71 et vs. 458.
449—451. Ar. —
450. (ϝ)ιεμένων A D T] ἱεμένω(ι) C, Ar. utrumque, Ernesti ἱέμενοσ. Cf. Ρ 292.
451. ὄπισθε] πρόσθε (prius) Aristoph.
452 sq. ἵππω . . . -οντε Bentley] -οι . . . -οντεσ.
455. ὃ Bentley] ὅ γ'.
459. *ϝ'] addidimus.
— μάχησ] sic Zen., μάχην (Ar.?) Aristoph.
460. Del. Bentley. Natus est versus e lectione μάχην.
462. ἀπέϝρα § 150[5]] ἀπηύρα.

ὅσ ϝοι ἐυστρεφέα νευρὴν ἐν ἀμύμονι τόξωι
'ρῆξ' ἐπὶ τῶι ϝερύοντι· παρεπλάγχθη δέ ϝοι ἄλληι
ἰὸσ χαλκοβαρήσ, τόξον δέ ϝοι ἔκπεσε χειρόσ. 465b = Θ 329
Τεῦκροσ δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· 466 cf. 436
„ὢ πόποι, ἦ δὴ πάγχυ μάχησ ἐπὶ μήδεα κείρει 467b cf. Π 120
δαίμων ἡμετέρησ, ὅ τέ μοι βιὸν ἔκβαλε χειρόσ,
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώισκοντασ οἰστούσ."
τὸν δ' ἠμείβετ' ἔπειτα μέγασ Τελαμώνιοσ Αἴασ·
„ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέασ ἰοὺσ
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸσ Δαναοῖσι μεγήρασ·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκοσ ὤμωι
μάρναό τε Τρώεσσι καὶ ἄλλουσ ὄρνυθι λαούσ. 475b = Τ 139
μὴ μὰν ἀσπουδεί γε δαμασσάμενοί περ ἕλοιεν 476a = Θ 512
νῆασ ἐυσσέλμουσ, ἀλλὰ μνησώμεθα χάρμησ." 477b = χ 73
ὣσ 'φάθ', ὃ δ' αὖ τόξον μὲν ἐνὶ κλισίηφιν ἔθηκε,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκοσ 'θέτο τετραθέλυμνον, 479 cf. χ 122
κρατὶ δ' ἐπ' ἰφθίμωι κυνέην ἐύτυκτον ἔθηκε, 480 = Γ 336
εἵλετο δ' ἄλκιμον ἔγχοσ, ἀκαχμένον ὀξέι χαλκῶι, 482 = Κ 135, 482a = Γ 338
'βῆ δ' ἴμεναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡσ ἔϝιδεν Τεύκρου βλαφθέντα βέλεμνα, 484b = 489
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσασ· 485-487 = Δ 285 sqq.
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ
νῆασ ἀνὰ γλαφυράσ· δὴ γὰρ 'ϝίδον ὀφθαλμοῖσι
ἀνδρὸσ ἀριστῆοσ Διόθεν βλαφθέντα βέλεμνα. 489b = 484
ῥεῖα δ' ἀρίγνωτοσ Διὸσ ἀνδράσι γίγνεται ἀλκή, 490a = δ 207 cf. ζ 108, 300 ρ 265
ἠμὲν ὅτοισιν κῦδοσ ὑπέρτερον ἐγγυαλίξηι, 491b cf. 644
ἠδ' ὅτινασ μινύθηισι καὶ οὐκ ἐθέληισιν ἀμύνειν,
ὡσ νῦν Ἀργείων μινύθει μένοσ, ἦμι δ' ἀρήγει.

---

481 ἵππουριν· δϝεινὸν δὲ λόφοσ καθύπερθεν ἔνευε. 481 = Ι' 337

---

467. πόποι] πέπον l. a. in A. Cf. Ν 222.
469. νεόστροφον] ἐύστροφον l. a. ant., νεοστρεφέ' Ariston. ad Θ 328.
470. πρώϊον] πρώιην Zen.
478. δ' αὖ L] δὲ Ω.
— κλισίηφιν] -ηισιν Ω. Cf. Ν 168 et § 46.
481. Habent B C D G, om. Ω.
491. ὅτοισιν § 102] ὁτέοισιν.
— ἐγγυαλίξηι] -ζει Z, fortasse recte (-ζηι); cf. Β 436.
492. μινύθηισι Syr. Apoll. Coni. 502] -θηι τε Ω.

ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀϝολλέεσ· ὃσ δέ κεν ὕμων
βλήμενοσ ἠὲ τυπεὶσ θάνατον καὶ πότμον ἐπίσπηι, 495ᵇ = Β 359
τεθνάτω! οὔ ϝοι ἀϝεικὲσ ἀμυνομένωι περὶ πάτρησ 496ᵗ cf. Μ 243
τεθνάμεν· ἀλλ' ἄλοχόσ τε σάη καὶ παῖδεσ ὀπίσσω,
καὶ ϝοῖκοσ καὶ κλῆροσ ἀκήρατοσ, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην εἰσ πατρίδα γαῖαν." 499 = Η 460
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 500 = Ε 470
Αἴασ δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο ϝοῖσ' ἑτάροισι· 501 cf. Ν 489
„αἰδώσ, Ἀργέιοι! νῦν ἄρκιον ἢ ἀπολέσθαι 502ᵃ = Ε 787
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ϝέλπεσθ', εἰ νῆασ ἕληι κορυθαιόλοσ Ἕκτωρ,
ἐμβαδὸν ἵξεσθαι ϝὴν πατρίδα γαῖαν ἕκαστοσ;
ἦ οὐκ ὀτρύνοντοσ ἀκούετε λαὸν ἅπαντα
Ἕκτοροσ, ὃσ δὴ νῆασ ἐνιπρῆσαι μενεαίνει; 507 cf. Θ 235
οὐ μὰν εἴσ γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
ἧμιν δ' οὔ τισ τοῦδε νόοσ καὶ μῆτισ ἀμείνων,
ἢ αὐτοσχεδίηι μῖξαι χεῖράσ τε μένοσ τε·
βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δϝηθὰ στρεύγεσθαι ἐν αἰνῆι δηϊοτῆτι 512ᵃ = μ 351
ὧδ' αὔτωσ παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισι."
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 514 = Ε 470
ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεοσ υἱόν, 515 cf. Ρ 306
ἀρχὸν Φωκήων, Αἴασ δ' ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων, Ἀντήνοροσ ἀγλαὸν υἱόν·
Πολυδάμασ δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλεΐδα' ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῶι δὲ Μέγησ ἐπόρουσε ϝιδών· ὃ δ' ὕπαιθ' ἐλιάσθη
Πολυδάμασ. καὶ τοῦ μὲν ἀπήμβροτεν, — οὐ γὰρ Ἀπόλλων
εἴαε Πανθόου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι, —
αὐτὰρ ὅ γε Κροῖσμον στῆθοσ μέσον οὔτασε δουρί. 523ᵇ = Ν 438

494. νηυσὶν ἀϝολλέεσ] -σι διαμπερὲσ Lycurg. Leocr. § 103.
497 sq. παῖδεσ ὀπίσσω et ϝοῖκοσ καὶ κλῆροσ] νήπια τέκνα et κλῆροσ καὶ οἶκοσ Lycurg. l. l.
500 et 514. θυμόν τε Bentley] καὶ θυμόν.
504. εἰ § 326] ἢν Ω, ϝέλπεσθ' αἴ κεν (del. ἦ) Brandreth.
505. ἕκαστοσ] neglecto ϝ.
510. αὐτοσχεδίηι] -ην l. a. ant. (ut Μ 192).
511. ἢ ἀπολέσθαι ... ἠὲ] ἐξαπολέσθαι (ut Ζ 60) ... οὐδὲ Nauck (cf. v. l. Ι 381 Ο 409 Ρ 42).
516. Φωκήων] Φωκείων Syr. (cf. Β 517), Ἀθηναίων l. a. ant.
522. Πανθόου § 14 et 61] -θου Ω, item Ρ 9, 23, 40, 59. Cf. Γ 146.
523. Κροῖσμον la Roche] -μου. Cf. Ν 438 Π 597.

'δούπησεν δὲ πεσών, ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα. 524b = X 368 cf. Z 28
τόφρα δὲ τῶι ἐπόρουσε Δόλοψ, αἰχμῆσ ἐὺ ϝειδώσ,
Λαμπιάδησ, ὃν Λάμποσ ἐγείνατο φέρτατον υἱὸν
Λαομεδοντιάδησ, ἐὺ ϝειδότα θούριδοσ ἀλκῆσ· 527b cf. Δ 710
ὃσ τότε Φυλεΐδαο μέσον σάκοσ οὔτασε δουρὶ 528 cf. H 258 N 646
ἐγγύθεν ὁρμηθείσ. πυκινὸσ δέ ϝοι ἤρκεσε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺσ
ἤγαγεν ἐξ 'Εφύρησ, ποταμοῖ' ἄπο Σελλήεντοσ. 531b = B 659
ξεῖνοσ γάρ ϝοι ἔδωκε ϝάναξ ἀνδρῶν 'Ευφήτησ
εἰσ πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν· 533b = M 57
ὅσ ϝοι καὶ τότε παιδὸσ ἀπὸ χροὸσ ἤρκεσ' ὄλεθρον. 534 cf. N 440
τοῦ δὲ Μέγησ κόρυθοσ χαλκήρεοσ ἱπποδασείησ
κύμβαχον ἀκρότατον 'νύξ' ἔγχεϊ ὀξυόεντι,
'ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶσ δὲ χαμᾶζε
κάππεσεν ἐν κονίηισι, νέον φοίνικι φαεινόσ.
ἦοσ ὃ τῶι 'πολέμιζε, μένων δ' ἔτι 'ϝέλπετο νίκην,
τόφρα δέ ϝοι Μενέλαοσ ἀρήϊοσ ἦλθεν ἀμύντωρ,
'στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, 'βάλε δ' ὦμον ὄπισθε· 541a = Δ 251
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμάουσα,
πρόσσω ϝιεμένη. ὃ δ' ἄρα πρηνὴσ ἐλιάσθη.
τὼ μὲν ἐϝισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
συλήσονθ', "Εκτωρ δὲ κασιγνήτοισ' ἐκέλευσε
πᾶσι μάλα, πρῶτον δ' 'Ικεταονίδην ἐνένιπε
ἴφθιμον Μελάνιππον, ὃ τόφρα μὲν εἰλίποδασ βοῦσ
'βόσκ' ἐν Περκώτηι, δηΐων ἀπὸ νόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεσ ἤλυθον ἀμφιϝέλισσαι, 549-551 = N 174 sqq.
ἂψ εἰσ Ϝίλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
'ναῖε δὲ πὰρ Πριάμωι, ὃ δέ μιν 'τίε ϝῖσα τέκεσσι.
τόν ῥ' "Εκτωρ ἐνένιπε, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 552 cf. π 417 σ 78 τ 90 etc.

---

526. Λαμπιάδησ Knight] Λαμπετίδησ. — φέρτατον υἱόν Syr. A C] φέρτατοσ ἀνδρῶν T.

531. ἤγαγεν] -γετ' l. a. ant.; cf. Π 153.

534. ἤρκεσ'] ἤρκει (ut N 440) H L.

539. δ' ἔτι Bentley] ἔτι δ' Ω, καὶ ἐϝέλπετο (ut N 609) Brandreth.

540. ἦλθεν ἀμύντωρ] ἦλθ' ἐπαμύντωρ l. a. in A (Ar.? cf. N 384).

544. ἐϝισάσθην § 201] ἐεισάσθην.

545. συλήσονθ' vHerwerden] συλήσειν. Cf. vs. 583. Vitium peperit error quo ἐεισάσθην ad εἴδεσθαι referebatur (cf. schol.).

547. τόφρα Brandreth] δ' ὄφρα Ω. Quod qui servant, conferunt ὀτέ Δ 64 P 178 et ἦοσ M 141 al.

552. ῥ'] δ' Syr.

„οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ [sq.
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο; 553[b] sq cf. Θ 201 553[b] sq.[a] = α 59 sq.
οὐχ ὁράεισ οἷον Δόλοποσ περὶ τεύχε' ἕπουσι;
ἀλλ' ἕπε'· οὐ γὰρ ἔτ' ἔστιν ἀποσταδὸν Ἀργείοισι
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν' ἠὲ κατ' ἄκρησ 557 cf. Μ 172
ϝΐλιον αἰπεινὴν ἑλέμεν κτάσθαι τε πολίτασ."
ὣσ ϝειπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ϝισόθεοσ φώσ. 559 = Δ 472
Ἀργείουσ δ' ὤτρυνε μέγασ Τελαμώνιοσ Αἴασ· [121[b] sq.[a]
„ὦ φίλοι, ἀνέρεσ ἐστὲ καὶ αἰδόα θέσθ' ἐνὶ θυμῶι. 561 = 661 cf. Ν 561[a] = Ε 529
αἰδομένων ἀνδρῶν πλέονεσ σάοι ἠὲ πέφανται,
φευγόντων δ' οὔτ' ἂρ κλέοσ ὄρνυται οὔτε τισ ἀλκή."
ὣσ ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι 'μενέαινον, 565 = Π 562
ἐν θυμῶι δ' ἐβάλοντο ϝέποσ, 'φράξαντο δὲ νῆασ
ἕρκεϊ χαλκείωι· ἐπὶ δὲ Ζεὺσ Τρῶασ ἔγειρε.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸσ Μενέλαοσ·
„Ἀντίλοχ', οὔ τισ σεῖο νεώτεροσ ἄλλοσ Ἀχαιῶν
οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμοσ ὣσ σὺ μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενοσ ἄνδρα βάλοισθα."
ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἀπέσσυτο, τὸν δ' ὀρόθυνε·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῶι 573[b]-575 = Δ 496 sqq.
ἀμφὶ ϝὲ παπτήνασ. ὑπὸ δὲ Τρῶεσ 'κεκάδοντο
ἀνδρὸσ ἀκοντίσσαντοσ, ὃ δ' οὐχ ἅλιον βέλοσ ἧκε,
ἀλλ' Ἱκετάονοσ υἱὸν ὑπέρθυμον Μελάνιππον
νισσόμενον πόλεμόνδε 'βάλε στῆθοσ παρὰ μαζόν· 577 cf. Ν 186 577[b] = Δ 480
'δούπησεν δὲ πεσών, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε. 578 = Π 325 578[b] = Δ 461
Ἀντίλοχοσ δ' ἐπόρουσε κύων ὥσ, ὅσ τ' ἐπὶ νεβρῶι
βλημένωι ἀΐξηι, τόν τ' ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·
ὣσ ἐπὶ σοί, Μελάνιππε, 'θόρ' Ἀντίλοχοσ μενεχάρμησ
τεύχεα συλήσων. ἀλλ' οὐκ ἔλαθ' Ἕκτορα δῖον,

562 ἀλλήλουσ τ' αἴδεσθε κατὰ κρατερὰσ ὑσμίνασ. 562-564 = Ε 530 sqq.

557 sq. Structura impeditissima; pro ἑλέμεν Brandreth coniecit ἐριπεῖν, Wilde πεσέμεν, an *κατακτάσθ' ... κτάμεναι pro κατακτάμεν' ... κτάσθαι?

562. Om. T, ferri nequit nisi vs. 561[b] legatur καὶ ἄλκιμον ἦτορ ἕλεσθε (ut Ε 529). — αἴδεσθε § 289] αἰδεῖσθε.

563. αἰδομένων] sic Ar., -των δ' Ω (cf. Ε 531).

565. ἀλέξασθαι] -ξέμεναι H (cf. Ν 475).

567. ἕρκεϊ] ἔγχεϊ A C.

578[b]. ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι T (ut Δ 504 al.).

ὅσ ῥά ϝοι ἀντίοσ ἦλθε θέων ἀνὰ δηϊοτῆτα. 584 cf. P 257
Ἀντίλοχοσ δ' οὐ 'μεῖνε, θοόσ περ ἐὼν πολεμιστήσ, 585 cf. E 571
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ϝεϝοικώσ,
ὅσ τε κύνα κτείνασ ἢ βουκόλον ἀμφὶ βόεσσι
φεύγηι, πρίν περ ὅμιλον ἀϝολλισθήμεναι ἀνδρῶν·
ὣσ 'τρέσε Νεστορίδησ, ἐπὶ δὲ Τρῶέσ τε καὶ Ἕκτωρ 589[b] sq. = Θ 158 sq.
ϝηχῆι θεσπεσίηι βέλεα στονόεντ' ἐχέοντο.
'στῆ δὲ μεταστρεφθείσ, ἐπεὶ ἵκετο ϝέθνοσ ἑταίρων. 591 = Δ 595

Τρῶεσ δὲ λίεσσι ϝεϝοικότεσ ὠμοφάγοισι 592[b] = E 782
νηυσὶν ἐπεσσεύοντο, Διὸσ δ' ἐτέλειον ἐφετμάσ·
ὅ σφισιν αἰὲν ἔγειρε μένοσ μέγα, 'θέλγε δὲ θυμὸν
Ἀργείων καὶ κῦδοσ ἀπήινυντο, τοὺσ δ' ὀρόθυνε.
Ἕκτορι γάρ ϝοι θυμὸσ ἐβούλετο κῦδοσ ὀρέξαι 596 = M 174; 596[b] = Δ 79
Πριαμίδηι, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲσ πῦρ
ἐμβάλοι ἀκάματον, Θέτιδοσ δ' ἐξαίσιον ἀρὴν
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ 'μένε μητιέτα Ζεύσ,
νηὸσ καιομένησ σέλασ ὀφθαλμοῖσι ϝιδέσθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδοσ ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῆισιν ἔγειρε 603 cf. Θ 531
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν· 604 cf. Ξ 375
'μαίνετο δ' ὡσ ὅτ' Ἄρησ ἐγχεσπάλοσ ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέησ ἐν τάρφεσιν ὕλησ, 606[b] cf. E 555
ἀφλοισμὸσ δὲ περὶ στόμ' ἐγίγνετο, τὼ δέ ϝοι ὄσσε
'λαμπέσθην βλοσυρῆισιν ὑπ' ὀφρύσιν, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι 'τινάσσετο μαρναμένοιο.
καί ῥ' ἔθελε ῥῆξαι στίχασ ἀνδρῶν πειρητίζων, 615[b] = M 47
ἧι δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·

---

610 Ἕκτοροσ· αὐτὸσ γάρ ϝοι ἀπ' αἰθέροσ ἦεν ἀμύντωρ
Ζεύσ, ὅσ μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
'τίμαε καὶ 'κύδαινε. μινυνθάδιοσ γὰρ ἔμελλε
ἔσσεσθ'· ἤδη γάρ ϝοι ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰσ Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.

---

587. βόεσσι] οἱ αὐτῶι Zen.
588. φεύγηι] -ει Ω.
592. λίεσσι Brandreth] λείουσι. Cf. § 74.
598. ἐμβάλοι Hermann] -ληι.

609. μαρναμένοιο] μαινομένοιο Ar. (coll. Φ 5).
610—614. Zen. om., Ar.—; aliunde invecti videntur versus per se minime improbandi sed cum vs. 596—599 non satis congruentes.

ἀλλ' οὐδ' ὣσ 'δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴσχον γὰρ πυργηδὸν ἀρηρότεσ, ἠύτε πέτρη
ἠλίβατοσ μεγάλη, πολιῆσ ἁλὸσ ἐγγὺσ ἐοῦσα,
ἧι τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 620^{b} = Σ 17
κύματά τε τροφόεντα, τά τε προσερεύγεται ἄντην· 621^{a} cf. γ 290
ὣσ Δαναοὶ Τρῶασ 'μένον ἔμπεδον οὐδ' ἐφέβοντο. 622 = Ε 527
αὐτὰρ ὃ λαμπόμενοσ πυρὶ πάντοθεν ἔνθορ' ὁμίλωι,
ἐν δ' ἔπεσ', ὡσ ὅτε κῦμα θοῆι ἐν νηῒ πέσηισι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφέσ· — ἧι δέ τε πᾶσα
ἄχνηι ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸσ ἀήτησ
ἱστίωι ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δεδϝιότεσ, τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται· —
ὣσ ἐδαΐζετο θυμὸσ ἐνὶ στήθεσσιν Ἀχαιῶν. 629 = Ι 8
αὐτὰρ ὅ γ', ὥσ τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἱαμενῆι ἕλεοσ μεγάλοιο νέμονται 631 cf. Δ 483
μυρίαι, ἐν δέ τε τῆισι νομεὺσ οὔ πω σάφα ϝειδὼσ
θηρὶ μαχέσσασθαι ϝέλικοσ βοὸσ ἀμφὶ φονῆισι· —
ἦ τοι ὃ μὲν πρώτηισι καὶ ὑστατίηισι βόεσσι
αἰὲν ὁμοῦ στιχάει, ὃ δέ τ' ἐν μέσσηισιν ὀρούσασ
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· — ὣσ τότ' Ἀχαιοὶ
θεσπεσίωσ ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
πάντεσ, ὃ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆοσ φίλον υἱόν, ὃσ Εὐρυσθῆοσ ἀέθλων 639^{b} cf. Θ 363
ἀγγελίην ὠιχνεσκε βίηι Ἡρακλεείηι.
τοῦ 'γένετ' ἐκ πατρὸσ πολὺ χείρονοσ υἱὸσ ἀμείνων
παντοίασ ἀρετάσ, ἠμὲν πόδασ ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅσ ῥα τόθ' Ἕκτορι κῦδοσ ὑπέρτερον ἠγγυάλιξε. 644^{b} cf. 491
στρεφθεὶσ γὰρ μετόπισθεν ἐν ἀσπίδοσ ἄντυγ' ἔπαλτο,

---

621. ἄντην Naber] αὐτήν Ar. Ω, ἀκτῆι T L. Cf. Θ 399 Κ 158 Ω 223 et § 98.

622. ὣσ Δαναοὶ Τρῶασ] ἐξ ἁλόσ· ὣσ Δαναοὶ l. a. ant.

626. ἄχνηι] ἄχνη Zen.

— δεινὸσ] neglecto ϝ (δϝεινόσ), ut Hes. Op. 675.

— ἀήτησ] ἀήτη Ar. A. Legendumne δεινὴ ἀήτη? Nominativus sing. †. Similes controversiae (vel vitia) sunt Σ 477 δ 442 ι 315 τ 341.

635. ὁμοῦ στιχάει Bekker] ὁμοστιχάει. Cf. Σ 577 Suid. Hesych. et v. l. ο 451.

639. ἀέθλων H et l. a. in A] ἄνακτοσ (neglecto ϝ) Ω.

640. ἀγγελίην Zen.] -ησ Ω, -ασ Leaf. Cf. Γ 206.

645. ἄντυγ' ἔπαλτο] ἄντυγι πάλτο Ω, ἄντυγι ἆλτο l. a. ant.

τὴν αὐτὸσ 'φορέεσκε ποδηνεκέ' ἕρκοσ ἀκόντων·
τῆι ὅ γ' ἐνὶ βλαφθεὶσ πέσ' ὕπτιοσ, ἀμφὶ δὲ πήληξ [cf. B 334, 466
σμερδαλέον 'κονάβησε περὶ κροτάφοισι πεσόντοσ. 648ᵃ=Φ593ρ542
Ἕκτωρ δ' ὀξὺ 'νόησε, θέων δέ ϝοι ἄγχι παρέστη, 649ᵇ = 442
650 στήθεϊ δ' ἐν δόρυ 'πῆξε, φίλων δέ μιν ἐγγὺσ ἑταίρων
'κτεῖν'· οἳ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
χραισμέμεν'· αὐτοὶ γὰρ μάλ' ἐδέϝισαν Ἕκτορα δῖον.
εἴσωποι δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι
νῆεσ, ὅσαι πρῶται 'ϝεϝρύατο· τοὶ δ' ἐπέχυντο. 654ᵃ cf. Ξ 75
655 Ἀργέιοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκηι
πρωτάων, αὐτοῦ δὲ παρὰ κλισίηισιν ἔμειναν
ἀθρόοι, οὐδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼσ
καὶ δϝέοσ, ἀζηχὲσ γὰρ ὁμόκλαον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα γερήνιοσ, οὖροσ Ἀχαιῶν, 659 = 370
660 'λίσσεθ' ὑπὲρ τεκέων γουνώμενοσ ἄνδρα ϝέκαστον·
„ὦ φίλοι, ἀνέρεσ ἔστε, καὶ αἰδόα θέσθ' ἐνὶ θυμῶι 661 = 561
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ϝέκαστοσ
663 παίδων ἠδ' ἀλόχων καὶ κτήσιοσ ἠδὲ τοκήων·
665 τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων 665 cf. λ 66
ἑστάμεναι κρατερῶσ· μηδὲ τροπάεσθε φόβονδε."
667 ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 667 = E 470
674 οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι 'ϝάνδανε θυμῶι
675 ἑστάμεν', ἔνθα περ ἄλλοι ἀφέστασαν υἷεσ Ἀχαιῶν·

---

664 ἠμὲν ὅτωι ζώουσι καὶ ὧι κατατεθνήκασι.
668 τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφοσ ἀχλύοσ ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φάοσ 'γένετ' ἀμφοτέρωθε,
670 ἠμὲν πρὸσ νηῶν καὶ ὁμοιίου πτολέμοιο. 670ᵇ = N 358
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρουσ,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο,
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῆισι. 673 cf. Σ 533 ι 54

---

646. ποδηνεκέ' (A¹?) H¹] -κεσ Ω.
656. *πρωτάων] τῶν πρωτέων (A C, sic Ar.? cf. schol. Ξ 31) aut τῶν προτέρων Ω.
— αὐτοῦ] αὐτοὶ A.
658. ὁμόκλαον § 191] -εον.
660. τεκέων Gen.] τοκέων Ω (cf. § 76 et vs. 663).
— γουνώμενοσ § 144] -νούμενοσ.
664. Del. Knight.
— ὅτωι § 102] ὅτεωι. Cf. M 428.
667. θυμόν τε Bentley] καὶ θυμὸν.
668—673. Ar. ——. Molesti sunt versus; nam *oculis captos* esse Achivos (E 127 Υ 341 etc.) non dixit poeta, *caliginem* autem pulverisve turbinem (Π 567 sq. P 268—273, 366—368, 644—650) non significat vox ἀχλύσ (cf. η 41).
675. ἀφίστασαν] ἐφ. Ambr. O.

ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπώιχετο μακρὰ βιβάσθων, 676b = *N* 809
'νώμαε δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμηισι,
κολλητὸν βλήτροισι, δυωκαιϝεικοσίπηχυ. 678b cf. *Ψ* 264
ὠσ δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν ἐὺ ϝειδώσ,
ὅσ τ' ἐπεὶ ἐκ πολέων πίσυρασ συναείρεται ἵππουσ,
σεύασ ἐκ πεδίοιο μέγα προτὶ ϝάστυ δίηται
λαοφόρον καθ' ὁδόν, πολέεσ δέ ϝε 'θηήσαντο
ἀνέρεσ ἠδὲ γυναῖκεσ, — ὃ δ' ἔμπεδον ἀσφαλὲσ αἰεὶ
θρώισκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται, —
ὠσ Αἴασ ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
'φοίταε μακρὰ βιβάσ, φωνὴ δέ ϝοι αἰθέρ' ἵκανε. 686a cf. *λ* 539
αἰεὶ δὲ σμερδνὸν βοάων Δαναοῖσ' ἐκέλευε 687 = 732
νηυσί τε καὶ κλισίηισιν ἀμυνέμεν'.

οὐδὲ μὲν Ἕκτωρ
'μίμνεν ἐνὶ Τρώων ὁμάδωι πύκα θωρηκτάων· 689 cf. 739; 689b = *M* 317
ἀλλ' ὥσ τ' ὀρνίθων πετεηνῶν αἰετὸσ αἴθων
ϝέθνοσ ἐφορμάεται, ποταμὸν πάρα βοσκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δολιχοδείρων, 692 = *B* 460
ὣσ Ἕκτωρ ἴθυσε νεὸσ κυανοπρώιροιο
ἀντίοσ ἀΐξασ· τὸν δὲ Ζεὺσ ὦρσεν ὄπισθε.
αὖτισ δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη.
φαίησ κ' ἀκμῆτασ καὶ ἀτειρέασ ἀλλήλοισι
ἄντεσθ' ἐν πολέμωι· ὣσ ἐσσυμένωσ ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισ' ὅδ' ἔεν νόοσ· ἤ τοι Ἀχαιοὶ
οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεσθαι, 700 cf. *N* 89
Τρωσὶ δ' ἐϝέλπετο θυμὸσ ἐνὶ στήθεσσι ϝεκάστου
νῆασ ἐνιπρήσειν κτενέειν θ' ἥρωασ Ἀχαιούσ. 702 cf. *Θ* 182 *N* 629 *Ξ* 47

---

695 *χειρὶ μάλα μεγάληι, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῶι.*

---

680. *συναείρεται* Philemon quidam apud Porphyrium] *συναγείρεται* *Ω*. Cf. *K* 499.
681. *δίηται* A D] *διώκηι* Ambr. C.
682. *δέ* Vrat.] *τέ* *Ω*.
686. *βιβάσ*] *βιβῶν* l. a. in A (cf. *Γ* 22).
689. Olim quidam addebant: *ἀλλὰ πολὺ προθέεσκε τὸ ὃν μένοσ οὐδένι εἴκων* (= X 459).
694. *ἀΐξασ*] *ἀΐσσων* A C.
— *ὦρσεν*] *ὦσεν* Ar. (sed *retundere, repellere* id valet apud H.: *B* 744 *E* 835 *Π* 410 al.). Cf. *N* 83, 125, 794.
695. *Delevimus, e praecedentis versus mala lectione natum rati. Non immiscet se pugnae Iuppiter.
701. *Τρωσὶ δ' ἐϝέλπετο* Bentley] *Τρωσὶν δ' ἤλπετο*.

οἳ μὲν τὰ φρονέοντεσ ἐφέστασαν ἀλλήλοισι·
Ἕκτωρ δὲ πρύμνησ νεὸσ ἥψατο ποντοπόροιο,
καλῆσ ὠκυάλοι', ἣ Πρωτεσίλαον ἔνεικε
εἰσ Τροίην, οὐδ' αὖτισ ἀπήγαγε πατρίδα γαῖαν. 706 cf. Ν 645
τοῦ περ δὴ περὶ νηὸσ Ἀχαιοί τε Τρῶέσ τε
'δήιοον ἀλλήλουσ αὐτοσχεδόν· οὐδ' ἄρα τοί γε
τόξων ἀϊκὰσ ἀμφὶσ 'μένον οὐδέ τ' ἀκόντων,
ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντεσ, 710ᵇ = Π 219 Ρ 267 cf. γ 128ᵃ
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσ' ἐμάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδισ 'πέσον, ἄλλα δ' ἀπ' ὤμων
ἀνδρῶν μαρναμένων· 'ρέε δ' αἵματι γαῖα μέλαινα. 715ᵃ = ω 507 715ᵇ = Υ 494
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ 'λάβεν, οὔ τι μεθίει 716 cf. Π 762
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευε·
„οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀϝολλέεσ ὄρνυτ' ἀυτήν.
νῦν ἧμιν πάντων Ζεὺσ ἄξιον ἦμαρ ἔδωκε,
νῆασ ἑλεῖν, αἳ δεῦρο θεῶν ἀϝέκητι μολοῦσαι
ἧμιν πήματα πόλλ' ἔθεσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσι 722 cf. Ξ 51 722ᵇ = Ν 333
αὐτόν τ' ἰσχανάεσκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε 'βλάπτε φρένασ εὐρύϝοπα Ζεὺσ
ἡμετέρασ, νῦν αὐτὸσ ἐποτρύνει καὶ ἀνώγει."
ὣσ ἔφαθ', οἳ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴασ δ' οὐκέτ' ἔμιμνε, 'βιάζετο γὰρ βελέεσσι, 727 = Π 102
ἀλλ' ἀνεχάζετο τυτθόν, διόμενοσ θανέεσθαι,
θρῆνυν ἔφ' ἑπταπόδην, 'λίπε δ' ἴκρια νηὸσ ἐϝίσησ.
ἔνθ' ἄρ' ὅ γ' εἱστήκει δεδοκημένοσ, ἔγχεϊ δ' αἰεὶ
Τρῶασ ἄμυνε νεῶν, ὅσ τισ φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ σμερδνὸν βοάων Δαναοῖσ' ἐκέλευε· 732 = 687

---

706. ἀπήγαγε] ἀφίκετο l. a. in T (ut Ν 645).
712. Ar. —
714. 'πέσον Ar. A T] πέσεν C. Cf. Ν 617.
716. οὔ τι schol. Apoll. Rh. I 1089] οὐχὶ Ω, οὐκε μεθίει Zen. (schol. A; i. e. οὐκ ἐμεθίει? an οὐκὶ μεθίει? cf. Φ 95), Platt οὔ ϝε μεθίει (coll. Ω 214). Non redit apud Hom. οὐχὶ nisi vs. parall. Π 762 (cf. etiam v. l. π 279), οὐκί autem in exitu tantum enuntiatorum locum habet.
719. πάντων . . . ἄξιον] πάντωσ . . . αἴσιον Nauck.
729. ἑπταπόδην] ἀπτοπόδην (cui pes veli alligatur, cf. ε 260 κ 32) Nitzsch.

„ὦ φίλοι, ἥρωεσ Δαναοί, θεράποντεσ Ἄρηοσ, 733 = *B* 110
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ. 734 = *Z* 112
ἠέ τινάσ φαμεν ἔμμεν' ἀοσσητῆρασ ὀπίσσω,
ἠέ τι τεῖχοσ ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
οὐ μέν τι σχεδόν ἐστι πόλισ πύργοισ' ἀραρυῖα,
ἧι κ' ἀπαμυναίμεσθ' ἑτεραλκέα δῆμον ἔχοντεσ·
ἀλλ' ἐν γὰρ Τρώων πεδίωι πύκα θωρηκτάων, 739 cf. 689 / 739ᵇ = *M* 317
πόντωι κεκλιμένοι, ϝεκὰσ ἥμεθα πατρίδοσ αἴησ.
τῶι ἐν χερσὶ φάοσ, οὐ μειλιχίηι πολέμοιο.“
ἦ, καὶ μαιμάων ἔφεπ' ἔγχεϊ ὀξυόεντι·
ὅσ τισ δὲ Τρώων κοίλησ' ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείωι, χάριν Ἕκτοροσ ὀτρύναντοσ,
τὸν δ' Αἴασ οὔτασκε δεδεγμένοσ ἔγχεϊ μακρῶι.
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

Πατρόκλεια.

Π ὣσ οἳ μὲν περὶ νηὸσ ἐυσσέλμοι' ἐμάχοντο.
Πάτροκλοσ δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν, [*H* 426
δάκρυα θερμὰ χέων, ὥσ τε κρήνη μελάνυδροσ, 3ᵃ = Σ 17, 235 cf. / 3ᵇ sq. = *I* 14 sq
ἧ τε κατ' αἰγίλιποσ πέτρησ δνοφερὸν χέει ὕδωρ.
τὸν δὲ ϝιδὼν ὤικτιρε ποδάρκησ δῖοσ Ἀχιλλεύσ, 5 = *Ψ* 534 cf. *Λ* / 5ᵃ = *Λ* 814 [599
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„τίπτε δεδάκρυσαι, Πατρόκλεεσ, ἠύτε κούρη
νηπίη, ἧ θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει
ϝεανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει, 9ᵇ cf. *Z* 518
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται.
τῆι ϝίκελοσ, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεισ. 11ᵇ cf. *T* 323 *π* 332
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῶι;
ἠέ τιν' ἀγγελίην Φθίησ ἒξ ἔκλυεσ οἶοσ; 13 cf. *α* 408 *β* 30
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτοροσ υἱόν,

---

736. ἀμύναι] cf. *M* 331.
737. τι Ar. T] τισ Ω (σ—σσ).
739. πεδίωι] ὁμάδωι l. a. in A.
741. μειλιχίηι] sic Ar., -η Dionysius Thrax.
744. κηλείωι] καυαλέωι Fick ex Hesych.
745. ἔγχεϊ μακρῶι] ὀξέι χαλκῶι O L.
746. οὖτα] ἔκτα Naber.
5. ὤικτιρε] ὤικτειρε Ω (cf. *Λ* 814), θάμβησε Ar.
9. ϝεανοῦ § 22] εἱανοῦ Ω, ἁπτομένη ϝεανοῖο καὶ ἐσσ. Brandreth.
10. ποτιδέρκεται] προσδ. Zen.

ζώει δ' Αἰακίδησ Πηλεὺσ μετὰ Μυρμιδόνεσσι,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι, ὡσ ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίησ ἕνεκα σφῆσ;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα ϝείδομεν ἄμφω." 19 = Α 363
τὸν δὲ βαρὺ στενάχων προσέφησ, Πατρόκλεεσ ἱππεῦ·
„ὦ Ἀχιλεῦ, Πηλῆοσ υἱέ, μέγα φέρτατ' Ἀχαιῶν, 21 = Τ 216 λ 478
μὴ νεμέσα· τοῖον γὰρ ἄχοσ βεβίηκεν Ἀχαιούσ. 22 = Κ 145
οἳ μὲν γὰρ δὴ πάντεσ, ὅσοι πάροσ ἦσαν ἄριστοι, 23 sq. = Λ 825 sq.
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε. 24-27 = Λ 659 sqq.
βέβληται μὲν ὁ Τυδεΐδησ κρατερὸσ Διομήδησ,
οὔτασται δ' Ὀδυσεὺσ δουρὶ κλυτὸσ ἠδ' Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλοσ κατὰ μηρὸν ὀιστῷ.
τοὺσ μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανοσ ἔπλε', Ἀχιλλεῦ.
μὴ ἐμέ γ' οὖν οὗτόσ γε λάβοι χόλοσ, ὃν σὺ φυλάσσεισ,
αἰν'! ἀρετῆσ τί σε' ἄλλοσ ὀνήσεται ὀψίγονόσ περ,
αἴ κε μὴ Ἀργείοισιν ἀϝεικέα λοιγὸν ἀμύνῃσ; 32^b = Ι 495
νηλέεσ, οὐκ ἄρα σοί γε πατὴρ ἔεν ἱππότα Πηλεύσ,
οὐδὲ Θέτισ μήτηρ· γλαυκὴ δέ σε 'τίκτε θάλασσα
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόοσ ἐστὶν ἀπηνήσ. 35^b = Ψ 484 cf. [σ 381
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεισ 36-41 cf. Λ 794 sqq.
καί τινά τοι πὰρ Ζηνὸσ ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόεσ ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, αἴ κέν τι φάοσ Δαναοῖσι γένωμαι. 39^b cf. Θ 282
δὸσ δέ μοι ὤμοιιν τεὰ τεύχεα θωρηχθῆναι,
αἴ κ' ἐμέ σοὶ ϝίσκοντεσ ἀπόσχωνται πολέμοιο 41 cf. Λ 799
Τρῶεσ, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν 42-44 = Λ 800 sqq.
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσισ πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτεσ κεκμηότασ ἄνδρασ ἀυτῇ
ὤσαιμεν προτὶ ϝάστυ νεῶν ἄπο καὶ κλισιάων." 45 cf. Λ 803
ὣσ 'φάτο λισσόμενοσ, μέγα νήπιοσ· ἦ γὰρ ἔμελλε

---

21. *Πηλῆοσ*] cf. Α 489.
25. *ὁ*] om. Aristoph. (cf. Λ 660 et Χ 7).
29. *ἀκειόμενοι*] *-άμενοι* A C.
31. *αἰν', ἀρετῆσ* l. a. ant.] *αἰναρέτη* Ar. Ω. Cf. Α 552 al. et Λ 763.
— *ὀνήσεται*] *ὀνόσσεται* Apoll. lex. (cf. ϑ 239).
35. *ὅτι*] *ὅ τε* Ar.
39. *αἴ κέν* Vrat.] *ἤν πού* Ω; cf. Λ 797.
40. *τεὰ*] cf. Λ 185.
41. *ϝίσκοντεσ*] cf. Λ 799.

ϝοὶ αὐτῶι θάνατόν τε κακὸν καὶ κῆρα λίσεσθαι. 47 cf. Φ 66 χ 14
τὸν δὲ μέγ᾽ ὀχθήσασ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ 48 = Τ 419 Χ 14 cf. Σ 97
„ὤ μοι, διογενὲσ Πατρόκλεεσ, οἷον ἔϝειπεσ! 48ᵃ = Η 454
οὔτε θεοπροπίησ ἐμπάζομαι, ἥν τινα ϝοῖδα, 50 cf. α 415 β 201
οὔτε τί μοι πὰρ Ζηνὸσ ἐπέφραδε πότνια μήτηρ· 51 cf. Λ 795
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχοσ κραδίην καὶ θυμὸν ἱκάνει, 52 = Θ 147
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι
καὶ γέρασ ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκηι.
αἰνὸν ἄχοσ τό μοί ἐστιν, ἐπεὶ ᾽πάθον ἄλγεα θυμῶι. 55ᵇ = Ι 321
κούρην, ἣν ἄρα μοι γέρασ ἔξελον υἷεσ Ἀχαιῶν, 56 cf. Σ 444
δουρὶ δ᾽ ἐμῶι ᾽κτεάτισσα, πόλιν εὐτειχέα πέρσασ,
τήν μ᾽ ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων 58 cf. Σ 445
Ἀτρεΐδησ, ὡσ εἴ τιν᾽ ἀτίμητον μετανάστην. 59 = Ι 648
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ᾽ ἄρα πωσ ἦν 60ᵃ = Σ 112 Τ 65 60ᵇ = Ψ 670
ἀσπερχὲσ κεχολῶσθαι ἐνὶ φρεσίν. ἦ τοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν᾽, ἀλλ᾽ ὅτε κεν δὴ 62 cf. Φ 340
νῆασ ἐμὰσ ἀφίκηται ἀυτή τε πτόλεμόσ τε. 63ᵇ = Ζ 328
τύνη δ᾽ ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφοσ ἀμφιβέβηκε
νηυσὶν ἐπικρατέωσ, οἳ δὲ ῥηγμῖνι θαλάσσησ
κεκλίαται, χώρησ ὀλίγην ἔτι μοῖραν ἔχοντεσ,
Ἀργέιοι· Τρώων δὲ πόλισ ἐπὶ πᾶσα βέβηκε
θάρσυνοσ. οὐ γὰρ ἐμῆσ κόρυθοσ λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένησ! τάχα κεν φεύγοντεσ ἐναύλουσ
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια ϝειδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.

---

47. *λίσεσθαι] λιτέσθαι (vel λιπέσθαι) Ω, λίτεσθαι grammatici quidam. Neque *praesenti* λίτομαι H. utitur alibi neque *aoristo* ἐλιτόμην (cf. § 220), hoc autem loco requiritur *futurum* (ut Κ 455, cf. § 107). Simile vitium est Hes. Theog. 478 (ἤμελλε τεκέσθαι, quo loco τέξεσθαι ἔμελλε scribendo verum restituit Fick).

50. ἥν] εἴ Ar.

53. δή] τισ Ar.

57. εὐτειχέα] -χεον C T metro invito; cf. § 88[10].

58. *μ᾽] addidimus praeeunte Doederlein (qui post χειρῶν id inserebat). Cf. v. l. vs. 499. Nisi additur pronomen, ferri vix potest versus 59 (quem del. Bentley).

59. μετανάστην] sic Ar., μετανάστιν Mass. et Rhian. (μετανασστεῖν T, corr. Bekker), ad *Briseida* igitur referentes.

62. ὅτε κεν § 326] ὁπότ᾽ ἄν.

66. εἰ] ἧι l. a. ant.

67. νηυσὶν] *νῆασ? Cf. μ 74 (Ζ 355 ϑ 541).

71. ἐναύλουσ] sic Ar. (alii olim ἐπαύλουσ, ut ψ 358? cf. Λ 55).

οὐ γὰρ Τυδεΐδηι Διομήδεϊ ἐν παλάμηισι 74 sq. cf. Θ 111
μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι,
οὐδέ πω Ἀτρεΐδαο ϝοπὸσ 'κλύον αὐδήσαντοσ
ἐχθρῆσ ἐκ κεφαλῆσ· ἀλλ' Ἕκτοροσ ἀνδροφόνοιο
Τρωσὶ κελεύοντοσ περιϝάγνυται, οἳ δ' ἀλαλητῶι
πᾶν πεδίον κατέχουσι, μάχηι νικῶντεσ Ἀχαιούσ.
ἀλλὰ καὶ ὧσ, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέωσ, μὴ δὴ πυρὸσ αἰθομένοιο
νῆασ ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὧσ κέ τ' ἐγὼ μύθου τέλοσ ἐν φρεσὶ θήω,
ὧσ κέν μοι τιμὴν μεγάλην καὶ κῦδοσ ἄρηαι
πρὸσ πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἂψ ἀποδάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσι.
ἐκ νηῶν ἐλάσασ ἴμεναι πάλιν· εἰ δέ κεν αὖ τοι 87 cf. Σ 14
δώηι κῦδοσ ἀρέσθαι ἐρίγδουποσ πόσισ Ἥρησ,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεισ.
μηδ' ἐπαγαλλόμενοσ πολέμωι καὶ δηϊοτῆτι,
Τρῶασ ἐναιρόμενοσ, προτὶ Ϝίλιον ἡγεμονεύειν,
μή τισ ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήηι· — μάλα τούσ γε φιλεῖ ϝεκάϝεργοσ Ἀπόλλων! —
ἀλλὰ πάλιν τροπάεσθαι, ἐπεὶ φάοσ ἐν νήεσσι
θήηισ, τοὺσ δ' ἐάειν πεδίον κάτα δηριάεσθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 97 = Β 371
μήτε τισ οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
μήτε τισ Ἀργείων, νῶϊ δ' ἐκδυῖμεν ὄλεθρον,

---

74. *Τυδεΐδηι Διομήδεϊ] -δεω -δεοσ. Cf. § 55. — παλάμηισι] cf. Ε 594.

76. *Ἀτρεΐδαο ϝοπὸσ 'κλύον] -δεω ὀπὸσ ἔκλυον. Cf. § 55 et Δ 458. — ϝοπὸσ] ἔποσ l. a. in comment. Ar.

83. *κέ τ'(οι)] τοι. Cf. Β 139 al.; alienum hinc ὧσ *finale* (Β 363 al.). Recte haberet etiam ὧσ τοι ... θήσω, sed videtur vitium peperisse pronominis τοι sonus -οι elidendus (cf. § 13).

86. ἀποδάσσωσιν Bekker] ἀπονάσσωσιν Ω, quod verbum (Β 629 δ 174 ο 254) hinc alienum. Cf. Ρ 231 Χ 118 Ω 595.

89—91. Zen.: μὴ σύ γ' ἀγαλλόμενοσ πολέμωι καὶ δηϊοτῆτι.

92. ἡγεμονεύειν] sic Ar., αἰπὺ διέσθαι Zen. (ut Ο 71; cf. Σ 174).

93—96. Zen.: μή σ' ἀπογυμνωθέντα (-μουνωθέντα schol. T) λάβηι κορυθαιόλοσ Ἕκτωρ.

95. ἐπεὶ § 326] ἐπὴν. Cf. vs. 453.

96. δ' ἐάειν Knight] δέ τ' vel δὲ δ' ἐᾶν. Cf. § 191.

97—100. Zen. Ar. ——

99. νῶϊ L] νῶϊν Ω. Cf. Α 336 al. et ψ 110. — ἐκδυῖμεν § 114] ἐκδῦμεν vel ἐκδύμεν (quasi sit infinitivus).

ὄφρ' οἶοι Τροίησ ἱερὰ κρήδεμνα λύωμεν“. 100 cf. ν 388
ὣσ οἳ μὲν τοιαῦτα πρὸσ ἀλλήλουσ ἀγόρευον.
Αἶασ δ' οὐκέτ' ἔμιμνε, 'βιάζετο γὰρ βελέεσσι· $102 =$ Ο 727
'δάμνα μιν Ζηνόσ τε νόοσ καὶ Τρῶεσ ἀγανοὶ
βάλλοντεσ. δϝεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
πήληξ βαλλομένη καναχὴν ἔχε, 'βάλλετο δ' αἰεὶ
κὰπ φάλαρ' εὖ ποιήθ', ὃ δ' ἀριστερὸν ὦμον ἔκαμνε
ἔμπεδον αἰὲν ἔχων σάκοσ αἰόλον· οὐδ' ἐδύναντο
ἀμφ' αὐτῶι πελεμίξαι ἐρείδοντεσ βελέεσσι.
αἰεὶ δ' ἀργαλέωι ἔχετ' ἄσθματι, κὰδ δέ ϝοι ἱδρὼσ 109^{a} cf. Ο 10 [sq. 109^{b} sq.^{a} cf. λ 599
πάντοθεν ἐκ μελέων πολὺσ ἔρρεεν, οὐδέ πηι εἶχε 110 cf. Ψ 688 sq.
ἀμπνεῦσαι· πάντηι δὲ κακὸν κακῶι ἐστήρικτο.

ἔσπετε νῦν μοι, Μοῦσαι 'Ολύμπια δώματ' ἔχουσαι, $112 =$ Β 484
ὅππωσ δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντοσ δόρυ μείλινον ἄγχι παραστὰσ
'πλῆξ' ἄορι μεγάλωι, αἰχμῆσ παρὰ καυλὸν ὄπισθε,
ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιοσ Αἶασ
'πῆλ' αὔτωσ ἐν χειρὶ κόλον δόρυ, τῆλε δ' ἀπ' αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδισ 'βόμβησε πεσοῦσα. 118^{b} cf. Ν 530
'γνῶ δ' Αἶασ κατὰ θυμὸν ἀμύμονα — 'ρίγησέν τε —
ϝέργα θεῶν, ὅ ῥα πάγχυ μάχησ ἐπὶ μήδε' ἔκειρε 120^{b} cf. Ο 467
Ζεὺσ ὑψιβρεμέτησ, Τρώεσσι δὲ 'βούλετο νίκην. $121^{b} =$ Η 21
'χάζετο δ' ἐκ βελέων, τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
νηΐ θοῆι· τῆσ δ' αἶψα κατ' ἀσβέστη 'κέχυτο φλόξ.
ὣσ τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺσ
μηρὼ πληξάμενοσ Πατροκλέεα προσέϝειπε·
„ὄρσεο, διογενὲσ Πατρόκλεεσ, ἱπποκέλευθε·
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸσ δηΐοιο ϝιωήν.
μὴ δὴ νῆασ ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται! 128^{b} cf. θ 299 ξ 489

104. δ(ϝ)ειvὴν Herodianus (Ar.?) C] δειvὴ AT. — φαειvὴ] μένοντοσ vel ἀραρυῖα Lehrs (cf. Ν 611).

105. 'βάλλετο] τύπτετο l. a. ant.

106. κὰπ] καὶ Ar. (cf. δ 72).

110. πολὺσ ἔρρεεν] ῥέεν ἄσπετοσ Macrob. Sat. VI 3 § 2.

120. (ἔ)κειρε] sic (κεῖρε) Ar. A C, κείρει Ω.

121. 'βούλετο νίκην] βούλετ' ἀρήγειν D.

124. τὴν ... πρυμνὴν] τῆσ πρυμνῆσ D^1 T^1.

126. ἱπποκέλευθε] -λευστά Bentley ex Hesych. (item vs. 584, 839).

127. (ϝ)ιωήν A C] ἰρωήν Mass. Ω (metro invito).

δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω."
ὣσ ᾽φάτο, Πάτροκλοσ δὲ ᾽κορύσσετο νώροπι χαλκῶι. 130 cf. *H* 206
κνημῖδασ μὲν πρῶτα περὶ κνήμισιν ἔθηκε 131-133 = *Γ* 330 sqq.
132 *καλάσ, ἀργυρέοισιν ἐπισφυρίοισ᾽ ἀραρυίασ,*
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν ᾽βάλετο ξίφοσ ἀργυρόηλον, 135-138 = *Γ* 334 sqq.
χάλκεον· αὐτὰρ ἔπειτα σάκοσ μέγα τε στιβαρόν τε,
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμωι κυνέην εὔτυκτον ἔθηκε
ἵππουριν· δϝεινὸν δὲ λόφοσ καθύπερθεν ἔνευε.
εἵλετο δ᾽ ἄλκιμα δοῦρα, τά ϝοι παλάμηφιν ἀρήρει. 139 cf. *Γ* 338 [sqq.
ἔγχοσ δ᾽ οὐχ ἕλετ᾽ οἶον ἀμύμονοσ Αἰακίδαο,
βριθύ, μέγα, στιβαρόν· τὸ μὲν οὐ ᾽δύνατ᾽ ἄλλοσ Ἀχαιῶν 141-144 = *T* 388; 141a = *E* 746
παλλέμεν᾽, ἀλλά μιν οἶοσ ἐπίστατο πῆλαι Ἀχιλλεύσ,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλωι ᾽πόρε Χίρων
Πηλίου ἐκ κορυφῆσ, φόνον ἔμμεναι ἡρώεσσι.
ἵππουσ δ᾽ Αὐτομέδοντα θοῶσ ζευγνύμεν᾽ ἄνωγε,
τὸν μετ᾽ Ἀχιλλῆα ῥηξήνορα ᾽τῖε μάλιστα,
πιστότατοσ δέ ϝοι ἦσκε μάχηι ἔνι μεῖναι ὁμοκλήν.
τῶι δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέασ ἵππουσ,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῆισ᾽ ἐπετέσθην, 149 sq. cf. *T* 400
τοὺσ ἔτεκε Ζεφύρωι ἀνέμωι ἅρπυια Ποδάργη
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίηισιν ἀμύμονα Πήδασον ἵει,

---

133 *δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε*
ποικίλον ἀστερόεντα ποδώκεοσ Αἰακίδαο.

---

129. In L additur: *Μυρμιδόνων, ἤν πού τι φόωσ Δαναοῖσι γένηαι* (cf. vs. 39).

133 sq. Del. Reichel. A prisca arte alieni sunt (cf. *Γ* 332 sq.), insolite autem dictum est *ἀστερόεντα*. Pro *ποδώκεοσ Αἰακίδαο* olim quidam legebant *κακῶν βελέων ἀλεωρήν*, quam lectionem Arist. Vesp. 615 in parodia videtur esse imitatus (nam longius distant *M* 57 *O* 538). Qua lectionis varietate confirmatur Niesii opinio, sero demum Iliadi invectam esse armorum permutationem, recentioris igitur originis esse versus *Π* 40—43, 64, 133 sq., 140—144 (a Zenodoto damnatos), 791—800 *P* 186—214, 450 *Σ* 84 sqq. (partim certe) — *T* 22, 383 *X* 316 *Υ* 270—272, hoc autem loco *sua ipsius arma* Patroclum induere dici a prisco poeta. Quid quod verba *δύσεο τεύχεα* vs. 129 aliter accipi vix possunt? — Ceteris recentiores videntur *Π* 133 sq. et (qui cum his aut servandi sunt aut damnandi) *Π* 804 *Σ* 459b sq.a 610b sq.a *T* 371. Hos igitur secrevimus (coll. *P* 205); ceteri non est cur omittantur, nisi ipsum epos divellere placeat.

139. *δοῦρα* Knight] *δοῦρε*. Cf. *Γ* 18.

140. Zen. —, 141—144 om.

143. *᾽πόρε*] *τάμε* Cant. Vrat., Ar. utrumque (item *T* 390).

144. *ἐκ κορυφῆσ*] *ἐν ·φῆισ* Ar., item *T* 391 (cf. § 57).

150. *Ποδάργη*] *πόδαργοσ* (adiectivum) Zen.; cf. *T* 400.

151. *Ὠκεανοῖο*] *Ἠριδανοῖο* l. a. apud Eust. (cf. Hes. Theog. 338).

τόν ῥά ποτ' Ἠετίωνοσ ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύσ,
ὃσ καὶ θνητὸσ ἐὼν ἕπεθ' ἵπποισ' ἀθανάτοισι.
Μυρμιδόνασ δ' ἄρ' ἐποιχόμενοσ 'θώρηξεν Ἀχιλλεὺσ
πάντασ ἀνὰ κλισίασ σὺν τεύχεσιν· οἳ δὲ λύκοι ὣσ 156ᵇ-158 cf. Δ 473 sqq.
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετοσ ἀλκή, —
οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηιώσαντεσ
δάπτουσιν, πᾶσιν δὲ παρήϊον αἵματι φοινόν· 159 cf. χ 404ᵇ sq.ᵃ
καί τ' ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνησ μελανύδρου
λάψοντεσ γλώσσῃσι ϝαραιῇσιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματοσ, ἐν δέ τε θυμὸσ
στήθεσιν ἄτρομόσ ἐστι, περιστένεται δέ τε γαστήρ· —
τοῖοι Μυρμιδόνων ἡγήτορεσ ἠδὲ μέδοντεσ
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεοσ Αἰακίδαο 165 = Ρ 388
'ρώοντ'. ἐν δ' ἄρα τοῖσιν ἀρήϊοσ ἵστατ' Ἀχιλλεύσ,
ὀτρύνων ἵππουσ τε καὶ ἀνέρασ ἀσπιδιώτασ. 167 cf. Β 554
πεντήκοντ' ἦσαν νῆεσ θοαί, ᾗσιν Ἀχιλλεὺσ
εἰσ Τροίην ἡγεῖτο Διὶ φίλοσ· ἐν δὲ ϝεκάστῃ
πεντήκοντ' ἔσαν ἄνδρεσ ἐπὶ κληῖσιν ἑταῖροι.
πέντε δ' ἄρ' ἡγεμόνασ 'ποιήσατο, τοῖσ' ἐπεποίθει,
σημαίνειν· αὐτὸσ δὲ μέγα κρατέων ἐϝάνασσε.
τῆσ μὲν ἰῆσ στιχὸσ ἦρχε Μενέσθιοσ αἰολοθώρηξ,
υἱὸσ Σπερχειοῖο, διιπετέοσ ποταμοῖο·
ὃν 'τέκε Πηλῆοσ θυγάτηρ, καλὴ Πολυδώρη,
Σπερχειῶι ἀκάμαντι, γυνὴ θεῶι εὐνηθεῖσα,
αὐτὰρ ἐπίκλησιν Βώρωι, Περιήρεοσ υἷι,
ὅσ ϝ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ϝέδνα. 178ᵇ = τ 529
τῆσ δ' ἑτέρησ Εὔδωροσ ἀρήϊοσ ἡγεμόνευε,
παρθένιοσ, τὸν ἔτικτε χορῶι καλὴ Πολυμήλη,
Φύλαντοσ θυγάτηρ. τῆσ δὲ κρατὺσ Ἀργεϊφόντησ 181-183 cf. h. Ven. 117 sq.
ἠράσατ', ὀφθαλμοῖσι ϝιδὼν μετὰ μελπομένῃσι
ἐν χορῶι Ἀρτέμιδοσ χρυσηλακάτου κελαδεινῆσ· 183ᵇ cf. Υ 70 h. Ven. 16

---

153. *ἤγαγ'*] *ἦρετ'* Nauck (cf. *Ο* 531).
156. *πάντασ*] *πάντῃ(ι)* Zen.
159. *παρήϊον ... φοινόν*] *-α ... -ά* la Roche.
161. *λάψοντεσ*] *-ψαντεσ* Zen.
162. *αἵματοσ*] *ἄσπετον* vHerwerden.
169. *δὲ*] *δ' ἄρ'* A C.
175. *Πολυδώρη*] *Κλεοδώρη* Zen.
178. *ϝ'* Brandreth] *ῥ'*.
— *ἀπερείσια ϝέδνα*] *-σι' ἔ(ϝ)εδνα* Barnes (item *Π* 190 *Χ* 472 *λ* 117, 282 *ν* 378 *τ* 529). Cf. *Ι* 146 et § 48[3].
183. Ar. —

αὐτίκα δ' εἰσ ὑπερῷι' ἀναβὰσ παρελέξατο λάθρηι — 184b cf. *B* 515
Ἑρμείασ ἀκακῆτα, 'πόρεν δέ ϝοι ἀγλαὸν υἱὸν — 185a cf. *ω* 10
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν. — 186 cf. *γ* 112 *δ* 202
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκοσ Εἰλείθυια — 187b = *T* 103 h. Ap. 97, 115 cf. *Λ* 270
ἐξάγαγε πρὸ φάοσδε καὶ ἠελίοι' ἴϝιδ' αὐγάσ, — 188a cf. *T* 118
τὴν μὲν Ἐχεκλῆεοσ κρατερὸν μένοσ Ἀκτορίδαο
ἠγάγετο πρὸσ δώματ', ἐπεὶ 'πόρε μυρία ϝέδνα, — 190a cf. *ο* 288 [282; 190b = *X* 472 *λ*
τὸν δ' ὁ γέρων Φύλασ εὖ ἔτρεφεν ἠδ' ἀτίταλλε, — 191b cf. *Ξ* 202 *τ* 354
ἀμφαγαπαζόμενοσ ὡσ εἴ θ' ἑϝὸν υἱὸν ἐόντα.
τῆσ δὲ τρίτησ Πείσανδροσ ἀρήϊοσ ἡγεμόνευε
Μαιμαλίδησ, ὃσ πᾶσι μετέπρεπε Μυρμιδόνεσσι
ἔγχεϊ μάρνασθαι μετὰ Πηλεΐωνοσ ἑταῖρον.
τῆσ δὲ τετάρτησ ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτησ δ' Ἀλκιμέδων, Λαέρκεοσ υἱὸσ ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντασ ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺσ
'στῆσεν εὖ κρίνασ, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε· — 199b = *Α* 25
„Μυρμιδόνεσ, μή τίσ μοι ἀπειλάων λελαθέσθω,
ἃσ ἐπὶ νηυσὶ θοῇσιν ἀπειλέετε Τρώεσσι
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ἠιτιάεσθε ϝέκαστοσ·
‚σχέτλιε Πηλέοσ υἱέ, χόλωι ἄρα σ' ἔτρεφε μήτηρ!
νηλεέσ, ὃσ παρὰ νηυσὶν ἔχεισ ἀϝέκοντασ ἑταίρουσ!
ϝοίκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισι — 205a = *B* 236
αὖτισ, ἐπεί ῥά τοι ὧδε κακὸσ χόλοσ ἔμπεσε θυμῶι.' — 206 cf. *I* 436
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδοσ ϝέργον μεγάλησ, τοῦ πρίν περ ἔρασθε.
ἔνθα τισ ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.“
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου· — 210 = *E* 470
μᾶλλον δὲ στίχεσ ἄρθεν, ἐπεὶ βασιλῆοσ ἄκουσαν.
ὡσ δ' ὅτε τοῖχον ἀνὴρ ἀράρηι πυκινοῖσι λίθοισι

---

188. *πρὸ φάοσδε*] *πρὸ φόωσδε* Zen. *Ω*, *φόωσδε* Ar. A (metro invito).

194. *Μαιμαλίδησ*] *Μαιναλίδησ* Nauck.

196. *γέρων ἱππηλάτα*] *γερήνιοσ ἱππότα* l. a. in T (ut *B* 336 al.).

202. *μ' ἠιτιάεσθε*] *μητιάασθαι* Zen. (immo -*σθε*, ut *X* 174).

207. *ταῦτά μ'*] sic Ar., *ταῦθ' ἅμ'* Hermias Syr.

208. **ϝέργον μεγάλησ, τοῦ*] *μέγα ἔργον ἔησ τό*. Nihili forma *ἔησ* (pro qua Knight *ἔο* metro invito) ne ultimae quidem aetatis poetis tribuenda.

— **περ ἔρασθε*] *γ' ἐράασθε*. Cf. *ι* 119 *π* 208 et § 191 (*πρίν περ* particulae iunctae inveniuntur *E* 135 *Θ* 452).

210. *θυμόν τε* Bentley] *καὶ θυμόν*.

211. *ἦρθεν*] cf. *Λ* 136.

δώματοσ ὑψηλοῖο, βίασ ἀνέμων ἀλεείνων, 213 = Ψ 713
ὣσ ἄραρον κόρυθέσ τε καὶ ἀσπίδεσ ὀμφαλόεσσαι. 214 cf. τ 32
ἀσπὶσ ἄρ' ἀσπίδ' ἔρειδε, κόρυσ κόρυθ', ἀνέρα δ' ἀνήρ, 215-217 = N 131 sqq.
'ψαῦον δ' ἱππόκομοι κόρυθεσ λαμπροῖσι φάλοισι
νευόντων· ὣσ πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε 'θωρήσσοντο,
Πάτροκλόσ τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντεσ, 219ᵇ = O 710
πρόσθεν Μυρμιδόνων πολεμιζέμεν'.

αὐτὰρ Ἀχιλλεὺσ
'βῆ ῥ' ἴμεν' εἰσ κλισίην, χηλοῦ δ' ἀπὸ πῶμ' ἀνόϊγε
καλῆσ δαιδαλέησ, τήν ϝοι Θέτισ ἀργυρόπεζα
'θῆκ' ἐπὶ νηὸσ ἄγεσθαι ἐὺ πλήσασα χιτώνων
χλαινάων τ' ἀνεμοσκεπέων ϝούλων τε ταπήτων.
ἔνθα δέ ϝοι δέπασ ἦσκε τετυγμένον, οὐδέ τισ ἄλλοσ
οὔτ' ἀνδρῶν 'πίνεσκεν ἀπ' αὐτοῖ' αἴθοπα ϝοῖνον,
οὔτε τεωι 'σπένδεσκε θεῶν, ὅτι μὴ Διὶ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείωι
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατοσ καλῆισι ῥοῆισι,
'νίψατο δ' αὐτὸσ χεῖρασ, ἀφύσσατο δ' αἴθοπα ϝοῖνον.
ηὔχετ' ἔπειτ' ἀνστὰσ μέσωι ἕρκεϊ, 'λεῖβε δὲ Ϝοῖνον 231 sq.ᵃ = Ω 306 sq.
οὐρανὸν εἰσανιδών, — Δία δ' οὐ λάθε τερπικέραυνον —·
„Ζεῦ ϝάνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,
Δωδώνησ μεδέων δυσχειμέρου, — ἀμφὶ δὲ Σελλοὶ

---

214. *κόρυθέσ τε καὶ ἀσπίδεσ ὀμφαλόεσσαι*] *-θάσ τε κ. -δασ -σσασ* Bentley (ut τ 32; cf. Π 212); nonnisi h. l. et δ 777 est aoristus intransitivus.

215. *κόρυθ'* l. a. ant.] *κόρυν* Ω. Cf. § 66.

218. *θωρήσσοντο*] *-σσεσθον* A (ut N 301).

221. *ἀνόϊγε* § 241] *ἀνέῳγε*. Cf. Ω 228 et 455.

223. *ἄγεσθαι*] *ἰόντι* Zen. Aristoph.

225. *οὐδέ*] *οὔτε* Ambr. C.

227. *ὅτι* Ar. A] *ὅτε* C T. Neque *ὅτι μή* apud poetam redit, neque *ὅτε μή* nisi addito optativo (N 319 Ξ 248 π 197 ψ 185) apud eum invenitur alibi.

228. *τό* Ar. A] *τὸν* Syr. C.

229. *δ' ἔνιψ'*] *δὲ νίζ'* Syr.

231. *ἔπειτ' ἀνστὰσ* Syr.] *ἔπειτα στὰσ* Ω, quae lectio metro arguitur; nata est ex *επειτα(σ)στασ*. Sic *ασταντεσ* legitur in papyro Ψ 848, *αστηθι* Herod. Mimiamb. VIII 1, 14; cf. etiam B 694 E 104 N 225 Ψ 587 et § 10.

232. *εἰσανιδών*] neglecto ϝ. Verba *μέσωι ἕρκεϊ — εἰσανιδών* ex Ω huc invecta videntur.

233. *Δωδωναῖε*] *Φηγωναῖε* Zen., *Βωδωναῖε* olim alii.

— *Πελασγικέ*] *Πελαργικέ* et *Πελαστικέ* l. a. in T.

234. *δυσχειμέρου*] *πολυπιδακοσ* Zen.

— *Σελλοί*] sic Ar., alii olim *σ' Ἑλλοί*. Pindarus *Ἑλλοί* dixit (test. schol. et Strab. 328), apud Sophoclem Trach. 1167 legitur *Σελλοί*.

σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδεσ χαμαιεῦναι, —
ἠμὲν δή ποτ' ἐμὸν ϝέποσ ἔκλυεσ εὐξαμένοιο, 236 cf. Α 453
'τίμησασ μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν, 237 sq. = Α 454 sq.
ἠδ' ἔτι καὶ νῦν μοι 'τόδ' ἐπικρήηνον ἐϝέλδωρ.
αὐτὸσ μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι, 239 cf. Τ 42
ἀλλ' ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσι
μάρνασθαι· τῶι κῦδοσ ἅμα πρόεσ, εὐρύϝοπα Ζεῦ,
θάρσυνον δέ ϝοι ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ 242b sq. cf. Θ 110 sq.
ϝείσεται ἤ ῥα καὶ οἶοσ ἐπίστηται πολεμίζειν
ἡμέτεροσ θεράπων, ἦ ϝοι τότε χεῖρεσ ἄαπτοι
μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηοσ. 245b = Η 147
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθήσ μοι ἔπειτα θοὰσ ἐπὶ νῆασ ἵκοιτο
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχιμάχοισ' ἑτάροισι."
ὣσ ἔφατ' εὐχόμενοσ, τοῦ δ' ἔκλυε μητιέτα Ζεύσ. 249 = Ω 314 υ 102
τῶι δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε·
νηῶν μέν ϝοι ἀπώσασθαι πόλεμόν τε μάχην τε
'δῶκε, σάον δ' ἀνένευσε μάχησ 'ἒξ ἀπονέεσθαι. 252b = Υ 212
ἦ τοι ὃ μὲν σπείσασ τε καὶ εὐξάμενοσ Διὶ πατρὶ
ἂψ κλισίην εἰσῆλθε, δέπασ δ' ἀπέθηκ' ἐνὶ χηλῶι,
'στῆ δὲ πάροιθ' ἐλθὼν κλισίησ, ἔτι δ' ἤθελε θυμῶι
εἰσϝιδέμεν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν. 256 cf. Δ 65
οἳ δ' ἅμα Πατρόκλωι μεγαλήτορι θωρηχθέντεσ
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντεσ ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσι ϝεϝοικότεσ ἐξεχέοντο
ἐνοδίοισ', οὓσ παῖδεσ ἐριδμαίνωσι ϝέθοντεσ,
αἰεὶ κερτομέοντεσ ὁδῶι ἔπι ϝοικί' ἔχοντασ,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
τοὺσ δ' εἴ περ παρά τίσ τε κιὼν ἄνθρωποσ ὁδίτησ
κινήσηι ἀϝέκων, οἳ δ' ἄλκιμον ἦτορ ἔχοντεσ
πρόσσω πᾶσ πέτεται καὶ ἀμύνει ϝοῖσι τέκεσσι.
τῶν τότε Μυρμιδόνεσ κραδίην καὶ θυμὸν ἔχοντεσ

---

237. Zen. om., Aristoph. Ar. —
243. ϝείσεται] cf. Θ 111.
— ἐπίστηται] ἐπιστέαται (-στάεται? cf. § 122) Zen.
247. ἵκοιτο] ἱκέσθω Syr.
248. ἀγχιμάχοισ(') Par. 2767] ἀγχεμάχοισ Ω (cf. Ν 5).
261. Aristoph. Ar. —, vs. 260—262 del. Nitzsch (in vs. 263 τοὺσ scribens cum Syr.[1]).
— ἔχοντασ Ar.] -ντεσ Syr. A C D[1] T[1].

ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστοσ ὀρώρει. 267b = Λ 500
Πάτροκλοσ δ' ἑτάροισιν ἐκέκλετο μακρὸν ἀύσασ·
„Μυρμιδόνεσ, ἕταροι Πηληϊάδα' Ἀχιλῆοσ,
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ, 270 = Ζ 112
ὣσ κεν Πηλεΐδην τιμήσομεν, ὃσ μέγ' ἄριστοσ 271b sq. = Ρ 164 sq.
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχίμαχοι θεράποντεσ,
γνώηι δ' Ἀτρεΐδησ εὐρὺ κρείων Ἀγαμέμνων 273 sq. = Λ 411 sq.
ϝὴν ἀάτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὔ τι ἔτισε."
ὣσ ϝειπὼν ὤτρυνε μένοσ θυμόν τε ϝεκάστου. 275 = Ε 470
ἐν δ' ἔπεσον Τρώεσσιν ἀϝολλέεσ· ἀμφὶ δὲ νῆεσ
σμερδαλέον 'κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν. 277 = Β 334
Τρῶεσ δ' ὡσ ἐϝίδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντασ, 279 cf. Ν 331
πᾶσιν ὀρίνθη θυμόσ, ἐκίνηθεν δὲ φάλαγγεσ, 280a = Ε 29
ϝελπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα 281b = Θ 474
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι·
'πάπτηνεν δὲ ϝέκαστοσ ὅπηι φύγοι αἰπὺν ὄλεθρον. 283 = Ξ 507
Πάτροκλοσ δὲ πρῶτοσ ἀκόντισε δουρὶ φαεινῶι
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι 'κλονέοντο, 285b = Ε 8
νηῒ πάρα πρυμνῆι μεγαθύμου Πρωτεσιλάου,
καὶ 'βάλε Πυραίχμην, ὃσ Παίονασ ἱπποκορυστὰσ
ἤγαγεν ἐξ Ἀμυδῶνοσ ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντοσ· 288b = Β 849
τὸν 'βάλε δεξιὸν ὦμον, ὃ δ' ὕπτιοσ ἐν κονίηισι 289b sq.a = Δ 522 sq.
κάππεσεν οἰμώξασ, ἕταροι δέ μιν ἀμφ' ἐφόβηθεν
Παίονεσ· ἐν γὰρ Πάτροκλοσ φόβον ἧκεν ἅπασι
ἡγεμόνα κτείνασ, ὃσ ἀριστεύεσκε μάχεσθαι. 292 cf. Λ 746
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴσ δ' ἄρα νηῦσ 'λίπετ' αὐτόθι, τοὶ δ' ἐφόβηθεν
Τρῶεσ θεσπεσίωι ὁμάδωι· Δαναοὶ δ' ἐπέχυντο
νῆασ ἀνὰ γλαφυράσ, ὅμαδοσ δ' ἀλίαστοσ ἐτύχθη. 296 = Μ 471

---

272. Damnabat Seleucus.
— *ἀγχίμαχοι* Vrat.] *ἀγχέμ.* Ω (cf. Ν 5).
273. *γνώηι δ'* § 122] *γνῶι δὲ καί.* Cf. Ω 688.
274. *οὔ τι* § 100] *οὐδέν.*
275. *θυμόν τε* Bentley] *καὶ θυμόν.*
279. *μαρμαίροντασ*] **μαρμαίρουσι* (vel *μαρμαρέοισι*)? *δαιδαλέοισι* (ut vs. parall.) coniecit Duentzer. Sed cf. Ν 801 et Ε 220 alibi.
281. *ϝελπόμενοι*] sic (*ἐλπ.*) Ar., *ἐλπόμεναι* Zen. (cf. Λ 251).
291. *ἧκεν*] **ὦρσεν*? Cf. Ο 327.
293. *αἰθόμενον*] *ἀκάματον* l. a. in A.
296. Ex Μ huc invectum censet Bekker propter vocis *ὁμάδου* repetitionem.

ὡσ δ' ὅτ' ἀφ' ὑψηλῆσ κορυφῆσ ὄρεοσ μεγάλοιο
κινήσηι πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύσ,
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονεσ ἄκροι 299 sq. = Θ 557 sq.
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετοσ αἰθήρ,
ὣσ Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ 301ᵇ cf. Σ 13
τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ 'γίγνετ' ἐρωή. 302ᵇ = Ρ 761
οὐ γάρ πώ τι Τρῶεσ Ἄρηϊ φίλων ὑπ' Ἀχαιῶν
προτροπάδην 'φοβέοντο μελαινάων ἀπὸ νηῶν,
ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπέϝεικον ἀνάγκηι.

ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσησ ὑσμίνησ 306 = Ο 328
ἡγεμόνων, πρῶτοσ δὲ Μενοιτίου ἄλκιμοσ υἱόσ.
αὐτίκ' ἄρα στρεφθέντοσ Ἀρηϊλύκου 'βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 309ᵇ = Ν 388
'ρῆξεν δ' ὀστέον ἔγχοσ, ὃ δὲ πρηνὴσ ἐπὶ γαίηι
κάππεσ'. ἀτὰρ Μενέλαοσ ἀρήϊοσ οὖτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, 'λῦσε δὲ γυῖα. 312 = 400
Φυλεΐδησ δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσασ
ἔφθη ὀρεξάμενοσ πρυμνὸν σκέλοσ, ἔνθα πάχιστοσ 314ᵃ = 322
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεοσ αἰχμῆι
νεῦρα διεσχίσθη, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε. 316ᵇ = Δ 461
Νεστορίδαι δ' ὃ μὲν οὖτασ' Ἀτύμνιον ὀξέι δουρὶ
Ἀντίλοχοσ, λαπάρησ δὲ δι' ἤλασε χάλκεον ἔγχοσ·
ἤριπε δὲ προπάροιθε. Μάρισ δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχωι ἐπόρουσε, κασιγνήτοιο χολωθείσ,
στὰσ πρόσθεν νέκυοσ. τοῦ δ' ἀντίθεοσ Θρασυμήδησ
ἔφθη ὀρεξάμενοσ πρὶν οὐτάσαι — οὐδ' ἀφάμαρτε — 322ᵃ = 314
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸσ ἀκωκὴ
'δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρισ ἄραξε.
'δούπησεν δὲ πεσών, κατὰ δὲ σκότοσ ὄσσ' ἐκάλυψε. 325 = Ο 578
ὣσ τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
'βήτην εἰσ ἔρεβοσ, Σαρπηδόνοσ ἐσθλοὶ ἑταῖροι,
υἷεσ ἀκοντισταὶ Ἀμισωδάρου, ὅσ ῥα Χίμαιραν

---

298. στεροπηγερέτα Ζεύσ] Ζεὺσ ἀστεροπητήσ Knight (cf. Α 609 et Κ 154).
304. 'φοβέοντο] ἐφέβοντο H..
310. γαίηι] -ησ A O.
313. ἐφορμηθέντα] ὑφορμηθέντα Aristophanes.

’θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισι.
Αἴασ δὲ Κλεόβουλον ’Οιλεΐδησ ἐπορούσασ
ζωιὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά ϝοι αὖθι
’λῦσε μένοσ, πλήξασ ξίφε’ αὐχένα κωπήεντι. 332^b cf. Υ 475
πᾶν δ’ ὑπεθερμάνθη ξίφοσ αἵματι· τὸν δὲ κατ’ ὄσσε 333 sq. = Υ 476 sq.
ἔλλαβε πορφύρεοσ θάνατοσ καὶ μοῖρα κραταιή. 334 = Ε 83
Πηνέλεοσ δὲ Λύκων τε συνέδραμον. ἔγχεσι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ’ ἠκόντισαν ἄμφω·
τὼ δ’ αὖτισ ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθοσ φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν 338 sq. cf. Γ 361 / 338 cf. Ν 614 sq.
φάσγανον ἐρραίσθη· ὃ δ’ ὑπ’ οὔατοσ αὐχέν’ ἔθεινε 339 cf. σ 96
Πηνέλεοσ, πᾶν δ’ εἴσω ἔδυ ξίφοσ, ἔσχεθε δ’ οἶον 340 cf. Φ 117^b sq.
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνησ δ’ Ἀκάμαντα κιχεὶσ ποσὶ καρπαλίμοισι
’νύξ’ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον· 343 sq. = Ε 46 sq.
ἤριπε δ’ ἐξ ὀχέων, κατὰ δ’ ὀφθαλμῶν ’κέχυτ’ ἀχλύσ. 344^b = Ε 696
’Ιδομενεὺσ δ’ ’Ερύμαντα κατὰ στόμα νηλέι χαλκῶι
’νύξε· τὸ δ’ ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε 346 cf. Ν 652 κ 162
νέρθεν ὑπ’ ἐγκεφάλοιο, ’κέασσε δ’ ἄρ’ ὀστέα λευκά.
ἐκ δ’ ἐτίναχθεν ὀδόντεσ, ἐνέπλησθεν δέ ϝοι ἄμφω
αἵματοσ ὀφθαλμώ· τὸ δ’ ἀνὰ στόμα καὶ κατὰ ῥῖνασ
’πρῆσε χανών, θανάτου δὲ μέλαν νέφοσ ἀμφεκάλυψε. 350^b = δ 180
οὗτοι ἄρ’ ἡγεμόνεσ Δαναῶν ἕλον ἄνδρα ϝέκαστοσ.
ὡσ δὲ λύκοι ϝάρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
σίνται, ὑπ’ ἐκ μήλων αἱρεύμενοι, αἵ τ’ ἐν ὄρεσσι
ποιμένοσ ἀφραδίηφι διέτμαγεν, οἳ δὲ ϝιδόντεσ
αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσασ,
ὣσ Δαναοὶ Τρώεσσιν ἐπέχραον, οἳ δὲ φόβοιο
δυσκελάδου ’μνήσαντο, ’λάθοντο δὲ θούριδοσ ἀλκῆσ. 357^b = Ο 322

---

330. ’Οιλεΐδησ Knight] -λιάδησ. Cf. Μ 365.
335 et 340. Πηνέλεοσ § 62] -ωσ. Cf. Β 494.
338. καυλὸν T] καλὸν A C D (cf. Ν 611).
343. ἐπιβησόμενον] cf. Ε 46.
345. ’Ερύμαντα] ’Ορ. l. a. ant.
349. ὀφθαλμώ] -μοι Ω. Similia sunt π 15 ρ 89, 302 τ 417. Cf. tamen θ 135 υ 365.

351. ἄνδρα ϝέκαστοσ] ἄνδρασ ἀρίστουσ l. a. in A.
353. αἵ] sic Ar., οἵ olim quidam, qua recepta lectione Fick delet verba ἢ ἐρίφοισι | — αἱρεύμενοι.
354. ἀφραδίηφι § 46] -ῃσι.
— διέτμαγεν] sic Ar., -γον Syr.

Αἶασ δ' ὁ μέγασ αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῆι
'ϝίετ' ἀκοντίσσαι· ὃ δὲ ϝιδρίηι πολέμοιο, 359ᵃ = *Ν* 585
ἀσπίδι ταυρείηι κεκαλυμμένοσ εὐρέασ ὤμουσ, 360ᵇ = h. Merc. 217
'σκέπτετ' ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων. 361ᵇ cf. *Δ* 364
ἦ μὲν δὴ 'γίγνωσκε μάχησ ἑτεραλκέα νίκην, 362ᵇ = *Η* 26
ἀλλὰ καὶ ὦσ ἀνέμιμνε, 'σάου δ' ἐρίϝηρασ ἑταίρουσ.
ὡσ δ' ὅτ' ἀπ' Οὐλύμπου νέφοσ ἔρχεται οὐρανὸν εἴσω
αἰθέροσ ἐκ δίησ, ὅτε τε Ζεὺσ λαίλαπα τείνηι, 365ᵃ = h. Cer. 70
ὦσ τῶν ἐκ νηῶν 'γένετο ϝιϝαχή τε φόβοσ τε, 366 cf. *Δ* 456; 366ᵇ = *Μ* 144
οὐδὲ κατὰ μοῖραν 'πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
ἔκφερον ὠκύποδεσ σὺν τεύχεσι, 'λεῖπε δὲ λαὸν
Τρωϊκόν, οὓσ ἀϝέκοντασ ὀρυκτὴ τάφροσ ἔρυκε.
πολλῶν δ' ἐν τάφρωι ϝερυσάρματεσ ὠκέεσ ἵπποι
ϝάξαντ' ἐν πρώτωι ῥυμῶι 'λίπον ἅρμα ϝανάκτων. 371ᵃ = *Ζ* 40; 371ᵇ cf. *Π* 507
Πάτροκλοσ δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων, 372ᵇ = *Λ* 165
Τρωσὶ κακὰ φρονέων· οἳ δὲ ϝιϝαχῆι τε φόβωι τε
πάσασ 'πλῆσαν ὁδούσ, ἐπεὶ ἄρ 'τμάγεν· ὕψι δ' ἄελλα
'σκίδναθ' ὑπὸ νεφέων, 'τανύοντο δὲ μώνυχεσ ἵπποι
ἄψορρον προτὶ ϝάστυ νεῶν ἄπο καὶ κλισιάων. 376 cf. *Λ* 803; 376ᵃ = *Μ* 74
Πάτροκλοσ δ' ἧι πλεῖστον ὀρινόμενον 'ϝίδε λαόν,
τῆι ῥ' ἔχ' ὁμοκλήσασ· ὑπὸ δ' ἄξοσι φῶτεσ ἔπιπτον
πρηνέεσ ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέεσ ἵπποι
382 *πρόσσω ϝιέμενοι· ἐπὶ δ' Ἕκτορι 'κέκλετο θυμόσ,*
'ϝίετο γὰρ βαλέμεν· τὸν δ' ἔκφερον ὠκέεσ ἵπποι. 383 = 866
ὡσ δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
ἤματ' ὀπωρινῶι, ὅτε λαβρότατον χέει ὕδωρ

---

381 *ἄμβροτοι, οὓσ Πηλῆϊ θεοὶ 'δόσαν ἀγλαὰ δῶρα,* 381 = 867; 381ᵇ = *Σ* 84 *Ω* 534

---

363. *σάου* Cobet] *σάω*. Cf. *Φ* 238 *ν* 230 *ϱ* 595 et § 195.

365. *λαίλαπα*] *-πι* l. a. in Ar. comment.

369. *ἔρυκε*] *ἔεργε* Syr.

370. **πολλῶν*] *πολλοὶ* *Ω*, quod cum *ϝάξαντε* iungi non potuit.

371. *ἅρμα* Bentley] *ἅρματ'*.

374. *ἄελλα* Barnes] *ἀέλλη*. Apud H. non redit nominativus, sed aliunde constat brevem esse syllabam finalem; cf. *θύελλα*.

376¹. *ἐλιχθέντων ὑπ' Ἀχαιῶν* l. a. in A (ut *Μ* 74).

379. *ἀνεκυμβαλίαζον*] *-χίαζον* Heyne (coll. *Ε* 586 *Ο* 536).

381. Om. Syr. A C D.

384. *κελαινή*] *-νῆι* Spitzner (coll. *Λ* 747 *Μ* 375 *Υ* 51, sed ordine verborum non favente).

385. *ἤματ' ὀπωρινῶι*] *-τι χειμερίωι* L (ut *Μ* 279).

Ζεύσ, ὅτε δὴ ἄνδρεσσι κοτεσσάμενοσ χαλεπήνηι, 386ᵇ = ε 147 cf. ι 83
οἳ βίηι ἐν ἀγορῆι σκολιὰσ κρίνωσι θέμιστασ, 387 sq. cf. Hes. Op. 221-224
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντεσ· — 388ᵇ = Hes. Op. 251
τῶν δέ τε πάντεσ μὲν ποταμοὶ πλήθουσι ῥέοντεσ, 389ᵇ = ι 207
πολλὰσ δὲ κλιτῦσ τότ' ἀποτμήγουσι χαράδραι,
εἰσ δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπὶ κάρ, μινύθει δέ τε ϝέργ' ἀνθρώπων· —
ὣσ ἵπποι Τρώιαι μεγάλ' ἐστενάχοντο θέουσαι.
Πάτροκλοσ δ' ἐπεὶ οὖν πρώτασ ἐπέκερσε φάλαγγασ,
ἂψ ἐπὶ νῆασ ἔϝεργε παλιμπετέσ, οὐδὲ πόληοσ
εἴαε ϝιεμένουσ ἐπιβαινέμεν', ἀλλὰ μεσηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεοσ ὑψηλοῖο 397ᵇ = Φ 540
'κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.
ἔνθ' ἦ τοι Πρόνοον πρῶτον 'βάλε δουρὶ φαεινῶι,
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, 'λῦσε δὲ γυῖα· 400 = 312
'δούπησεν δὲ πεσών. ὃ δὲ Θέστορα, Ϝήνοποσ υἱόν,
δεύτερον ὁρμηθείσ, — ὃ μὲν εὖ ξεστῶι ἐνὶ δίφρωι
ἧστο ϝαλείσ, ἐκ γὰρ 'πλήγη φρένασ, ἐκ δ' ἄρα χειρῶν
ἡνία ϝ' ἠΐχθησαν· ὃ δ' ἔγχεϊ 'νύξε παραστὰσ
γναθμὸν δεξιτερόν, διὰ δ' αὐτῶν 'πεῖρεν ὀδόντων.
εἷλκε δὲ δουρὸσ ἑλὼν ὑπὲρ ἄντυγοσ, ὡσ ὅτε τισ φὼσ
πέτρηι ἔπι προβλῆτι καθήμενοσ ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνωι καὶ ϝήνοπι χαλκῶι·
ὣσ εἷλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῶι,
κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε, πεσόντα δέ μιν 'λίπε θυμόσ.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσυμένον 'βάλε πέτρωι 411ᵇ = Υ 288
μέσσην κὰκ κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη 412 sq. cf. 578 sq. 412 = Υ 387
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴσ ἐπὶ γαίηι 413ᵇ = Φ 118
κάππεσεν, ἀμφὶ δέ μιν θάνατοσ 'χύτο θυμορραίστησ. 414 = 580 cf. Ν 544

---

386. δή Syr. A C] δή τ' Ω. Cf. Ζ 306 Κ 536 Δ 171 Ν 633.

387 sq. Postmodo additi videntur; damnavit Nitzsch (simul cum vs. 386).

389. τῶν] *τοῦ?

393. Τρώιαι] Τρώων D.

394. πρώτασ ἐπέκερσε φάλαγγασ] π. ἀπέκερσε φ. recc., π. ἐπέκυρσε φ. D T, πρώταισ ἐνέκερσε (voluit -κυρσε, ut legitur Ν 145) φάλαγξι Syr.

399. δουρὶ φαεινῶι] ποιμένα λαῶν l. a. ant.

404. *ϝ'] addidimus; Brandreth dederat ϝοι ἤϊχθεν.

405. αὐτῶν Bekker] αὐτοῦ.

411. Ἐρύλαον D] Εὐρύλαον L Z, Εὐρύαλον Ω (!). — ἐπεσσυμένον] -νοσ D et l. a. in A T.

414. θυμορραίστησ] cf. Ν 544.

αὐτὰρ ἔπειτ' Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε
Ϝιφέα τ' Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντασ ἐπασσυτέρουσ 'πέλασε χθονὶ πολυβοτείρηι. 418 = Θ 277

Σαρπηδὼν δ' ὡσ οὖν 'ϝίδ' ἀμιτροχίτωνασ ἑταίρουσ
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντασ, 420 cf. 434, 452
'κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενοσ Λυκίοισι· 421 cf. M 408
„αἰδώσ, ὦ Λύκιοι! πόσε φεύγετε; νῦν θοοὶ ἔστε· 422ᵃ cf. E 787
ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέροσ, ὄφρα δαήω
ὅσ τισ ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ϝέϝοργε 424 sq. = E 175 sq.
Τρῶασ, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε."
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε. 426 = Δ 419
Πάτροκλοσ δ' ἑτέρωθεν, ἐπεὶ 'ϝίδεν, ἔκθορε δίφρου.
οἳ δ', ὥσ τ' αἰγυπιοὶ γαμψώνυχεσ ἀγκυλοχῆλαι 428 = χ 302
πέτρηι ἔφ' ὑψηλῆι μεγάλα κλάζοντε μάχωνται,
ὣσ οἳ κεκληγῶτεσ ἐπ' ἀλλήλοισιν ὄρουσαν. 430ᵇ = Ξ 401
τοὺσ δὲ ϝιδὼν ἐλέησε Κρόνου πάϊσ ἀγκυλόμητισ, 431ᵃ cf. Θ 350
Ἥρην δὲ προσέϝειπε κασιγνήτην ἄλοχόν τε· 432 cf. Σ 356
„ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι. 434 cf. 420
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι, 435-439 cf. X 174 sqq.
ἤ μιν ζωιὸν ἐόντα μάχησ ἄπο δακρυοέσσησ
θήω ἀναρπάξασ Λυκίησ ἐν πίονι δήμωι, 437ᵇ = 514
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω." 438 cf. Z 368
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπισ πότνια Ἥρη· 439 sq. = Δ 551 sq.
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπεσ;
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι, 441-443 = X 179 [sqq. 441ᵇ = O 209
ἂψ ἐθέλεισ θανάτοιο δυσηχέοσ ἐξαναλῦσαι;
ϝέρδ'· ἀτὰρ οὔ τοι πάντεσ ἐπαινέομεν θεοὶ ἄλλοι. 443 = Δ 29
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι· 444 = Δ 297

---

428. ἀγκυλοχῆλαι Zacher] -χεῖλαι Ω (item τ 538 χ 302).
430. κεκληγῶτεσ Ar.] -γοντεσ Ar. in ed. altera et Ω. Cf. M 125.
431. Κρόνου πάϊσ ἀγκυλόμητισ] πατὴρ ἀνδρῶν τε θεῶν τε (ut Δ 544 alibi) habet T. — ἀγκυλόμητισ § 55 et 88[10]] -μήτεω.
432—458. Om. Zen. (cf. vs. 666—683).
433. ὤ μοι] αἲ αἲ Plat. Rep. 388 c.
442. θανάτοιο δυσηχέοσ] cf. B 686.

αἴ κε σάον πέμψηισ Σαρπηδόνα ϝόνδε δόμονδε,
φράζεο μή τισ ἔπειτα θεῶν ἐθέληισι καὶ ἄλλοσ
πέμπειν ϝὸν φίλον υἱὸν ἀπὸ κρατερῆσ ὑσμίνησ·
πολλοὶ γὰρ περὶ ϝάστυ μέγα Πριάμοιο μάχονται
υἱέεσ ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεισ.
ἀλλ' εἴ τοι φίλοσ ἐστί, τεὸν δ' ὀλοφύρεται ἦτορ, 450ᵇ cf. *X* 169
ἦ τοι μέν μιν ἔασον ἐνὶ κρατερῆι ὑσμίνηι
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι, 452 cf. 420
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπηι ψυχή τε καὶ αἰών, 453ᵇ cf. *ι* 523
πέμπειν μιν Θάνατόν τε φέρειν καὶ ϝήδυμον Ὕπνον,
εἰσ ὅ κε δὴ Λυκίησ εὐρείησ δῆμον ἵκωνται,
ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε 456 sq. = 674 sq. 456ᵃ cf. *H* 85 [239
τύμβωι τε στήληι τε· τὸ γὰρ γέρασ ἐστὶ θανόντων.“ 456ᵇ = *ο* 273 cf. *Z*
ὣσ ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε. 457ᵇ = *ω* 296 cf. *Δ* 323 *ψ* 9 *ω* 190
αἱματοέσσασ δὲ ψιάδασ κατέχευεν ἔραζε 458 = *Δ* 68
παῖδα φίλον τίων, τόν ϝοι Πάτροκλοσ ἔμελλε
φθισέμεν' ἐν Τροίηι ἐριβώλακι, τηλόθι πάτρησ. 461 cf. *Ω* 86

οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 462 = *Γ* 15
ἔνθ' ἦ τοι Πάτροκλοσ ἀγακλειτὸν Θρασύμηλον,
ὅσ ῥ' ἠὺσ θεράπων Σαρπηδόνοσ ἦσκε ϝάνακτοσ,
τὸν 'βάλε νείαιραν κατὰ γαστέρα, 'λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῶι 466ᵇ = 477
δεύτεροσ ὁρμηθείσ, ὃ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ' ἔβραχε θυμὸν ἀΐσθων,
κὰδ δ' ἔπεσ' ἐν κονίηισι μακών, ἀπὸ δ' ἔπτατο θυμόσ. 469 = *κ* 163 *τ* 454 469ᵃ = *σ* 98
τὼ δὲ διεστήτην, 'κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ', ἐπεὶ δὴ ἔκειτο παρήοροσ ἐν κονίηισι.
τοῖο μὲν Αὐτομέδων δουρὶ κλυτὸσ ηὕρετο τέκμωρ·

---

445. *σάον* (*σόον*) Bentley] *ζῶν* Ar., sic aut *ζωὸν* *Ω*, *αἰ ζω(ι)ὸν* vChrist. Cf. *E* 887.
450. *φίλοσ*] sic Ar., *-ον* A D.
454. *ϝήδυμον* § 41³] *νήδυμον* Ar. *Ω*.
455. *ἵκωνται*] *ἵκοιτο* l. a. in A.
456. *ἔνθα ϝε ταρχύσουσι*] *ὄφρα ἑ ταρχύσωσι* Stob. Flor. CXXIII 7, ut legitur *H* 85.
460. *τίων* § 165] *τιμῶν*.
467. *δεύτεροσ* A] *-ρον* Ar. C D.
467 sq. *οὔτασεν ἵππον | ἔγχεϊ*] *ἀγλαὸν ἵππον, | τόν ῥά ποτ' Ἠετίωνοσ ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύσ, | ὃσ καὶ θνητὸσ ἐὼν ἕπεθ' ἵπποισ ἀθανάτοισι, | τὸν βάλε* lectio (e vs. 153 sq. interpolata) Aristarcho tribuitur in schol. T; Didymus vero scribit nihil de hoc loco Aristarchum observasse, Philemonem autem legisse *ἤλασεν* pro *οὔτασεν*.
470. *'κρίκε*] *κρίγε* et *τρίγε* l. a. in T.

σπασσάμενοσ τανύηκεσ ἄορ παχέοσ παρὰ μηροῦ, — 473 = κ 439 λ 231
ἀΐξασ ἀπέκοψε παρήορον οὐδ' ἐμάτησε.
τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσ' ἐτάνυσθεν.
τὼ δ' αὖτισ συνίτην ἔριδοσ πέρι θυμοβόροιο. — 476b = Η 301
ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῶι, — 477b = 466
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ — 478 cf. Ε 16
ἔγχεοσ, οὐδ' ἔβαλ' αὐτόν. ὃ δ' ὕστεροσ ὤρνυτο χαλκῶι — 479 = Ε 17
Πάτροκλοσ· τοῦ δ' οὐχ ἅλιον βέλοσ ἔκφυγε χειρόσ, — 480 sq.a cf. Ε 18 sq.
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένεσ εἴρχαται ἀμφ' ἀδινὸν κῆρ. — 481b cf. τ 516
ἤριπε δ' ὡσ ὅτε τισ δρῦσ ἤριπεν ἢ ἀχερωΐσ — 482-486 = Ν 389 sqq.
ἠὲ πίτυσ βλωθρή, τήν τ' οὔρεσι τέκτονεσ ἄνδρεσ
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
ὣσ ὃ πρόσθ' ἵππων καὶ δίφρου 'κεῖτο τανυσθείσ,
βεβρυχώσ, κόνιοσ δεδραγμένοσ αἱματοέσσησ.
ἠύτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσι,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῆισι λέοντοσ,
ὣσ ὑπὸ Πατρόκλωι Λυκίων ἀγὸσ ἀσπιστάων — 490b = 541, 593
κτεινόμενοσ 'μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον· — 491b cf. Κ 522
„Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ — 492b sq. = Χ 268 sq.
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν! — 493 = Ε 602
νῦν τοι ἐϝελδέσθω πόλεμοσ κακόσ, εἰ θοόσ ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορασ ἄνδρασ — 495 cf. 532
πάντηι ἐποιχόμενοσ Σαρπηδόνοσ ἀμφὶ μάχεσθαι, — 496 = 533
αὐτὰρ ἔπειτα καὶ αὐτὸσ ἐμεῦ πέρι μάρναο χαλκῶι.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδοσ — 498 sq. cf. h. Ven. 248 sq.; 498b = Ρ 556
ἔσσομαι ἤματα πάντα διαμπερέσ, εἴ κέ μ' Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα. — 500 = Ο 428
ἀλλ' ἔχεο κρατερῶσ, ὄτρυνε δὲ λαὸν ἅπαντα." — 501 = Ρ 559
ὣσ ἄρα μιν ϝειπόντα τέλοσ θανάτοι' ἐκάλυψε — 502 = 855 Χ 361; 502b = Ε 558
ὀφθαλμοὺσ ῥῖνάσ θ'. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων — 503b = Ν 618

---

475. ῥυτῆρσ'(ι)] -ρι l. a. in T.
479. ἔβαλ' αὐτόν] cf. Ε 17.
481. εἴρχαται § 230] ἔρχαται.
486. βεβρυχώσ] -χὼσ l. a. ant.
488. ἐν] sic Ar., ἐπ' H (cf. Λ 55).
492. πέπον] πάροσ mavult aliquis in schol. T.
494. κακόσ] θρασύσ l. a. in A.
496. Σαρπηδόνοσ] -τι? Cf. Ο 391.
499. κέ μ'] κεν l. a. in A.
501. ἅπαντα] ἀπάντη(ι) Naber (item Ρ 559).

ἐκ χροὸσ εἷλκε δόρυ, προτὶ δὲ φρένεσ αὐτῶι ἕποντο·
τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεοσ ἐκϝέρυσ' αἰχμήν.
Μυρμιδόνεσ δ' αὖθι 'σχέθον ἵππουσ φυσιάοντασ,
ϝιεμένουσ φοβέεσθαι, ἐπεὶ 'λίπον ἅρμα ϝάνακτεσ. 507b cf. 871
Γλαύκωι δ' αἰνὸν ἄχοσ 'γένετο φθογγῆσ ἀΐοντι·
ὠρίνθη δέ ϝοι ἦτορ, ὃ ϝ' οὐ 'δύνατο προσαμῦναι.
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· 'τεῖρε γὰρ αἰνῶσ
ἕλκοσ, ὃ δή μιν Τεῦκροσ ἐπεσσυμένον 'βάλεν ἰῶι 511 sq.a cf. Μ 388
τείχεοσ ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων. 512b cf. Μ 334
εὐχόμενοσ δ' ἄρ' ἔϝειπε ϝεκηβόλωι Ἀπόλλωνι· 513a = η 330 cf. Τ 257
„κλῦθι, ϝάναξ, ὅσ που Λυκίησ ἐν πίονι δήμωι 514b = 487
ἐσσ' ἢ ἐν Τροίηι· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
ἀνέρι κηδομένωι, ὥσ νῦν ἐμὲ κῆδοσ ἱκάνει.
ἕλκοσ μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείηισ' ὀδύνηισιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμοσ ὑπ' αὐτοῦ,
ἔγχοσ δ' οὐ δύναμαι σχέμεν' ἔμπεδον οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ' ὄχ' ἄριστοσ ὄλωλε, 521b cf. Ω 384
Σαρπηδών, Διὸσ υἱόσ· ὃ δ' οὐ ϝοῦ παιδὸσ ἀμύνει.
ἀλλὰ σύ πέρ με, ϝάναξ, τόδε καρτερὸν ἕλκοσ ἄκεσσαι,
κοίμησον δ' ὀδύνασ, δὸσ δὲ κράτοσ, ὄφρ' ἑτάροισι
κεκλόμενοσ Λυκίοισιν ἐποτρύνω πολεμίζειν
αὐτόσ τ' ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι." 526 cf. 565
ὣσ ἔφατ' εὐχόμενοσ, τοῦ δ' ἔκλυε Φοῖβοσ Ἀπόλλων· 527 = Λ 43
αὐτίκ' ἔπαυσ' ὀδύνασ, ἀπὸ δ' ἕλκεοσ ἀργαλέοιο 528b sq. cf. Δ 812 sq.

---

504. ἕποντο] ἵχοντο Ar.

507. (')λίπον Zen.] λίπεν Ar. (ἐλείφθησαν interpretatus!) A D T.

— ἅρμα Bentley] ἅρματ'.

— ϝάνακτεσ Jortin] ἀνάκτων Ω (ut vs. 871). Haec nisi recipitur coniectura, damnandus est versus (vs. 505—507 del. Knight, 506 sq. Duentzer).

509. *ϝ'(οι)] τ'. Cf. Β 288.

510. αἰνῶσ H] αὐτὸν Ω. Cf. Ε 352.

515. ἐν L Z] ἐνὶ Ω. Cf. § 16.

— πάντοσ' ἀκούειν] sic Ar., πάντ' ἐσακούειν Zen., πάντοθ'(ι) ἀκούειν l. a. in T (OC—EC—OΘ).

518 sq. μοι . . . δύναται] *τοι . . . δύναμαι? Cf. vs. 529. Aptius est *non possum* quam *non potest*; passivum vero si est τερσῆναι, novicius est terminus pro -ήμεναι (cf. ζ 98 et § 125).

519. ὑπ' αὐτοῦ] ὕπερθε H (cf. Δ 421).

521. ὄχ' ἄριστοσ] cf. Δ 288.

522. οὐ Bentley] οὐδ'.

— ϝοῦ παιδὸσ] sic (οὗ π.) Ar., ᾧ παιδὶ Ω. Cf. Δ 11 Μ 402 Ν 110 (et Σ 171).

523. με Bentley] μοι.

— ἕλκοσ] ἄλγοσ O (cf. Τ 49).

524. κοίμησον] -μι(σ)σον O T.

526. νέκυι -ῶτι] νέκυν -ῶτα L (cf. Π 775 Ρ 388). Dativus in hac structura sollemnis, neque suspectum est -υι (cf. § 75).

αἷμα μέλαν 'τέρσηνε, μένοσ δέ ϝοι ἔμβαλε θυμῶι.
Γλαῦκοσ δ' ἔγνω ϝῆισιν ἐνὶ φρεσί — 'γήθησέν τε —
ὅττι ϝέ' ὦκ' ἤκουσε μέγασ θεὸσ εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορασ ἄνδρασ 582 cf. 495
πάντηι ἐποιχόμενοσ Σαρπηδόνοσ ἀμφὶ μάχεσθαι· 583 = 496
αὐτὰρ ἔπειτα μετὰ Τρῶασ 'κίε μακρὰ βιβάσθων, 584ᵇ = Ν 809
Πολυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
'βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν.
ἀγχόθι δ' ἱστάμενοσ ϝέπεα πτερόεντα προσηύδα· 587 = Δ 203
„Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένοσ ἔσσ' ἐπικούρων,
οἵ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδοσ αἴησ 589ᵇ = Δ 817
θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεισ ἐπαμύνειν.
κεῖται Σαρπηδών, Λυκίων ἀγὸσ ἀσπιστάων, 541ᵇ = 490
ὃσ Λυκίην ἔρρυτο δίκηισί τε καὶ σθένεϊ ϝῶι·
τὸν δ' ὑπὸ Πατρόκλωι 'δάμασ' ἔγχεϊ χάλκεοσ Ἄρησ.
ἀλλά, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῶι,
μή ϝ' ἀπὸ τεύχε' ἕλωνται, ἀϝεικίσσωσι δὲ νεκρὸν 545ᵇ = Τ 26
Μυρμιδόνεσ, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺσ ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνομεν ἐγχείηισι."
ὣσ ἔφατο, Τρῶασ δὲ κατ' ἄκρηθεν 'λάβε πένθοσ
ἄσχετον, οὐκ ἐπιϝεικτόν, ἐπεί σφισιν ἕρμα πόληοσ 549ᵃ cf. Ε 892ᵇ
ἦσκε καὶ ἀλλοδαπόσ περ ἐών· πολέεσ γὰρ ἅμ' αὐτῶι
λαοὶ ἕποντ', ἐν δ' αὐτὸσ ἀριστεύεσκε μάχεσθαι.
'βὰν δ' ἰθὺσ Δαναῶν λελιημένοι, ἦρχε δ' ἄρα σφι 552 cf. Μ 106
Ἕκτωρ χωόμενοσ Σαρπηδόνοσ.

αὐτὰρ Ἀχαιοὺσ
ὦρσε Μενοιτιάδεω Πατροκλέεοσ λάσιον κῆρ.
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 555 = Ν 46
„Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,

---

581. ϝέ' (εὐ) Duentzer] οἱ. Cf. Ι 635 sq.
583. Σαρπηδόνοσ] -νι? Cf. Ο 391.
587. ἀγχόθι δ'] cf. Β 172.
542. ἔρρυτο § 164] εἴρυτο.
543. Πατρόκλωι] -κλου Doederlein (ut Ρ 308 Γ 436 Δ 479). Cf. Ν 434 τ 488 φ 218.
545. ϝ'] add. Cobet.
548. κατ' ἄκρηθεν] κατὰ κρῆθεν Ar. (et codd. multi, item λ 588 h. Cer. 182), fortasse recte; sic tamen molestum est κατ' ἄκρησ Ν 772 Ο 557. Cf. § 82.
554. Μενοιτιάδεω] -δαο L Z, qui priscus est genitivi terminus (cf. § 55); sed dictioni epicae Πάτρ- nihilo melius convenit quam -δεω (cf. § 25 et Ζ 479).
556. φίλον] μένοσ l. a. in A.

οἷοί περ πάροσ ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείουσ.
κεῖται ἀνήρ, ὃσ πρῶτοσ ἐσήλατο τεῖχοσ Ἀχαιῶν, 558 cf. *M* 438
Σαρπηδών. ἀλλ' εἴ μιν ἀϝεικισσαίμεθ' ἑλόντεσ,
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέι χαλκῶι!"
ὣσ ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι 'μενέαινον. 562 = *O* 565
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγασ, 563 cf. *Δ* 215
Τρῶεσ καὶ Λύκιοι καὶ Μυρμιδόνεσ καὶ Ἀχαιοί,
σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι 565 cf. 526
.δϝεινὸν ἀύσαντεσ· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺσ δ' ἐπὶ νύκτ' ὀλοὴν 'τάνυσε κρατερῆι ὑσμίνηι,
ὄφρα φίλωι περὶ παιδὶ μάχησ ὀλοὸσ πόνοσ εἴη.
ὦσαν δὲ πρότεροι Τρῶεσ ϝελίκωπασ Ἀχαιούσ· 569 = *P* 274
'βλῆτο γὰρ οὔ τι κάκιστοσ ἀνὴρ μετὰ Μυρμιδόνεσσι,
υἱὸσ Ἀγακλέεοσ μεγαθύμου, δῖοσ Ἐπειγεύσ,
ὃσ ῥ' ἐν Βουδείωι ἐὺ ναιομένωι ἐϝάνασσε
τὸ πρίν, ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξασ
εἰσ Πηλῆ' ἱκέτευσε καὶ εἰσ Θέτιν ἀργυρόπεζαν·
οἳ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι 'πέμπον ἕπεσθαι
Ϝίλιον εἰσ ἐύπωλον, ἵνα Τρώεσσι μάχοιτο. 576 = ξ 71 cf. λ 169
τόν ῥα τόθ' ἁπτόμενον νέκυοσ 'βάλε φαίδιμοσ Ἕκτωρ
χερμαδίωι κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη 578 sq. cf. 412 sq.
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴσ ἐπὶ νεκρῶι 579^b = *P* 300
κάππεσεν, ἀμφὶ δέ μιν θάνατοσ 'χύτο θυμορραίστησ. 580 = 414
Πατρόκλωι δ' ἄρ' ἄχοσ 'γένετο φθιμένοι' ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ϝεϝοικὼσ 582^a = *P* 281, 582^b = *O* 237
ὠκέι, ὅσ τ' ἐφόβησε κολοιούσ τε ψῆράσ τε·
ὣσ ἰθὺσ Λυκίων, Πατρόκλεεσ ἱπποκέλευθε,
ἔσσυο καὶ Τρώων, 'κεχόλωσο δὲ κῆρ ἑτάροιο.
καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεοσ φίλον υἱόν,

---

557. *ἀρείουσ*] **ἄρειον* (*fortius*, cum verbo *ἀμύνεσθαι* iungendum)? Vulgata contorta, et recentioris dictionis est *ἀρείουσ* pro *-ονεσ* (an *-ονασ? Δ* 542); cf. § 85.

559. *εἰ*] sic Ar., *εὖ* Rhianus.

561. *ἀμυνομένων*] *-νον* Naber.

562. *ἀλέξασθαι*] cf. *N* 475.

568. *ὀλοὸσ*] *ἄλιοσ* Nauck.

571. *Ἐπειγεύσ*] *-ηγ-* A H.

580 et 591. *θυμορραίστησ* et *-ρραιστέων*] cf. *N* 544.

586. *Σθενέλαον*] *Σθένελον* Fick, ne nominis sequentis syllaba initialis corripiatur (cf. *P* 602).

αὐχένα χερμαδίωι, 'ρῆξεν δ' ἀπὸ τοῖο τένοντε.
'χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμοσ Ἕκτωρ. 588 = Δ 505
ὅσσε δ' αἰγανέησ ῥιπὴ ταναοῖο τέτυκται,
ἥν ῥά τ' ἀνὴρ ἀφέηι πειρώμενοσ ἢ ἐν ἀέθλωι 590 cf. Ο 859
ἠὲ καὶ ἐν πολέμωι, δηΐων ὕπο θυμορραιστέων, 591ᵇ = Σ 220
τόσσον ἐχώρησαν Τρῶεσ, ὤσαντο δ' Ἀχαιοί.
Γλαῦκοσ δὲ πρῶτοσ, Λυκίων ἀγὸσ ἀσπιστάων, 593ᵇ = 490
ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνοσ φίλον υἱόν, ὃσ Ἑλλάδι ϝοικία ναίων
ὄλβωι τε πλούτωι τε μετέπρεπε Μυρμιδόνεσσι. 596 cf. Ω 536
τὸν μὲν ἄρα Γλαῦκοσ στῆθοσ μέσον οὔτασε δουρί, 597ᵇ = Ν 438
στρεφθεὶσ ἐξαπίνησ, ὅτε μιν κατέμαρπτε διώκων. 598ᵇ cf. Ε 65
'δούπησεν δὲ πεσών, πυκινὸν δ' ἄχοσ ἔλλαβ' Ἀχαιούσ,
ὡσ ἔπεσ' ἐσθλὸσ ἀνήρ· μέγα δὲ Τρῶεσ 'κεχάροντο,
'στὰν δ' ἀμφ' αὐτὸν ἰόντεσ ἀϝολλέεσ. οὐδ' ἄρ' Ἀχαιοὶ
ἀλκῆσ ἐξελάθοντο, μένοσ δ' ἰθὺσ 'φέρον αὐτῶν. 602ᵇ cf. Ε 506ᵃ
ἔνθ' αὖ Μηριόνησ Τρώων ἕλεν ἄνδρα κορυστήν, 603ᵇ = Δ 457
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτοροσ, ὃσ Διὸσ ἱρεὺσ
Ἰδαίου 'τέτυκτο, θεὸσ δ' ὣσ 'τίετο δήμωι· 605 cf. Ε 78
τὸν 'βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατοσ, ὦκα δὲ θυμὸσ 606 sq. = Ν 671 sq.
ὤιχετ' ἀπὸ μελέων, στυγερὸσ δ' ἄρα μιν σκότοσ εἷλε.
Αἰνείασ δ' ἐπὶ Μηριόνηι δόρυ χάλκεον ἧκε,
'ϝέλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβάντοσ. 609ᵇ cf. Ν 807
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ, 610-613 = Ρ 526 [sqq.
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν 610 = Ν 184
οὖδε' ἐνεσκίμφθη, ἐπὶ δ' οὐρίαχοσ 'πελεμίχθη. 612ᵇ cf. Ν 443
Αἰνείασ δ' ἄρα θυμὸν ἐχώσατο 'φώνησέν τε·
„Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα

613 ἔγχεοσ· ἔνθα δ' ἔπειτ' ἀφίει μένοσ ὄβριμοσ Ἄρησ. 613 = Ν 444
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίησ 614 sq. = Ν 504 sq.
ὤιχετ', ἐπεὶ ῥ' ἅλιον στιβαρῆσ ἀπὸ χειρὸσ ὄρουσε.

587. τένοντε A² G] -ντασ Ω. Cf. Δ 521 Ε 307 Κ 456 Ξ 466 Ρ 290 Υ 478 Χ 396 γ 449.
604. θρασὺν] φίλον l. a. in T.
606. 'βάλ' ὑπὸ γναθμοῖο καὶ] ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ schol. B T ad Δ 461.
607. Olim quidam addebant: *Μηριόνησ δ' ἀνέπαλτο, φίλον δέ οἱ ἦτορ ἰάνθη.*
609. προβιβάντοσ] -βῶντοσ Ω. Cf. Γ 22.
613. Ar. in priore ed. om., in alteram extra ordinem recepit („ἄλογοσ sive *non numeratus* αὐτῶι παρέκειτο". Pro ἄλογοσ Lehrs Cobet scribunt ὀβελόσ). Cf. α 424.
614 sq. Adduntur in margine D H Par., in textu habent G alii recc.

ἔγχοσ ἐμὸν κατέπαυσε διαμπερέσ, εἴ σ' ἔβαλόν περ.“
τὸν δ' αὖ Μηριόνησ δουρὶ κλυτὸσ ἀντίον ηὔδα· 619 cf. *N* 254
„Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένοσ, ὅσ κέ σε' ἄντα
ἔλθηι ἀμυνόμενοσ· θνητὸσ δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέι χαλκῶι,
αἶψά κε καὶ κρατερόσ περ ἐὼν καὶ χερσὶ πεποιθὼσ
εὖχοσ ἐμοὶ δοίησ, ψυχὴν δ' Ἄϝιδι κλυτοπώλωι.“ 625 cf. *E* 654
ὣσ 'φάτο, τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμοσ υἱόσ·
„Μηριόνη, τί σὺ ταῦτα καὶ ἐσθλὸσ ἐὼν ἀγορεύεισ; 627^{b} = ρ 381
ὦ πέπον, οὔ τοι Τρῶεσ ὀνειδείοισι ϝέπεσσι
νεκροῦ χωρήσουσι· πάροσ τινὰ γαῖα καθέξει. 629^{b} cf. ν 427
ἐν γὰρ χερσὶ τέλοσ πολέμου, ϝεπέων δ' ἐνὶ βουλῆι.
τῶι οὔ τι χρὴ μῦθον ὀφελλέμεν', ἀλλὰ μάχεσθαι.“
ὣσ ϝειπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ϝισόθεοσ φώσ. 632 = *Δ* 472
τῶν δ', ὥσ τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸσ ὀρώρηι
οὔρεοσ ἐν βήσσηι, ϝέκαθεν δέ τε γίγνετ' ἀκουή, 634^{a}=766 cf. *Γ* 34
ὣσ τῶν ὤρνυτο δοῦποσ ἀπὸ χθονὸσ εὐρυοδείησ 635^{b} = γ 453 κ 149 cf. λ 52
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ' ἐϋ ποιητάων,
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. 637 = *Ξ* 26
οὐδέ κ' ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίηισι
ἐκ κεφαλῆσ 'ϝέϝλυτο διαμπερὲσ εἰσ πόδασ ἄκρουσ.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡσ ὅτε μυῖαι 641^{a} = *P* 412
σταθμῶι ἔνι βρομέωσι περιγλαγέασ κατὰ πέλλασ
ὥρηι ϝεαρινῆι, ὅτε τε γλάγοσ ἄγγεα δεύει· 643 = *B* 471
ὣσ ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. 644^{a} cf. ω 19

οὐδέ ποτε Ζεὺσ
'τρέψεν ἀπὸ κρατερῆσ ὑσμίνησ ὄσσε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺσ αἰὲν ὅρα, καὶ 'φράζετο θυμῶι

---

633. *ὀρώρηι* Bekker] *-ρει* Ar., sic vel *-ρε(ν)* *Ω*. Cf. *Δ* 434.
634. **ϝήσσηι*] *βήσσηισ Ω, ϝήσσηισι, ϝεκὰσ* Nauck. Cf. § 57 et *B* 456 *N* 179. — *ἀκουή*] *αὐτή* Aristoph.

636. *ῥινοῦ*] *ῥινῶν* l. a. in A (cf. *Δ* 447 *Θ* 61). — *τ'*] abesse malebat Ar. (cf. *M* 263 *N* 406).
638. *Σαρπηδόνα δῖον*] *-νι δίωι* Ar. (?).
643. *ὥρηι* Bentley] *ὥρηι ἐν*. Cf. *B* 471.

πολλὰ μάλ' ἀμφὶ φόνωι Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῆι ὑσμίνηι
αὐτόθ' ἐπ' ἀντιθέωι Σαρπηδόνι φαίδιμοσ Ἕκτωρ
χαλκῶι δηιώσει' ἀπό τ' ὤμων τεύχε' ἕλοιτο,
ἢ ἔτι καὶ πλεόνεσσιν ὀφείλειεν πόνον αἰπύν. 651^b cf. β 334
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 652 = N 458
ὄφρ' ἠὺσ θεράπων Πηληϊάδα' Ἀχιλῆοσ
ἐξαῦτισ Τρῶάσ τε καὶ Ἕκτορα χαλκοκορυστὴν
ὤσαιτο προτὶ ϝάστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο· 655 cf. E 691
Ἕκτορι δὲ πρωτίστωι ἀνάλκιδα φύζαν ἐνῶρσε, 655^a cf. Δ 803 656^b cf. O 62
εἰσ δίφρον δ' ἀναβὰσ φύγαδ' ἔτραπε, 'κέκλετο δ' ἄλλουσ 657^a = X 399
Τρῶασ φευγέμεναι, 'γνῶ γὰρ Διὸσ ἱρὰ τάλαντα.
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι 'μένον, ἀλλ' ἐφόβηθεν
πάντεσ, ἐπεὶ βασιλῆα 'ϝίδον βεβλημένον ἦτορ
κείμενον ἐν νεκύων ἀγύρι· πολέεσ γὰρ ἐπ' αὐτῶι
κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
οἳ δ' ἄρ' ἀπ' ὤμοιιν Σαρπηδόνοσ ἔντε' ἕλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλασ ἐπὶ νῆασ 664^a = Σ 131 Ψ 27
'δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμοσ υἱόσ.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύσ· 666 = O 220
„εἶ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲσ αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα 668-671 cf. 678 sqq.
πολλὸν ἀπὸ πρὸ φέρων λοῦσον ποταμοῖο ῥοῆισι
χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα ϝείματα ϝέσσον· 670^b cf. ω 59
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα 672 = 682
θήσουσ' ἐν Λυκίησ εὐρείησ πίονι δήμωι, 673 cf. 683
ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε 674 sq. = 456 sq.
τύμβωι τε στήληι τε, τὸ γὰρ γέρασ ἐστὶ θανόντων."

650. δηιώσει'] -σηι (-σει C Gen.) Ω. Cf. § 113.
— ἕλοιτο la Roche] ἕληται. Cf. B 4.
651. ὀφείλειεν § 272] ὀφέλλειεν.
655. πολέων] πολῦσ coniecit Menrad (cf. § 8 et 83).
656. φύζαν ἐνῶρσε T Z] θυμὸν ἐνῆκε (φύζαν ἐνῆκε, θυμὸν ἐνῶρσε) Ω. E vs. 655 irrepsisse videtur vox θυμόν. Cf. O 62.
660. βεβλημένον] βεβλαμμένον A C, δεδαϊγμένον L.
666—683. Zen. —— (cf. vs. 432—458). Versum 666 idem sic scribebat: καὶ τότ' ἄρ' ἐξ Ἴδησ προσέφη Ζεὺσ ὃν φίλον υἱόν.
667. εἶ δ'] cf. A 302.
668. Σαρπηδόνα] -νι Ar.
673. θήσουσ' ἐν] θήσουσιν D, θήσουσ' εὐρείησ Λ. ἐν π. δ. Lips. (ἐν π. δ. habet A ante corr.).

ὣσ ἔφατ', οὐδ' ἄρα πατρὸσ ἀνηκούστησεν Ἀπόλλων. 676 sq.ᵃ = O 236 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰσ φύλοπιν αἰνήν,
αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρασ, 678-681 cf. 668 sqq.
πολλὸν ἀπὸ πρὸ φέρων, 'λοῦσεν ποταμοῖο ῥοῇισι
'χρῖσέν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα ϝείματ' ἔϝεσσε·
'πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα 682 = 672
κάτθεσαν ἐν Λυκίησ εὐρείησ πίονι δήμωι. 683 cf. 673

Πάτροκλοσ δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσασ
Τρῶασ καὶ Λυκίουσ μετεκίαθε, καὶ μέγ' ἀάσθη
νήπιοσ· εἰ δὲ ϝέποσ Πηληϊάδα' ἐφύλαξε,
ἦ κεν ὑπέκφυγε κῆρα κακὴν μέλανοσ θανάτοιο.
ἀλλ' αἰεί γε Διὸσ κρείσσων νόοσ ἠέ περ ἀνδρόσ, 688 cf. P 176
ὅσ ϝοι καὶ τότε θυμὸν ἐνὶ στήθεσσ' ἐνέηκε.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξασ, 692 cf. E 703
Πάτροκλοσ, ὅτε δή σε θεοὶ θάνατόνδ' ἐκάλεσσαν; 693 cf. X 297
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην.
τοὺσ ἕλεν· οἳ δ' ἄλλοι φύγαδ' ἐμνάοντο ϝέκαστοσ.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷεσ Ἀχαιῶν 698 = Φ 544
Πατρόκλοι' ὑπὸ χερσί, — περὶ πρὸ γὰρ ἔγχε' ἔθυιε, — 699ᵇ = Δ 180
εἰ μὴ Ἀπόλλων Φοῖβοσ ἐὺ δμητοῖ' ἐπὶ πύργου 700ᵃ = Φ 545; 700ᵇ cf. M 154
ἔστη, τῶι ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.

---

689 ὅσ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην 689sq. = P 177 sq.
ῥηϊδίωσ, ὀτὲ δ' αὐτὸσ ἐποτρύνει μαχέσασθαι. 690ᵇ = Y 171

---

687. κεν § 326] τ' ἄν.

688. γε Syr.] τε Ω, item versu parall.; an *κρείσσων γε Διὸσ νόοσ? Cf. § 328[2].

— κρείσσων] κρείσσω olim quidam (Zen.? cf. Λ 80).

— ἀνδρόσ Syr. A T] ἀνδρῶν Ω.

689 sq. Om. Syr. A D et olim alii (teste Eust. 1081, 36).

689. φοβεῖ] φέβει (item P 177)? Cf. § 244.

690. ὀτὲ] τότε Aristoph. (item P 178; cf. M 141); ὀτὲ est etiam Δ 568.

— αὐτὸσ] αὖτισ Bentley.

— ἐποτρύνει C T μαχέσασθαι Harl.] ἐποτρύνῃ(ι)σι μάχεσθαι Ω (eadem v. l. est in versu parall.); fuitne olim ὅτε τ' αὐτὸσ ἐποτρύνῃσι μάχεσθαι?

691. στήθεσσ' ἐνέηκε (-σσιν ἐνῆκε) Syr. D] -σσιν ἀνῆκε Ω. Cf. P 570 al.; ἀνῆκε θυμόσ (cum acc.) est H 152 K 389 alibi (Naber).

693. *Πάτροκλοσ] Πατρόκλεισ Ω, item vs. 859. Cf. § 51 et 73.

696. Μούλιον] cf. Λ 739.

697. ἕλεν] ἕλεσ Zen.

699. (ἔ)θυιε A H] θῦε Ω. Cf. § 287[10].

τρὶσ μὲν ἐπ' ἀγκῶνοσ 'βῆ τείχεοσ ὑψηλοῖο
Πάτροκλοσ, τρὶσ δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων, 703 sq. cf. *E* 437
χείρεσσ' ἀθανάτηισι φαεινὴν ἀσπίδα νύσσων.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσοσ, 705 sq.^{a} = *E* 438 sq.
δϝεινά ϝ' ὁμοκλήσασ ϝέπεα πτερόεντα προσηύδα· 706 = *Y* 448
„χάζεο, διογενὲσ Πατρόκλεεσ· οὔ νύ τοι αἶσα
σῶι ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων, 708 cf. *Φ* 584
οὐδ' ὑπ' Ἀχιλλῆοσ, ὅσ περ σέο πολλὸν ἀμείνων.“ 709^{b} cf. *H* 114
ὣσ 'φάτο, Πάτροκλοσ δ' ἀνεχάζετο πολλὸν ὀπίσσω, 710 cf. *E* 443
μῆνιν ἀλευάμενοσ ϝεκατηβόλου Ἀπόλλωνοσ. 711 = *E* 444
Ἕκτωρ δ' ἐν Σκαιῆισι πύληισ' ἔχε μώνυχασ ἵππουσ·
'δϝίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτισ ἐλάσσασ,
ἦ λαοὺσ εἰσ τεῖχοσ ὁμοκλήσειε ϝαλῆναι.
ταῦτ' ἄρα ϝοι φρονέοντι παρίστατο Φοῖβοσ Ἀπόλλων,
ἀνέρι ϝεισάμενοσ αἰζηῶι τε κρατερῶι τε, 716 cf. h. Ap. 449
Ἀσίωι, ὃσ μήτρωσ ἔεν Ἕκτοροσ ἱπποδάμοιο,
αὐτοκασίγνητοσ Ϝεκάβησ, υἱὸσ δὲ Δύμαντοσ,
ὃσ Φρυγίηι 'ναίεσκε ῥοῆισ' ἔπι Σαγγαρίοιο·
τῶι μιν ϝεισάμενοσ προσέφη Διὸσ υἱὸσ Ἀπόλλων· 720 = *P* 326 *Y* 82 [cf. *P* 585; 720^{a} = *B* 22
„Ἕκτορ, τίπτε μάχησ ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ', ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτεροσ εἴην· 722^{b} sq.^{a} = *φ* 373 sq.
τῶι κε τάχα στυγερῶσ πολέμοἰ ἀπερωήσειασ. 723^{a} = *ψ* 23
ἀλλ' ἄγε, Πατρόκλωι ἔπεχε κρατερώνυχασ ἵππουσ, 724 cf. 732
αἴ κέν πώσ μιν ἕληισ, δώηι δέ τοι εὖχοσ Ἀπόλλων.“ 725 cf. *H* 81
ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἔβη θεὸσ ἂμ πόνον ἀνδρῶν, 726 = *N* 239
Κεβριόνηι δ' ἐκέλευσε δαΐφρονι φαίδιμοσ Ἕκτωρ
ἵππουσ εἰσ πόλεμον πεπληγέμεν'. αὐτὰρ Ἀπόλλων
'δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισι
ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδοσ ὄπαζε. 730 = *M* 255
Ἕκτωρ δ' ἄλλουσ μὲν Δαναοὺσ ἔα' οὐδ' ἐνάριζε,
αὐτὰρ ὃ Πατρόκλωι ἔπεχε κρατερώνυχασ ἵππουσ· 732 cf. 724

---

703. *αὐτὸν*] *αὐτὸσ* Hartman.
706. *δϝεινά ϝ'*] *δεινὰ δ'* *Ω* (*δεινὸν* L). Cf. *E* 439.
— *ϝέπεα πτερόεντα προσηύδα* A C H L] *προσέφη ἑκάεργοσ Ἀπόλλων* *Ω* (ut *E* 439).
707. *τοι*] *πω* Ar.
708. *πέρθαι Τρώων*] **Τρ. πέρθεσθ'*? Cf. § 211[9].
710. *πολλὸν*] *τυτθὸν* (ut *E* 443) Zen.
719. *Φρυγίηι*] *-ην* Syr. G Strab. 590.
720. *ϝεισάμενοσ* § 212[3]] *εἰσάμενοσ*.
724. *ἔπεχε* L, item 732 G L et l. a. in A] *ἴφεπε* *Ω* (cf. *E* 329).

Πάτροκλοσ δ' ἑτέρωθεν ἀφ' ἵππων ἅλτο χαμᾶζε 733^b = 755
ἔγχοσ ἔχων σκαιῆι, ἑτέρηφι δὲ 'λάζετο πέτρον
μάρμαρον ὀκριόενθ', ὅν ϝοι περὶ χεὶρ ἐκάλυψε· 735^a cf. *M* 380
ἧκε δ' ἐρεισάμενοσ, οὐδὲ δϝὴν ἄζετο φωτόσ,
οὐδ' ἀλίωσε βέλοσ, 'βάλε δ' Ἕκτοροσ ἡνιοχῆα,
Κεβριόνην, νόθον υἱὸν ἀγακλεέοσ Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέι λᾶϊ. 739^a = Θ 121 739^b cf. Δ 95
ἀμφοτέρασ δ' ὀφρῦσ σύνελεν λίθοσ, οὐδέ ϝοι ἔσχε
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ 'πέσον ἐν κονίηισι [sq.
αὖθι πρόσθε ποδῶν· ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼσ 742 sq. cf. *E* 585 742^b = *M* 385
κάππεσ' ἀπ' εὖ ϝερκτοῦ δίφρου, 'λίπε δ' ὀστέα θυμόσ. 743 cf. *M* 386
τὸν δ' ἐπικερτομέων προσέφησ, Πατρόκλεεσ ἱππεῦ· 744^a = χ 194 cf. Ω 649
„ὢ πόποι, ἦ μάλ' ἐλαφρὸσ ἀνήρ· ὡσ ῥεῖα κυβιστᾶι!
εἰ δή που καὶ πόντωι 'ν ἰχθυόεντι γένοιτο,
πολλούσ κεν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸσ ἀποθρώισκων, εἰ καὶ δυσπέμφελοσ εἴη,
ὡσ νῦν ἐν πεδίωι ἐξ ἵππων ῥεῖα κυβιστᾶι.
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρεσ ἔασι."
ὣσ ϝειπὼν ἐπὶ Κεβριόνηι ἥρω' ἐβεβήκει
οἶμα λέοντοσ ἔχων, ὅσ τε σταθμοὺσ κεραΐζων
ἔβλητο πρὸσ στῆθοσ, ἑϝή τέ μιν ὤλεσεν ἀλκή·
ὣσ ἐπὶ Κεβριόνηι, Πατρόκλεεσ, ἆλσο μεμαώσ.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἅλτο χαμᾶζε. 755^b = 733
τὼ περὶ Κεβριόναο λέονθ' ὣσ δῆριν ἐθέσθην,
ὥ τ' ὄρεοσ κορυφῆισι περὶ κταμένησ ἐλάφοιο, 757^a = 824
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον· 758^b = 824
ὣσ περὶ Κεβριόναο δύω μήστωρεσ ἀυτῆσ,
Πάτροκλόσ τε Μενοιτιάδησ καὶ φαίδιμοσ Ἕκτωρ,
'ϝίεντ' ἀλλήλων ταμέμεν χρόα νηλέι χαλκῶι. 761 = *N* 501

---

734. *ἔγχοσ ἔχων σκαιῆι] σκαιῆι ἔγχοσ ἔχων Ω vitio metrico (cf. § 14).

735. ὀκριόενθ' ὃν Bentley] -εντα, τόν.

736. ἄζετο] χάζετο H (cf. Λ 539); utrumque obscurum.

740. σύνελεν] θλάσσεν Nauck (e. g.).

742. δ' ἄρ' ἀρνευτῆρι] cf. *M* 385.

743. εὖ ϝερκτοῦ § 73] εὐεργέοσ Ω, εὐϝρεγέοσ vel εὐπλεκέοσ (coll. Ψ 436) vChrist, εὐϝέργου Menrad.

748. δυσπέμφελοσ εἴη] -λοι εἶεν Zen. (cf. Hes. Op. 722).

756. δῆριν ἐθέσθην Nauck coll. *P* 158] δηρινθήτην. Cf. § 193.

Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ 'λάβεν, οὔ τι μεθίει, 762 cf. Ο 716
Πάτροκλοσ δ' ἑτέρωθεν ἔχεν ποδόσ· οἳ δὲ δὴ ἄλλοι
Τρῶεσ καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην. 764 = Ξ 448
ὠσ δ' Εὖρόσ τε Νότοσ τ' ἐριδαίνετον ἀλλήλοιιν
οὔρεοσ ἐν βήσσηι βαθέαν πελεμιζέμεν ὕλην, 766a = 634
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸσ ἀλλήλασ ἔβαλον τανυήκεασ ὄζουσ
ϝηχῆι θεσπεσίηι, πάταγοσ δέ τε ϝαγνυμενάων,
ὣσ Τρῶεσ καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντεσ 770 sq. = Λ 70 sq.
'δήιοον, οὐδ' ἕτεροι 'μνάοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρ' ἐπεπήγει
ἰοί τε πτερόεντεσ ἀπὸ νευρῆφι θορόντεσ,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδασ ἐστυφέλιξαν [sq.
μαρναμένων ἀμφ' αὐτόν· ὃ δ' ἐν στροφάλιγγι κονίησ 775b sq. cf. ω 39 775bsq.a cf. Σ 26 sq.
'κεῖτο μέγασ μεγαλωστί, λελασμένοσ ἱπποσυνάων. 775t cf. Φ 503
 ὄφρα μὲν ἠέλιοσ μέσον οὐρανὸν ἀμφεβεβήκει, 777 cf. Θ 68
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαόσ· 778 = Θ 67
ἦμοσ δ' ἠέλιοσ μετενίσσετο βουλυτόνδε, 779 = ι 58
καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρω' ἐϝέρυσσαν
Τρώων ἐξ ἐνοπῆσ, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο, 782a = Ρ 714 782b = Η 122
Πάτροκλοσ δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε. 783b cf. Κ 486
τρὶσ μὲν ἔπειτ' ἐπόρουσε θοῶι ἀτάλαντοσ Ἄρηϊ, 784a = Ε 436
σμερδαλέα ϝιϝάχων, τρὶσ δ' ἐννέα φῶτασ ἔπεφνε.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσοσ, 786 = Ε 438
ἔνθ' ἄρα τοι, Πάτροκλε, 'φάνη βιότοιο τελευτή· 787b = Η 104
ἤντετο γάρ τοι Φοῖβοσ ἐνὶ κρατερῆι ὑσμίνηι
δϝεινόσ. ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησε,
ἠέρι γὰρ πολλῆι κεκαλυμμένοσ ἀντεβόλησε·
'στῆ δ' ὄπιθεν, 'πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω

---

762. οὔ τι L] οὐχὶ Ω (cf. Ο 716).
766. *βήσσηι] βήσσηισ (cf. vs. 634).
— βαθέαν § 17 et 75] βαθέην Ω, Nauck βήσσηισι, βαθὺν (cf. § 53).
768. τανυήκεασ] τανaήκεασ Ambr. (cf. Η 77 al.).
774. ἐστυφέλιξαν Ar.] -ξε(ν) D T.
775. αὐτόν] αὐτῶι? Cf. Π 526.
— δ' ἐν Ar. L] δὲ Ω. Cf. Θ 337.
778. μάλ'] μὲν A.
787. βιότοιο] cf. Η 104.
788. τοι] οἱ T (cf. vs. 697).

χειρὶ καταπρηνεῖ, 'στρεφεδίνηθεν δέ ϝοι ὄσσε. 792[a] = ν 164 b. Ap. 333
τοῦ δ' ἀπὸ μὲν κρατὸσ κυνέην 'βάλε Φοῖβοσ Ἀπόλλων·
ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὕφ' ἵππων
αὐλῶπισ τρυφάλεια, 'μιάνθησαν δὲ ϝέθειραι
αἵματι καὶ κονίησι. πάροσ γε μὲν οὐ θέμισ ἦεν
ἱππόκομον πήληκα μιαίνεσθαι κονίησι,
ἀλλ' ἀνδρὸσ θείοιο κάρη χαρίεν τε μέτωπον
'ρύετ', Ἀχιλλῆοσ· τότε δὲ Ζεὺσ Ἕκτορ' ἔδωκε
ϝῆι κεφαλῆι φορέειν, σχεδόθεν δέ ϝοι ἦεν ὄλεθροσ.
πᾶν δέ ϝοι ἐν χείρεσσι 'ϝάγη δολιχόσκιον ἔγχοσ, 801 cf. Γ 367
βριθύ, μέγα, στιβαρόν, κεκορυθμένον, αὐτὰρ ἀπ' ὤμων 802[a] = Ε 746
ἀσπὶσ σὺν τελαμῶνι χαμαὶ 'πέσε τερμιόεσσα.
τὸν δ' ἀάτη φρένασ εἷλε, 'λύθεν δ' ὑπὸ φαίδιμα γυῖα,
'στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέι δουρὶ 806[a] = Λ 545
ὤμων μεσσηγὺ σχεδόθεν 'βάλε Δάρδανοσ ἀνήρ,
Πανθοΐδησ 'Εὔφορβοσ, ὃσ ἡλικίην ἐκέκαστο 808[b] cf. Ν 431
ἔγχεΐ θ' ἱπποσύνηι τε πόδεσσί τε καρπαλίμοισι· 809[a] = Λ 503
καὶ γὰρ δὴ τότε φῶτασ ἐϝείκοσι 'βῆσεν ἀφ' ἵππων,
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενοσ πολέμοιο.
ὅσ τοι πρῶτοσ ἐφῆκε βέλοσ, Πατρόκλεεσ ἱππεῦ,
οὐδ' ἐδάμασσ'. ὃ μὲν αὖτισ ἀνέδραμε, 'μίκτο δ' ὁμίλωι, 813[b] = Λ 354
ἐκ χροὸσ ἁρπάξασ δόρυ μείλινον, οὐδ' ὑπέμεινε
Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηϊοτῆτι·
Πάτροκλοσ δὲ θεοῦ πληγῆι καὶ δουρὶ δαμασθεὶσ
ἂψ ἑτάρων εἰσ ϝέθνοσ ἐχάζετο κῆρ' ἀλεείνων. 817 cf. Γ 32
Ἕκτωρ δ' ὡσ ἔϝιδεν Πατροκλέεα μεγάθυμον
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέι χαλκῶι,
ἀγχίμολόν ῥά ϝοι ἦλθε κατὰ στίχασ, οὖτα δὲ δουρὶ
νείατον εἰσ κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 821[a] = Ε 857 821[b] = Ν 388

804 'λῦσε δέ ϝοι θώρηκα ϝάναξ Διὸσ υἱὸσ Ἀπόλλων.

792. καταπρηνεῖ] *-νέσ (item ν 164)? Cf. § 73 et Ο 114 Υ 131.
801. πᾶν] sic Ar., τῶι l. a. ant.
804. Del. Reichel. Molesta est lorica (cf. Γ 332 sq. Π 133 sq.), ipsa verba quibus commemoratur molestiora.
807. μεσσηγὺ Syr.] μεσσηγὺσ Ω (σ—σσ). — σχεδόθεν 'βάλε] sic Ar. (coll. vs. 812 et 819), σχεδὸν οὔτασε Zen. (quae cum vs. 813[b] sq.[a] melius congruit lectio).
810. τότε Ar. Syr. H L] ποτε Ω (cf. Θ 108).
813[b] sq.[a]. 'μίκτο — μείλινον] postmodo videntur addita.
820. ῥά] δέ Syr. H (ut Δ 529).

'δούπησεν δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν.
ὡσ δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμηι,
ὥ τ' ὄρεοσ κορυφῆισι μέγα φρονέοντε μάχεσθον 824a = 757, 824b = 758
πίδακοσ ἀμφ' ὀλίγησ, ἐθέλουσι δὲ πινέμεν' ἄμφω,
πολλὰ δέ ϝ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφι·
ὣσ πολέασ πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν [179
Ἕκτωρ Πριαμίδησ σχεδὸν ἔγχεϊ θυμὸν ἀπέϝρα, 828b cf. *Υ* 290 *Φ*
καί ϝοι ἐπευχόμενοσ ϝέπεα πτερόεντα προσηύδα· 829 cf. *Φ* 121, 409
„Πάτροκλ', ἦ ποθ' ἔφησθα πόλιν κεραϊξέμεν' ἡμήν,
Τρωϊάδασ δὲ γυναῖκασ ἐλεύθερον ἦμαρ ἀποϝρὰσ 831 cf. *Υ* 193, 831b = *Ζ* 455
ἀξέμεν' ἐν νήεσσι φίλην εἰσ πατρίδα γαῖαν,
νήπιε! τάων δὲ πρόσθ' Ἕκτοροσ ὠκέεσ ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμιζέμεν', ἔγχεϊ δ' αὐτὸσ
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπεσ ἔδονται. 836b cf. *χ* 80
ἆ δϝειλ', οὐδέ τοι ἐσθλὸσ ἐὼν 'χραίσμησεν Ἀχιλλεύσ,
ὅσ ποθί τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
‚μή μοι πρὶν ἴμεναι, Πατρόκλεεσ ἱπποκέλευθε,
νῆασ ἔπι γλαφυράσ, πρὶν Ἕκτοροσ ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.' 841b = *Β* 416
ὣσ ποθί σε προσέφη, σοὶ δὲ φρένασ ἄφρον' ἔπειθε." 842b cf. *Δ* 104
τὸν δ' ὀλιγοδρανέων προσέφησ, Πατρόκλεεσ ἱππεῦ· 843a cf. *Ο* 246
„ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκε
νίκην Ζεὺσ Κρονίδησ καὶ Ἀπόλλων, οἵ μ' ἐδάμασσαν
ῥηϊδίωσ, αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο. 846b = *Η* 122
τοιοῦτοι δ' εἴ πέρ μοι ἐϝείκοσιν ἀντεβόλησαν,
πάντεσ κ' αὐτόθ' ὄλοντο ἐμῶι ὑπὸ δουρὶ δαμέντεσ. 848b = *Λ* 749
ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητόοσ ἔκτανεν υἱόσ,
ἀνδρῶν δ' Εὔφορβοσ· σὺ δέ με τρίτοσ ἐξεναρίζεισ.
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι· 851 = *Λ* 297

---

825. *πίδακοσ ... ὀλίγησ*] *-κι ... -γηι*? vHerwerden *-κοσ ἄγχ' ὀλίγησ*. Cf. § 316[1].
— *πινέμεν'* G] *πιέμεν* *Ω* (cf. *Η* 481).
826. *ϝ'* Brandreth] *τ'*.
828. *ἀπέϝρα* § 150[5]] *ἀπηύρα*.
829. *πτερόεντα προσηύδα* AC] *-ντ' ἀγόρευε* DT.
830. *κεραϊξέμεν* (') Bekker] *-ζέμεν* (cf. vs. 832 et *Β* 436).
831. *ἀποϝρὰσ* § 150[5]] *ἀπούρασ*.
840. *πρὶν*] *πρίν γ'* Syr. T (cf. § 18).
— *ἀνδροφόνοιο*] *ἱπποδάμοιο* Syr. (cf. *Ω* 724).
842. *σε*] sic Ar., *σοι* Syr. D.

οὔ θην οὐδ' αὐτὸσ δϝηρὸν βίε', ἀλλά τοι ἤδη 852[b] sq. = Ω 131 sq.
ἄγχι παρέστηκεν θάνατοσ καὶ μοῖρα κραταιή,
χερσὶ δαμέντ' Ἀχιλῆοσ ἀμύμονοσ Αἰακίδαο."
ὣσ ἄρα μιν ϝειπόντα τέλοσ θανάτοι' ἐκάλυψε· 855-858[a] = X 361 sqq. 855 = 502
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϝιδόσδ' ἐβεβήκει,
ϝὸν πότμον γοάουσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμοσ Ἕκτωρ·
„Πάτροκλοσ, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίσ ϝοῖδ' εἴ κ' Ἀχιλεύσ, Θέτιδοσ πάϊσ ἠυκόμοιο, 860[b] = Δ 512
φθήηι ἐμῶι ὑπὸ δουρὶ τυπεὶσ ἀπὸ θυμὸν ὀλέσσαι;" 861 cf. Δ 433
ὣσ ἄρα φωνήσασ δόρυ χάλκεον ἐξ ὠτειλῆσ 862[b] = κ 164
εἴρυσε, λὰξ προσβάσ, τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρόσ.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντ' ἐβεβήκει,
ἀντίθεον θεράποντα ποδώκεοσ Αἰακίδαο,
'ϝίετο γὰρ βαλέμεν· τὸν δ' ἔκφερον ὠκέεσ ἵπποι 866 = 383
ἄμβροτοι, οὓσ Πηλῆϊ θεοὶ 'δόσαν ἀγλαὰ δῶρα. 867 = 381

Μενελάου ἀριστεία.

P οὐδ' ἔλαθ' Ἀτρέοσ υἱόν, Ἄρηϊ φίλον Μενέλαον,
Πάτροκλοσ Τρώεσσι δαμεὶσ ἐν δηϊοτῆτι.
'βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι, 3 = Δ 495
4 ἀμφὶ δ' ἄρ' αὐτῶι ἔβαιν' ὥσ τισ περὶ πόρτακι μήτηρ· 4 cf. E 299
6 ὣσ περὶ Πατρόκλωι 'βαῖνε ξανθὸσ Μενέλαοσ,
πρόσθε δέ ϝοι δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐϝίσην, 7 sq. = E 300 sq.
τὸν κτάμεναι μεμαώσ, ὅσ τισ τοῦ γ' ἀντίοσ ἔλθοι.
οὐδ' ἄρα Πανθόου υἱὸσ ἐυμμελίησ ἀμέλησε
Πατρόκλοιο πεσόντοσ ἀμύμονοσ, ἄγχι δ' ἄρ' αὐτοῦ

5 πρωτοτόκοσ κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο.

852. βίε' § 194] βίηι.
856. (ἐ)βεβήκει] κατῆλθεν Athen. 507 e.
857. ἀνδροτῆτα] ἀδροτῆτα vel ἁδροτῆτα G Cant. alii. Cf. § 28; redit vocabulum X 363 Ω 6.
859. Πάτροκλοσ] cf. vs. 693.
860. τίσ Bentley] τίσ δ'.
861. ὀλέσσαι] *ὀλέσσασ (cf. Σ 92)?
867. Olim addebant quidam: ἤματι τῶι ὅτ' ἔγημε Θέτιν λιπαροκρήδεμνον (cf. Σ 84 sq.).
5. Del. Heyne coll. Θ 528 (et, quem item damnat cum Knightio, I 124 = 266). Epicum non est εἰδυῖα pro ϝιδυῖα (simile vitium Hes. Theog. 887 correxit Schoemann). Cf. § 160[7].
7. ϝοι] sic (οἱ) Ar., ου (i. e. οὐ) Zen.; cf. § 92.
9, 28, 40, 59. Πανθόου] cf. O 522.

ἔστη, καὶ προσέϝειπεν Ἄρηϊ φίλον Μενέλαον· [316 ο 64, 87
„Ἀτρεΐδη Μενέλαε, διοτρεφέσ, ὄρχαμε λαῶν, 12 = δ 156, 291,
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα. 13^b cf. *O* 347
οὐ γάρ τισ πρότεροσ Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον 'βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην· 15 cf. *H* 14
τῶι μ' ἔαε κλέοσ ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιϝηδέα θυμὸν ἕλωμαι."
τὸν δὲ μέγ' ὀχθήσασ προσέφη ξανθὸσ Μενέλαοσ· 18 = δ 30, 332; 18^a = *H* 454
„Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάεσθαι.
οὔτ' οὖν παρδάλιοσ τόσσον μένοσ οὔτε λέοντοσ
οὔτε συὸσ κάπρου ὀλοόφρονοσ, οὗ τε μέγιστοσ
θυμὸσ ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει, 22^b cf. *Θ* 337
ὅσσον Πανθόου υἷεσ ἐυμμελίαι φορέουσι.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνοροσ ἱπποδάμοιο
ϝῆσ ἥβησ ἀπόνηθ', ὅτε μ' ὠνόσατ' ἠδ' ὑπέμεινε,
καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ϝέ φημι πόδεσσί γε ϝοῖσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούσ τε τοκῆασ. 28 cf. *E* 688
ὣσ θην καὶ σὸν ἐγὼ λύσω μένοσ, εἴ κέ με ἄντα
στήηισ. ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω 30^b-32 = *Y* 196 sqq.
εἰσ πληθὺν ἴμεναι, μηδ' ἀντίοσ ἵστασ' ἐμεῖο, 31^b cf. *N* 448
πρίν τι κακὸν παθέμεν· ῥεχθὲν δέ τε νήπιοσ ἔγνω." 32^b cf. Hes. Op. 218
ὣσ 'φάτο, τὸν δ' οὐ 'πεῖθεν· ἀμειβόμενοσ δὲ προσηύδα·
„νῦν μὲν δή, Μενέλαε διοτρεφέσ, ἦ μάλα τίσεισ
γνωτὸν ἐμόν, τὸν ἔπεφνεσ, ἐπευχόμενοσ δ' ἀγορεύεισ,
'χήρωσασ δὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο,
ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθοσ ἔθηκασ. 37 = *Ω* 741

---

20. *παρδάλιοσ*] sic Ar., *πόρδ.* Ambr. A D. Cf. *N* 103.

23. *φορέουσι(ν)* Ambr. A T] *φρονέουσιν* *Ω* (quemadmodum alibi dicitur *μέγα, ἀγαθά, ἀταλά, φίλα, κακὰ φρονέειν*). Cf. ρ 245 Soph. Ant. 705 Ar. Eq. 757 al.

25. *ἀπόνηθ', ὅτε*] *-νητο, ὅ* Nauck. — *ὠνόσατ' ἠδ'* Knight] *ὤνατο καί μ'* *Ω*, *ὤνοτο καί μ'* Brandreth (impf., cf. ρ 378). In vulgata et verbi forma displicet (cf. § 305[6]) et pronomen iteratum.

27. *ϝε*] *τε* Ar.

34. *μάλα*] *τάχα* l. a. in Ar. comment.

37. *ἄρρητον*] *ἄρητον* (prisco more non duplicata littera ρ) A T (item pap. vetustissima in versibus post *Ψ* 223 adiectis), quod *ἀρητὸν* an scribendum et *execrabilem* interpretandum sit dubitatur coll. ζ 280 τ 404 (*πολυάρητοσ* = *εὐκταῖοσ*); solam tamen *precandi* vim habet simplex *ἀράομαι* apud H., non *imprecandi* (quae compositis *ἐπαρή* et *καταράομαι* est propria).

ἤ κέ σφι δϝειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκασ
Πανθόωι ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίηι.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητοσ πόνοσ ἔσται 41ª cf. Ε 895
οὐδέ τ' ἀδήριτοσ ἤ τ' ἀλκῆσ ἤ τε φόβοιο.“
ὣσ ϝειπών ϝ' οὔτασσε κατ' ἀσπίδα πάντοσ' ἐϝίσην· 43 = Δ 434
οὐδ' ἔρρηξεν χαλκόσ, ἀνεγνάμφθη δέ ϝοι αἰχμὴ 43ᵇ-46 = Γ 347 sqq.
ἀσπίδ' ἔνι κρατερῆι. ὃ δὲ δεύτεροσ ὤρνυτο χαλκῶι
Ἀτρεΐδησ Μενέλαοσ, ἐπευξάμενοσ Διὶ πατρί,
ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
'νύξ', ἐπὶ δ' αὐτὸσ ἔρεισε, βαρείηι χειρὶ πιθήσασ· 48 = Δ 235
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένοσ ἤλυθ' ἀκωκή. 49 = Χ 327 χ 16
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι· 50 = Δ 504
αἵματί ϝοι 'δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυσῶι τε καὶ ἀργύρωι ἐσφήκωντο.
οἷον δὲ τρέφει ἔρνοσ ἀνὴρ ἐριθηλὲσ ἐλαίησ
χώρωι ἒν οἰοπόλωι, ὅθ' ἅλισ ἀναβέβρυχεν ὕδωρ, 54ª = Ν 473
καλὸν τηλεθάον· — τὸ δέ τε πνοιαὶ δονέουσι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῶι·
ἐλθὼν δ' ἐξαπίνησ ἄνεμοσ σὺν λαίλαπι πολλῆι
βόθρου ϝ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίηι· —
τοῖον Πανθόου υἱὸν ἐυμμελίην Ἔυφορβον
Ἀτρεΐδησ Μενέλαοσ ἐπεὶ 'κτάνε, τεύχε' ἐσύλα.
ὡσ δ' ὅτε τίσ τε λέων ὀρεσίτροφοσ, ἀλκὶ πεποιθώσ, 61 cf. Μ 299 ζ 130
βοσκομένησ ἀγέλησ βοῦν ἁρπάσηι, ἣ τισ ἀρίστη, —
τῆσ δ' ἐξ αὐχέν' ἔϝαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι 63 sq. = Λ 175 sq
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
δηϊόων, — τὸν δ' ἀμφὶ κύνεσ τ' ἄνδρεσ τε νομῆεσ

---

41. ἔτι] ἔπι l. a. in Ar. comm. (cf. Ι 415).
42. ἤ τ' ... ἤ τε Nicanor A] ἠδ' ... ἠδὲ Ar. Ω, οὔτ' ... οὔτε G H (cf. v. l. Ο 409).
43. *ϝ'] addidimus (ut Δ 434). — οὔτασσε § 150⁹) οὔτησε.
44. χαλκόσ Ar. A] χαλκόν Ω (cf. Γ 348).
45. ἀσπίδ' ἔνι] ἀσπίδι ἐν A C (cf. Γ 349).
51. Χαρίτεσσιν ὁμοῖαι] -σσι μέλαιναι Zen.
54. ὅθ' ἅλισ ἀναβέβρυχεν] ὅθ' ἅλισ ἀναβέβροχεν Zen.; lectio incerta, nam ὅθ' sitne ὅθι an ὅ τε (= ὅσ) intellegendum dubitatur, in ἅλισ desideratur sonus ϝ (ὃ ϝάλισ Bentley), perfectum -βέβρῡχε ignotum; ὃ ϝάλισ ἀναβέβλυχεν vHerwerden (coll. Ι 491 et Anth. Palat. VII 31, 5 IX 374, 1).
58. *ϝ'] τ'. Cf. Δ 315.
65. δηϊόων, τὸν δ' ἀμφὶ vChrist] δηιῶν, ἀμφὶ δὲ τόν γε (τόνδε C). Cf. Ρ 566 Σ 195 Ψ 176. Etiam δάπτων· ἀμφὶ δὲ τόν γε recte haberet (cf. Δ 481 Π 159).

πολλὰ μάλ' ἰύζουσιν ἀπόπροθεν οὐδ' ἐθέλουσι
ἀντίον ἐλθέμεναι, μάλα γὰρ χλωρὸν δϝέοσ αἱρεῖ· 67a = 69 *Υ* 175 67b cf. *Η* 479
ὣσ τῶν οὔ τινι θυμὸσ ἐνὶ στήθεσσιν ἐτόλμα 68 cf. *Κ* 232
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο. 69a = 67
ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρεΐδησ, εἰ μή ϝοι ἀγάσσατο Φοῖβοσ Ἀπόλλων,
ὅσ ῥά ϝοι Ἕκτορ' ἐπῶρσε θοῶι ἀτάλαντον Ἄρηϊ,
ἀνέρι ϝεισάμενοσ, Κικόνων ἡγήτορι Μέντηι· 73 cf. *α* 105
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεισ, ἀκίχητα διώκων,
ἵππουσ Αἰακίδαο δαΐφρονοσ· οἳ δ' ἀλεγεινοὶ 76 cf. *Κ* 402
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι, 77 sq. = *Κ* 403 sq.
ἄλλωι γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη 'τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαοσ, ἀρήϊοσ Ἀτρέοσ υἱόσ, 79b cf. *Δ* 98
Πατρόκλωι περιβὰσ Τρώων τὸν ἄριστον ἔπεφνε,
Πανθοΐδην 'Εύφορβον, ἔπαυσε δὲ θούριδοσ ἀλκῆσ." 81b = *Ο* 250
ὣσ ϝειπὼν ὃ μὲν αὖτισ ἔβη θεὸσ ἂμ πόνον ἀνδρῶν, 82 = *Ν* 239
Ἕκτορα δ' αἰνὸν ἄχοσ 'πύκασε φρένασ ἀμφὶ μελαίνασ. 83 cf. *Θ* 124
'πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχασ, αὐτίκα δ' ἔγνω
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίηι
κείμενον· ἔρρεε δ' αἷμα κατ' οὐταμένην ὠτειλήν. 86b = *Ξ* 518
'βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι, 87 = *Δ* 495
ὀξέα κεκληγώσ, φλογὶ ϝείκελοσ Ἡφαίστοιο 88a = *Β* 222
ἀσβέστωι. οὐδ' υἷα 'λάθ' Ἀτρέοσ ὀξὺ βοήσασ·
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 90 = *Λ* 403
„ὤ μοι ἐγών! εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ 91a = *Φ* 553 *Χ* 99
Πάτροκλόν θ', ὃσ κεῖται ἐμῆσ ἕνεκ' ἐνθάδε τιμῆσ,
μή τίσ μοι Δαναῶν νεμεσήσεται, ὅσ κε ϝίδηται. 93a cf. *τ* 121
εἰ δέ κεν Ἕκτορι μοῦνοσ ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθείσ, μή πώσ με περιστήωσ' ἕνα πολλοί·
Τρῶασ δ' ἐνθάδε πάντασ ἄγει κορυθαιόλοσ Ἕκτωρ.

---

70. *φέροι*] *φέρεν* Vrat. (cf. *Μ* 465).
73. *Μέντηι*] *Πείρωι* l. a. in T.
80. *τόν*] **ὄχ'* (item *Σ* 80)? Cf. *Μ* 344 et *Λ* 288.
89. *υἷα* (')*λάθ'* Barnes] *υἱὸν λάθεν Ω* (*λάθ'* Lips.), *ἀσπέτωι* pro *ἀσβέστωι* Bentley cetera servans. Cf. § 8.
90. *ποτί*] *πρὸσ ὃν Ω*. Cf. *Λ* 403.
96. *ἄγει*] *ἄγηι* HStephanus, versum cum praecedenti iungens.

ἀλλὰ τίη μοι ταῦτα φίλοσ διελέξατο θυμόσ; 97 = Λ 407
ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸσ δαίμονα φωτὶ μάχεσθαι,
ὅν κε θεὸσ τίῃ, τάχα ϝοι μέγα πῆμ' ἐκυλίσθη.
τῶι μ' οὔ τισ Δαναῶν νεμεσήσεται, ὅσ κε ϝίδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ ποθ' Αἴαντόσ γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτισ ἰόντε ἐπιμνησαίμεθα χάρμησ
καὶ πρὸσ δαίμονά περ, εἴ πωσ ϝερυσαίμεθα νεκρὸν
Πηλεΐδηι Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη."
ἧοσ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 106 sq.[a] = Λ 411 sq.
τόφρα δ' ἐπὶ Τρώων στίχεσ ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, 'λεῖπε δὲ νεκρόν, 108 cf. Λ 461
ἐντροπαλιζόμενοσ ὥσ τε λὶσ ἠυγένειοσ, 109^{b} = Σ 318 cf. Ο 275
ὅν ῥα κύνεσ τε καὶ ἄνδρεσ ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῆι· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνόεται, ἀϝέκων δὲ ἔβη ἀπὸ μεσσαύλοιο· 112^{b} cf. Λ 548
ὣσ ἀπὸ Πατρόκλοιο 'κίε ξανθὸσ Μενέλαοσ.
'στῆ δὲ μεταστρεφθείσ, ἐπεὶ ἵκετο ϝέθνοσ ἑταίρων, 114 = Λ 595
παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχησ ἐπ' ἀριστερὰ πάσησ 116 sq. = 682 sq.
θαρσύνονθ' ἑτάρουσ καὶ ἐποτρύνοντα μάχεσθαι, 117 = Ν 767
θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβοσ Ἀπόλλων·
'βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενοσ ϝέποσ ηὔδα·
„Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντοσ
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλοσ Ἕκτωρ." 122 = 693 cf. Σ 21
ὣσ ἔφατ', Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε· 123^{b} = Ν 418
'βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸσ Μενέλαοσ. 124^{a} = Δ 495
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπέϝρα,
εἷλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῶι,
τὸν δὲ νέκυν Τρωΐηισι ϝερυσσάμενοσ κυσὶ δοίη.
Αἴασ δ' ἐγγύθεν ἦλθε φέρων σάκοσ ἠύτε πύργον. 128 = Η 219
Ἕκτωρ δ' ἂψ ἐσ ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,

---

99. τίηι § 165] τιμᾶι.
103. ἰόντε Zen.] -ντεσ Ar. Ω.
104. πωσ] περ C.
105. φέρτατον A] -τερον C T.
112. δὲ T] δέ τ' Ω.
125. ἀπέϝρα § 150^{5}] ἀπηύρα.

εἰσ δίφρον δ' ἀνόρουσε· 'δίδου δ' ὅ γε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ϝάστυ, μέγα κλέοσ ἔμμεναι αὐτῶι.
Αἴασ δ' ἀμφὶ Μενοιτιάδηι σάκοσ εὐρὺ καλύψασ
εἱστήκειν ὥσ τίσ τε λέων περὶ ϝοῖσι τέκεσσι,
ὧι ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕληι
ἄνδρεσ ἐπακτῆρεσ, ὃ δέ τε σθένεϊ βλεμεαίνει, 135b cf. 22
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
ὥσ Αἴασ περὶ Πατρόκλωι ἥρωι' ἐβεβήκει.
Ἀτρεΐδησ δ' ἑτέρωθεν Ἄρηϊ φίλοσ Μενέλαοσ
εἱστήκει, μέγα πένθοσ ἐνὶ στήθεσσιν ἀέξων. 139 cf. λ 196

Γλαῦκοσ δ', Ἱππολόχοιο πάϊσ, Λυκίων ἀγὸσ ἀνδρῶν, 140 = Η 13
Ἕκτορ' ὑπόδρα ϝιδὼν χαλεπῶι ἠνίπαπε μύθωι· 141b = Β 245
„Ἕκτορ, ϝεῖδοσ ἄριστε, μάχησ ἄρα 'δεύεο πολλόν.
ἦ σ' αὔτωσ κλέοσ ἐσθλὸν ἔχει φυζηλὸν ἐόντα.
φράζεο νῦν, ὅππωσ κε πόλιν καὶ ϝάστυ σαώσηισ
οἶοσ σὺν λαοῖσ' οἳ Ϝιλίωι ἐγγεγάασι·
οὐ γάρ τισ Λυκίων γε μαχεσσόμενοσ Δαναοῖσι
εἶσι περὶ πτόλιοσ, ἐπεὶ οὐκ ἄρα τισ χάρισ ἦεν 147b sq. = Ι 316 sq.
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲσ αἰεί.
πῶσ κε σὺ χείρονα φῶτα σαώσειασ καθ' ὅμιλον,
σχέτλι'! ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπεσ Ἀργεΐοισιν ἕλωρ καὶ κύρμα γενέσθαι, 151 cf. γ 271 — 151b cf. Ε 488
ὅσ τοι πόλλ' ὄφελοσ 'γένετο, πτόλεΐ τε καὶ αὐτῶι,
ζωιὸσ ἐών· νῦν δ' οὔ ϝοι ἀλαλκέμεναι κύνασ ἔτλησ.
τῶι νῦν εἴ τισ ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν, 154 cf. Τ 305
ϝοίκαδ' ἴμεν, Τροίηι δὲ πεφήσεται αἰπὺσ ὄλεθροσ.
εἰ γὰρ νῦν Τρώεσσι μένοσ πολυθαρσὲσ ἐνείη, 156b cf. Τ 37 ν 387
ἄτρομον, οἷόν τ' ἄνδρασ ἐσέρχεται, οἳ περὶ πάτρησ

134—136. Om. Chia et Zen.
136. καλύπτων] sic Ar., -πτον C.
142. (')δεύεο πολλόν Fick] πολλὸν ἐδεύεο. Cf. § 117.
143. φυζηλὸν vHerwerden ex Hesych.] φύξηλιν Ω (quod imitatus est Nicander Ther. 660 Alex. 472).
145. λαοῖσ(' τ)οἳ Bentley] λαοῖσι τοί.
148. δηΐοισιν ἐπ' Ar. versu parall.] -σι μετ'.
149. *καθ'] μεθ'. Cf. Λ 424.
— ὅμιλον] sic Ar., (δι' ?) ὁμίλου Zen.
151. Ἀργεΐοισιν] οἰώνοισιν Z Harl. Lips. (ut γ 271).
153. κύνασ] κύον Zen.
155. ἴμεν] sic Ar., ἴτω Dionysius Sidonius (ἴω schol. T; corr. Spitzner).
— πεφήσεται] πεφάνσεται vHerwerden (cf. § 280).

ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ϝερυσαίμεθα Ϝίλιον εἴσω.
εἰ δ' οὗτοσ προτὶ ϝάστυ μέγα Πριάμοιο ϝάνακτοσ 160b = H 296
ἔλθοι τεθνηὼσ καί μιν ϝερυσαίμεθα χάρμησ,
αἶψά κεν Ἀργέιοι Σαρπηδόνοσ ἔντεα καλὰ
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ϝίλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέροσ, ὃσ μέγ' ἄριστοσ 164b sq. = Π 271 sq.
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχίμαχοι θεράποντεσ.
ἀλλὰ σύ γ' Αἴαντοσ μεγαλήτοροσ οὐκ ἐτάλασσασ
στήμεναι ἄντα, κατ' ὄσσε ϝιδὼν δηΐων ἐν ἀυτῆι,
οὐδ' ἰθὺσ μαχέσασθαι, ἐπεὶ σέο φέρτερόσ ἐστι."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κορυθαιόλοσ Ἕκτωρ· 169 = M 230
„Γλαῦκε, τίη δὲ σὺ τοῖοσ ἐὼν ὑπέροπλον ἔϝειπεσ;
ὢ πέπον, ἦ τ' ἐφάμην σε περὶ φρένασ ἔμμεναι ἄλλων 171b = N 631
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι· 172 cf. B 841
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένασ, οἷον ἔϝειπεσ, 173 = Ξ 95
ὅσ τέ με φῄσ Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί γε Διὸσ κρείσσων νόοσ αἰγιόχοιο, 176 cf. Π 688
ὅσ τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην 177 sq. = Π 689 sq.
ῥηϊδίωσ, ὁτὲ δ' αὐτὸσ ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ϝίδε ϝέργον, 179 = χ 233 179a = Δ 314
ἠὲ πανημέριοσ κακὸσ ἔσσομαι, ὡσ ἀγορεύεισ,
ἤ τινα καὶ Δαναῶν, ἀλκῆσ μάλα περ μεμαῶτα,
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντοσ."
ὣσ ϝειπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσασ· 183b-185 = Θ 172 sqq.
„Τρῶεσ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεσ ἔστε, φίλοι, μνήσασθε δὲ θούριδοσ ἀλκῆσ,
ὄφρα κ' ἐγὼν Ἀχιλῆοσ ἀμύμονοσ ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάσ." 187 cf. X 323
ὣσ ἄρα φωνήσασ ἀπέβη κορυθαιόλοσ Ἕκτωρ 188 = Z 116
δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρουσ

158. ἔθεντο] ἔχουσιν T. Cf. (Π 756) Ω 402.
165. ἀγχίμαχοι] ἀγχέμ. Ω (cf. N 5).
171. πέπον] sic Zen., πόποι (Ar.) A C (cf. N 95—124, 222 O 467).
173. σε(') Zen.] σευ Ω. Cf. Ξ 95.
174. με φῄσ] μ' ἔφησ Ptolemaeus Asc.
176. γε] τε Ω (cf. Π 688).
— αἰγιόχοιο] ἠέ περ ἀνδρόσ (ut legitur in vs. parall.) CT.
177 sq. Cf. Π 689 sq.

ὦκα μάλ', οὔ πω τῆλε, ποσὶ κραιπνοῖσι μετασπών, 190a cf. τ 301 190b = ξ 33
οἳ προτὶ ϝάστυ 'φέρον κλυτὰ τεύχεα Πηλεΐδαο.
στὰσ δ' ἀπάνευθε μάχησ πολυδάκρυοσ ἔντε' ἄμειβε·
ἤ τοι ὃ μὲν ἕϝ' ἔδωκε φέρειν προτὶ Ϝίλιον ἱρὴν
Τρωσὶ φιλοπτολέμοισιν, ὃ δ' ἄμβροτα τεύχε' ἔδυνε
Πηλεΐδα' Ἀχιλῆοσ, ἅ ϝοι θεοὶ Οὐρανίωνεσ
πατρὶ φίλωι ἔπορον, ὃ δ' ἄρα ϝῶι παιδὶ ὄπασσε
γηράσ, — ἀλλ' οὐχ υἱὸσ ἐν ἔντεσι πατρὸσ ἐγήρα.
τὸν δ' ὡσ οὖν ἀπάνευθε 'ϝίδεν νεφεληγερέτα Ζεὺσ
τεύχεσι Πηλεΐδαο κορυσσόμενον θείοιο, [376
κινήσασ ῥα κάρη προτὶ ϝὸν 'μυθήσατο θυμόν· 200 cf. 442 ε 285,
„ἆ δϝείλ', οὐδέ τί τοι θάνατοσ καταθύμιόσ ἐστι, 201 cf. K 383
ὃσ δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεισ
ἀνδρὸσ ἀριστῆοσ, τόν τε τρομέουσι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνεσ ἐνηέα τε κρατερόν τε, 204 cf. Φ 96
τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατόσ τε καὶ ὤμων 205b = E 7
εἵλε'· ἀτάρ τοι νῦν γε μέγα κράτοσ ἐγγυαλίξω, 206b cf. Λ 753
τῶν ποινήν, ὃ τοι οὔ τι μάχησ ἒκ νοστήσαντι 207b = X 444 Ω
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνοσ." 705 cf. E 157
ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι 'νεῦσε Κρονίων. 209 = Α 528
Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ, 'δῦ δέ μιν Ἄρησ
δϝεινὸσ Ἐνυάλιοσ, 'πλῆσθεν δ' ἄρα ϝοι μέλε' ἐντὸσ
ἀλκῆσ καὶ σθένεοσ. μετὰ δὲ κλειτοὺσ ἐπικούρουσ 212a = 499
'βῆ ῥα μέγα ϝιϝάχων· 'ϝινδάλλετο δέ σφισι πᾶσι
τεύχεσι λαμπόμενοσ μεγαθύμου Πηλεΐωνοσ.
ὤτρυνεν δὲ ϝέκαστον ἐποιχόμενοσ ϝεπέεσσι,
Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε
Ἀστεροπαῖόν τε Δϝεισήνορά θ' Ἱππόθοόν τε
Φόρκυν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν· 218 cf. B 858
τοὺσ ὅ γ' ἐποτρύνων ϝέπεα πτερόεντα προσηύδα· 219 = N 94

---

191. Πηλεΐδαο] Πηλεΐωνοσ L.
192. πολυδάκρυοσ Bentley] πολυδακρύου (A D) vel -κρύτου Ω (hoc metro invito). Cf. P 544 et § 88[10].
193. ἕϝ' ἔδωκε] cf. Θ 430.
199. Πηλ. κορ. θείοιο] λαμπόμενον μεγαθύμου Πηλεΐωνοσ H (cf. P 214 Υ 46).
202. ὃσ] ὡσ L. — εἶσι Ar. L] ἐστι Ω.
213. πᾶσι] δαίμων vHerwerden.
214. μεγαθύμου Πηλεΐωνοσ] -μωι -ωνι Ar. A (cf. γ 246), Πηληϊάδεω Ἀχιλῆοσ Zen.; *βροτολοίγωι ϝίσοσ Ἄρηϊ (ut Υ 46)?
219. Om. D T L, in margine habuit archetypum codicis A (hic enim codex in hac pagina habet versus 26).

„κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων·
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενοσ οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ϝέκαστον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχουσ καὶ νήπια τέκνα — 223ᵇ = Z 95
προφρονέωσ ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῆι
λαούσ, ὑμέτερον δὲ ϝεκάστου θυμὸν ἀέξω.
τῶι τισ νῦν ἰθὺσ τετραμμένοσ ἢ ἀπολέσθω
ἠὲ σαωθήτω· ἃ γὰρ πολέμοι' ὀαριστύσ.
ὃσ δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπησ
Τρῶασ ἒσ ἱπποδάμουσ ϝερύσηι, ϝείξηι δέ ϝοι Αἴασ,
ἥμισυ τῶι ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸσ
ἕξω ἐγώ· τὸ δέ ϝοι κλέοσ ἔσσεται ὅσσον ἐμοί περ."
ὣσ ἔφαθ', οἳ δ' ἰθὺσ Δαναῶν βρίσαντεσ ἔβησαν
δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισι 'ϝέλπετο θυμὸσ — 234ᵃ = Δ 594; 234ᵇ = 395, 495
νεκρὸν ὑπ' Αἴαντοσ ϝερύειν Τελαμωνιάδαο·
νήπιοι! ἦ τε πολέσσιν ἐπ' αὐτῶι θυμὸν ἀπέϝρα.
καὶ τότ' ἄρ' Αἴασ 'ϝεῖπε βοὴν ἀγαθὸν Μενέλαον· — 237 = 651
„ὦ πέπον, ὦ Μενέλαε διοτρεφέσ, οὐκέτι νῶϊ — 238ᵃ = Z 55
ϝέλπομαι αὐτώ περ νοστησέμεν' ἐκ πολέμοιο.
οὔ τι τόσον νέκυοσ πέρι δέδϝια Πατρόκλοιο,
ὅσ κε τάχα Τρώων κορέσηι κύνασ ἠδ' οἰωνούσ, — 241 cf. Θ 379
ὅσσον ἐμῆι κεφαλῆι πέρι δέδϝια, μή τι πάθηισι, — 242ᵇ = Δ 470ᵃ
καὶ σῆι, ἐπεὶ πολέμοιο νέφοσ περὶ πάντα καλύπτει.
ἀλλ' ἄγ' ἀριστῆασ Δαναῶν κάλε', εἴ τισ ἀκούσηι."
ὣσ ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸσ Μενέλαοσ, — 246 = 656
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώσ· — 247 sq. = Δ 275 sq.
„ὦ φίλοι, Ἀργείων ἡγήτορεσ ἠδὲ μέδοντεσ,
οἵ τε παρ' Ἀτρεΐδηισ' Ἀγαμέμνονι καὶ Μενελάωι — 249ᵇ = E 552
δήμια πίνουσιν καὶ σημαίνουσι ϝέκαστοσ

---

244 Ἕκτωρ, ἧμιν δ' αὖτ' ἀναφαίνεται αἰπὺσ ὄλεθροσ. — 244ᵇ = Δ 174

---

231. τῶι Ar.] τῶν Ω.
234. 'ϝέλπετο] sic (ἔλπετο) Ar., ἤθελε l. a. in T.
236. πολέσσιν] cf. N 452.
— ἀπέϝρα § 150⁵] ἀπηύρα.
241. κορέσηι § 122] κορέ(σ)ει.
244. Damnavit Heyne.
— αὖτ'] *αὖθ'(ι)? Cf. N 178.
245. εἴ § 326] ἤν.
249. Ἀτρεΐδηισ' Ἀ. καὶ Μενελάωι] -δηι Ἀ. ποιμένι λαῶν Cant. Vrat.
250. ϝέκαστοσ] ἕκαστα l. a. ant

λαοῖσ', ἐκ δὲ Διὸσ τιμὴ καὶ κῦδοσ ὀπηδεῖ·
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον 252[a] = *M* 410
ἡγεμόνων, τόσση γὰρ ἔρισ πολέμοιο δέδηε. 252[b] cf. *K* 388
ἀλλά τισ αὐτὸσ ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῶι
Πάτροκλον Τρωΐηισι κυσὶν μέλπηθρα γενέσθαι.“ 255 = *Σ* 179
ὣσ ἔφατ'· ὀξὺ δ' ἄκουσεν Ὀιλῆοσ ταχὺσ Αἴασ, 255[b] cf. *N* 233
πρῶτοσ δ' ἀντίοσ ἦλθε θέων ἀνὰ δηϊοτῆτα, 257 cf. *O* 584
τὸν δὲ μετ' Ἰδομενεὺσ καὶ ὀπάων Ἰδομενῆοσ, 258[b] sq. = *H* 165 sq.
Μηριόνησ, ἀτάλαντοσ Ἐνυαλίωι ἀνδροφόντηι.
τῶν δ' ἄλλων τίσ κεν ϝῆισι φρεσὶν οὔνομα ϝείποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;

Τρῶεσ δὲ προέτυψαν ἀϝολλέεσ, ἦρχε δ' ἄρ' Ἕκτωρ. 262 = *N* 136
ὡσ δ' ὅτ' ἐπὶ προχοῆισι διιπετέοσ ποταμοῖο
βεβρύχηι μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
ἠϊόνεσ βοάωσιν ἐρευγομένησ ἁλὸσ ἔξω,
τόσσηι ἄρα Τρῶεσ ϝιϝαχῆι ἴσαν. αὐτὰρ Ἀχαιοὶ
ἕστασαν ἀμφὶ Μενοιτιάδηι, ἕνα θυμὸν ἔχοντεσ, 267[b] = *O* 710 *Π* 219 cf. *γ* 128[a]
φραχθέντεσ σάκεσιν χαλκήρεσιν. ἀμφὶ δ' ἄρα σφι
λαμπρῆισιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν
'χεῦ', ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάροσ περ,
ὄφρα ζωιὸσ ἐὼν θεράπων ἔεν Αἰακίδαο·
'μίσησεν δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι
Τρώιηισιν. τῶι καί ϝοι ἀμυνέμεν' ὦρσεν ἑταίρουσ.
ὦσαν δὲ πρότεροι Τρῶεσ ϝελίκωπασ Ἀχαιούσ· 274 = *Π* 569
νεκρὸν δὲ προλιπόντεσ ὑπέτρεσαν, οὐδέ τιν' αὐτῶν
Τρῶεσ ὑπέρθυμοι ἕλον ἔγχεσι ϝιέμενοί περ,
ἀλλὰ νέκυν 'ϝερύοντο. μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
'μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεασ ὦκ' ἐϝέλιξε

---

252. *ἕκαστον*] neglecto *ϝ*, Bentley *ἅπαντασ* (cf *K* 388).
259. *ἀνδροφόντηι* § 28] *ἀνδρ(ε)ιφόντηι*.
260 sq. Zen. —
260. *κεν ϝῆισι*] *χ' ἧσιν ἐνὶ* l. a. in A.
— *οὔνομα* Bentley] *οὐνόματ'*. Cf. *Γ* 235 *:* 194.
264. *βεβρύχηι* Aristoph. L (-*χει*)] -*χεν* *Ω*. Cf. *Δ* 434.
265. *ἠϊόνεσ*] -*νοσ* l. a. apud Eust. (cf. *Δ* 425 *Ξ* 36 *ι* 285, ubi substantivum est *ἄκραι*).
268. *φραχθέντεσ*] *ἀρθέντεσ* Zen. (cf. *M* 105 *Π* 211). Cum vulgata concinit *N* 130.
270. *ἤχθαιρε*] -*ηρε* D (cf. *Y* 306).
— *περ*] *γε* *Ω*. Cf. *N* 465.
273. *ἑταίρουσ*] *Ἀχαιούσ* l. a. in A (ut vs. seq.).
278. *ἐϝέλιξε* § 41[24]] *ἐλέλιξε*.

Αἴασ, ὃσ περὶ μὲν ϝεῖδοσ, περὶ δ' ἔργ' ἐτέτυκτο — 279 cf. λ 550
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα. — 280 = B 674 λ 551
ἴθυσεν δὲ διὰ προμάχων συῒ ϝείκελοσ ἀλκὴν — 281ᵃ = Π 582 — 281ᵇ cf. Δ 253
καπρίωι, ὅσ τ' ἐν ὄρεσσι κύνασ θαλερούσ τ' αἰζηοὺσ
ῥηιδίωσ ἐκέδασσε ϝελιξάμενοσ διὰ βήσσασ·
ὣσ υἱὸσ Τελαμῶνοσ ἀγαυοῦ, φαίδιμοσ Αἴασ,
ῥεῖα μετισάμενοσ Τρώων ἐκέδασσε φάλαγγασ, — 285 cf. N 90
οἳ περὶ Πατρόκλωι 'βέβασαν, 'φρόνεον δὲ μάλιστα
ϝάστυ πότι σφέτερον ϝερύειν καὶ κῦδοσ ἀρέσθαι. — 287 cf. 419
ἦ τοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμοσ υἱὸσ
Ἱππόθοοσ ποδὸσ εἷλκε κατὰ κρατερὴν ὑσμίνην, — 289ᵇ = N 383
δησάμενοσ τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντε,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενοσ· τάχα δ' αὐτῶι — 291 sq. = O 449 sq.
ἦλθε κακόν, τό ϝοι οὔ τισ ἐρύκακε ϝιεμένων περ. — [sq.
τὸν δ' υἱὸσ Τελαμῶνοσ, ἐπαΐξασ δι' ὁμίλου, — 293ᵇ sq.ᵃ = M 191
'πλῆξ' αὐτοσχεδίην κυνέησ διὰ χαλκοπαρήιου· — 294ᵇ = M 183
ἤρικε δ' ἱπποδάσεια κόρυσ περὶ δουρὸσ ἀκωκῆι,
πληγεῖσ' ἔγχεΐ τε μεγάλωι καὶ χειρὶ παχείηι,
ἐγκέφαλοσ δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆσ
αἱματόεισ. τοῦ δ' αὖθι 'λύθη μένοσ, ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτοροσ ἧκε χαμᾶζε
κεῖσθαι· ὃ δ' ἄγχ' αὐτοῖο 'πέσε πρηνὴσ ἐπὶ νεκρῶι, — 300ᵇ = Π 579
τῆλ' ἀπὸ Λαρίσησ ἐριβώλακοσ, οὐδὲ τοκεῦσι
θρέπτρα φίλοισ' ἀπέδωκε, μινυνθάδιοσ δέ ϝοι αἰὼν — 302 sq. = Δ 478 sq.
ἔπλεθ' ὑπ' Αἴαντοσ μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντοσ ἀκόντισε δουρὶ φαεινῶι. — 304ᵇ-306ᵃ = N 183 sqq.
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ
τυτθόν· ὃ δὲ Σχεδίον, μεγαθύμου Ϝιφίτου υἱόν, — 306 cf. O 515
Φωκήων ὄχ' ἄριστον, ὃσ ἐν κλειτῶι Πανοπῆϊ
ϝοικί' ἐναιετάεσκε πολέσσ' ἄνδρεσσι ϝανάσσων,
τὸν 'βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲσ ἄκρη
αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε.

---

279. ἔργ'] neglecto ϝ, ἔπλετο ϝέργα Brandreth.
285. ῥεῖα μετισάμενοσ] cf. N 90.
290. τένοντε H] -ντασ Ω (cf. Π 587).
292. ϝιεμένων] sic Ar., -νωι D, -νοσ Harl. Cf. O 450.
302. θρέπτρα] θρέπτα G L (cf. Δ 478).
308. πολέσσ'] cf. N 452.

'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι. 311 = Δ 504
Αἴασ δ' αὖ Φόρκυνα, δαΐφρονα Φαίνοποσ υἱόν,
Ἱπποθόωι περιβάντα μέσην κατὰ γαστέρ' ἔτυψε·
'ρῆξε δὲ θώρηκοσ γύαλον, διὰ δ' ἔντερα χαλκὸσ 314 sq. = N 507 sq.
ἤφυσ', ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.
'χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμοσ Ἕκτωρ· 316 sq. = Δ 505 sq.
Ἀργέιοι δὲ μέγα 'ϝίϝαχον, 'ϝερύσαντο δὲ νεκρούσ,
Φόρκυν θ' Ἱππόθοόν τε, 'λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
ἔνθα κεν αὖτε Τρῶεσ Ἄρηϊ φίλων ὑπ' Ἀχαιῶν 319 sq. = Z 73 sq.
Ϝίλιον εἰσανέβησαν ἀναλκίηφι δαμέντεσ,
Ἀργέιοι δέ κε κῦδοσ ἕλον καὶ ὑπὲρ Διὸσ αἶσαν
κάρτεϊ καὶ σθένεϊ σφετέρωι· ἀλλ' αὐτὸσ Ἀπόλλων 322ᵃ cf. O 108
Αἰνείαν ὤτρυνε, δέμασ Περίφαντι ϝεϝοικώσ,
κήρυκ' Ἠπυτίδηι, ὅσ ϝοι παρὰ πατρὶ γέροντι
κηρύσσων 'γήρασκε, φίλα φρεσὶ μήδεα ϝειδώσ.
τῶι μιν ϝεισάμενοσ προσέφη Διὸσ υἱὸσ Ἀπόλλων· 326 = Π 720
„Αἰνεία, πῶσ κεν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ϝίλιον αἰπεινήν; ὡσ δὴ 'ϝίδον ἀνέρασ ἄλλουσ,
κάρτεΐ τε σθένεΐ τε πεποιθότασ ἠνορέηι τε 329ᵃ = O 108
πλήθεΐ τε σφετέρωι, καὶ ὑπὲρ Δία δῆμον ἔχοντασ.
ἧμιν δὲ Ζεὺσ μὲν πολὺ βούλεται ἢ Δαναοῖσι
νίκην· ἀλλ' αὐτοὶ τρέετ' ἄσπετον οὐδὲ μάχεσθε."
ὣσ ἔφατ', Αἰνείασ δὲ ϝεκηβόλον Ἀπόλλωνα
ἔγνω ἐσ ἄντα ϝιδών, μέγα δ' Ἕκτορα 'ϝεῖπε βοήσασ·
„Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων, 335 = M 61
αἰδὼσ μὲν νῦν ἧδε, Ἄρηΐ φίλων ὑπ' Ἀχαιῶν 336ᵃ cf. E 787; 336ᵇ sq. cf. Z 73 sq.
Ϝίλιον εἰσαναβήμεν' ἀναλκίηφι δαμέντασ.
ἀλλ' ἔτι γάρ τίσ φησι θεῶν, ἐμοὶ ἄγχι παραστάσ,
Ζῆν', ὕπατον μήστωρα, μάχησ ἐπιτάρροθον εἶναι· 339ᵃ cf. Θ 22
τῶι ῥ' ἰθὺσ Δαναῶν ἴομεν, μηδ' οἵ γε ϝέκηλοι
Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα."
ὣσ 'φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενοσ ἔστη·

---

317. μέγα T Gen.] μέγ' Ω (cf. Δ 506).
320 et 337. ἀναλκίηφι § 46] -κ(ε)ίῃσι.
322. αὐτὸσ] αὖτισ Bentley (cf. vs. 72).
326. ϝεισάμενοσ § 212[3]] εἰσάμενοσ.
330. ὑπὲρ Δία Brooks] ὑπερδέα Ω, quae sunt litterae sine sensu; ὑπέρμορα coniecerat vHerwerden, ὑπέρβιον ἦτορ ἔχοντασ Nauck. Cf. vs. 327 et 331.
333. δὲ ϝεκηβόλον Bentley] δ' ἑκατηβόλον.
336. ἠδ(ε) L] ἦδε γ' Ω.

οἳ δ' ἐϝελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν. 843 = E 497
ἔνθ' αὖτ' Αἰνείασ Λειόκριτον οὔτασε δουρί,
υἱὸν Ἀρίσβαντοσ, Λυκομήδεοσ ἐσθλὸν ἑταῖρον.
τὸν δὲ πεσόντ' ἐλέησεν Ἄρηϊ φίλοσ Λυκομήδησ, 846 cf. E 561, 846ª = 352
'στῆ δὲ μάλ' ἐγγὺσ ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῶι, 847 = Δ 496
καὶ 'βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν, 848ᵇ sq. = Λ 578 sq.
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε,
ὅσ ῥ' ἐκ Παιονίησ ἐριβώλακοσ εἰληλούθει, 850 cf. E 44
καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊοσ Ἀστεροπαῖοσ, 852ª = 346
ἴθυσεν δὲ καὶ ὃ πρόφρων Δαναοῖσι μάχεσθαι·
ἀλλ' οὔ πωσ ἔτι εἶχε, σάκεσσι γὰρ εἴρχατο πάντηι 854ª = H 217
ἑσταότεσ περὶ Πατρόκλωι, πρὸ δὲ δούρατ' ἔχοντο.
Αἴασ γὰρ μάλα πάντασ ἐπώιχετο πολλὰ κελεύων·
οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἄνωγε
οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῶι βεβάμεν σχεδόθεν τε μάχεσθαι.
ὣσ Αἴασ ἐπέτελλε πελώριοσ, αἵματι δὲ χθὼν
'δεύετο πορφυρέωι, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον 861ᵇ = χ 118 ω 181, 449
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτί γ' ἐμάχοντο,
παυρότεροι δὲ πολὺ 'φθίνυθον, 'μέμνηντο γὰρ αἰεὶ
ἀλλήλοισ' ἀν' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
ὣσ οἳ μὲν 'μάρναντο δέμασ πυρόσ, οὐδέ κε φαίησ 866ª = Δ 596
οὔτε ποτ' ἠέλιον σάον ἔμμεναι οὔτε σελήνην·
ἠέρι γὰρ κατέχοντο μάχηι ἔνι ὅσσοι ἄριστοι 868ª cf. 644
ἕστασαν ἀμφὶ Μενοιτιάδηι κατατεθνηῶτι.
οἳ δ' ἄλλοι Τρῶεσ καὶ ἐυκνήμιδεσ Ἀχαιοὶ

---

843. ἐϝελίχθησαν § 41[24]] ἐλελίχθησαν.

844. Ληόκριτον] Λειόκριτον vel Λειώκριτον Ω, item β 242 χ 294. Simile vitium est Λειώδησ pro Ληώδησ (Λαοϝάδησ Fick) φ 144, 168 χ 310; praeterea cf. εἵωσ (et ἕωσ) pro ἧοσ dictum (§ 323[3]) et similia. Utriusque nominis pars prior est ληόσ sive λαόσ, et revera Λαόκριτοσ in Apollodori fr. Sab. vocatur is qui in Odysseae codd. dicitur Λειώκριτοσ Penelopae procus. Correxit Nauck.

348. Ἀπισάονα] Ἀμυθάονα l. a. ant.

354. ἔτι εἶχε] cf. H 217.

357. ἄνωγε § 225] ἀνώγει.

359. τε O T] δὲ Ω.

364 sq. Zen. —

365. ἀν' G L] καθ' Ω.

— φόνον] πόνον G. Eadem varietas est Φ 137, 249, 525 X 11 μ 117.

368. μάχηι ἔνι ὅσσοι Aristoph.] μάχησ ἐπὶ τόσσον Zen., μάχη(σ) ἐπί θ' ὅσσοι (vel -ον) Ω.

εὔκηλοι 'πολέμιζον ὑπ' αἰθέρι, 'πέπτατο δ' αὐγὴ
ἠελίοι' ὀξεῖα, νέφοσ δ' οὐ 'φαίνετο πάσησ
γαίησ οὐδ' ὀρέων· μεταπαυόμενοι δ' ἐμάχοντο,
ἀλλήλων ἀλεείνοντεσ βέλεα στονόεντα,
πολλὸν ἀφεσταότεσ, τοὶ δ' ἐν μέσωι ἄλγε' ἔπασχον
ἠέρι καὶ πολέμωι, 'τείροντο δὲ νηλέι χαλκῶι
ὅσσοι ἄριστοι ἔσαν. δύο δ' οὔ πω φῶτ' ἐπεπύσθην,
ἀνέρε κυδαλίμω, Θρασυμήδησ Ἀντίλοχόσ τε,
Πατρόκλοιο πεσόντοσ ἀμύμονοσ, ἀλλ' ἔτ' ἔφαντο
ζωιὸν ἐνὶ πρώτωι ὁμάδωι Τρώεσσι μάχεσθαι.
τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣσ ἐπετέλλετο Νέστωρ
ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν. 383ᵃ = B 589
τοῖσ δὲ πανημερίοισ' ἔριδοσ μέγα νεῖκοσ ὀρώρει 384ᵇ cf. N 122
ἀργαλέησ· καμάτωι δὲ καὶ ἱδρόι νωλεμὲσ αἰεὶ
γούνατά τε κνῆμαί τε πόδεσ θ' ὑπένερθε ϝεκάστου
χεῖρέσ τ' ὀφθαλμοί τε 'παλάσσετο μαρναμένοιιν
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεοσ Αἰακίδαο. 388 = Π 165
ὡσ δ' ὅτ' ἀνὴρ ταύροιο βοὸσ μεγάλοιο βοείην 389ᵇ = Σ 582
λαοῖσιν δώηι τανύειν, μεθύουσαν ἀλοιφῆι· —
δεξάμενοι δ' ἄρα τοί γε διαστάντεσ τανύουσι
κυκλόσ', ἄφαρ δ' ἐξ ἰκμὰσ ἔβη δύνει δέ τ' ἀλοιφὴ
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διὰ πρό· —
ὣσ οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγηι ἐνὶ χώρηι
εἵλκεον ἀμφότεροι, μάλα δέ σφισι 'ϝέλπετο θυμόσ, 395 cf. 495 / 395ᵇ = 234
Τρωσὶν μὲν ϝερύειν προτὶ Ϝίλιον, αὐτὰρ Ἀχαιοῖσ
νῆασ ἔπι γλαφυράσ. περὶ δ' αὐτοῦ μῶλοσ ὀρώρει
ἄγριοσ· οὐδέ κ' Ἄρησ λαοσσόοσ οὐδέ κ' Ἀθήνη 398 sq. cf. N 127 sq.
τόν γε ϝιδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλοσ ἵκοι.

---

371. αἰθέρι] αἴθρηι Naber (ut legitur P 646 ζ 44 μ 75). Cf. § 3 et (Θ 558 = Π 300) N 837.

379. πεσόντοσ C] θανόντοσ Ω.

381. ἐπιοσσομένω] ἄρ' ἐποσσομένω vHerwerden (cf. I 167).

385. καμάτωι] λύθρωι Nauck (ut Λ 169 Υ 503). Cf. N 711 P 745.

386 sq. Expectatur: κνήμασ ... πόδασ ... (ϝ)έκαστοσ | χεῖρασ ... ὀφθαλμώ (Leaf).

388. ἀγαθὸν θεράποντα] -θῶι -ντι? Cf. Π 526.

392. κυκλόσ'] cf. Δ 212; κύκλωι Zen.

— δ' ἐξ vHerwerden] δέ τ' vel δέ τε Ω metro invito (ET—EΞ).

396. μὲν] μέν ῥ' C T.

397 sq. μῶλοσ ... ἄγριοσ] νεῖκοσ ... ἄγριον C.

τοῖον Ζεὺσ ἐπὶ Πατρόκλωι ἀνδρῶν τε καὶ ἵππων
ἤματι τῶι ἐτάνυσσε κακὸν πόνον.

οὐδ' ἄρα πώ τι
'ϝείδεε Πάτροκλον τεθνηότα δῖοσ Ἀχιλλεύσ·
πολλὸν γὰρ ἀπάνευθε νεῶν 'μάρναντο θοάων,
τείχε' ὕπο Τρώων. τό μιν οὔ ποτε 'ϝέλπετο θυμῶι 404ᵃ = 558 Ψ 81 cf. X 144
τεθνάμεν', ἀλλὰ ζωιόν, ἐνιχριμφθέντα πύληισι,
ἄψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τὸ 'ϝέλπετο πάμπαν,
ἐκπέρσειν πτολίεθρον ἄνευ ϝέθεν, οὐδὲ σὺν αὐτῶι.
πολλάκι γὰρ τό γε μητρὸσ ἐπεύθετο νόσφιν ἀκούων,
ἥ ϝοι ἀπηγγέλλεσκε Διὸσ μεγάλοιο νόημα·
δὴ τότε γ' οὔ ϝοι ἔϝειπε κακὸν τόσον, ὅσσον ἐτύχθη,
μήτηρ, ὅττι ῥά ϝοι πολὺ φίλτατοσ ὤλεθ' ἑταῖροσ. 411 cf. 655
οἳ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντεσ 412ᵃ = Π 641
νωλεμὲσ ἐγχρίμπτοντο καὶ ἀλλήλουσ ἐνάριζον· 412ᵇ = M 144
ὧδε δέ τισ 'ϝείπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
„ὦ φίλοι, οὐ μὰν ἧμιν ἐυκλεὲσ ἀπονέεσθαι
νῆασ ἔπι γλαφυράσ, ἀλλ' αὐτόθι γαῖα μέλαινα
πᾶσι χάνοι, — τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη, — 417ᵇ cf. H 28
εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισι
ϝάστυ πότι σφέτερον ϝερύσαι καὶ κῦδοσ ἀρέσθαι.“ 419 cf. 287
ὧδε δέ τισ Τρώων μεγαθύμων κύδήσασκε·
„ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῶιδε δαμῆναι
πάντασ ὁμῶσ, μή πώ τισ ἐρωεέτω πολέμοιο.“
ὥσ ἄρα τισ 'ϝείπεσκε, μένοσ δ' ὤρσασκε ϝεκάστου.

ὣσ οἳ μὲν 'μάρναντο, σιδήρειοσ δ' ὀρυμαγδὸσ
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέροσ ἀτρυγέτοιο· 425ᵇ = h. Cer. 67
ἵπποι δ' Αἰακίδαο μάχησ ἀπάνευθεν ἐόντεσ
'κλαῖον, ἐπεὶ δὴ πρῶτα 'πυθέσθην ἡνιόχοιο
ἐν κονίηισι πεσόντοσ ὑφ' Ἕκτοροσ ἀνδροφόνοιο.

---

400. ἐπὶ] περὶ D.
404—425. Zen. om.; casune tota pagina (versuum 22) interciderat?
411. In Gen. habet —
413. ἐγχρίμπτοντο A (rec.)] ἐχρ. Ω.
420. Ar. — (an vs. 420—422?).
— ὧδε δέ τισ Gen.] ὣσ δέ τισ αὖ Ω (ita ut ad sequentia referendum sit ὣσ, ut Ω 337, sed invita dictione epica).
423. ϝεκάστου] ἕκαστοσ C.

ἦ μὰν Αὐτομέδων, Διώρεοσ ἄλκιμοσ υἱόσ,
πολλὰ μὲν ἂρ μάστιγι θοῆι ἐπεμαίετο θείνων, 430 cf. E 748
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῆι·
τὼ δ' οὔτ' ἄψ ἐπὶ νῆασ ἐπὶ πλατὺν Ἑλλήσποντον 432ᵇ cf. H 86
ἠθελέτην ἴμεναι οὔτ' εἰσ πόλεμον μετ' Ἀχαιούσ,
ἀλλ' ὥσ τε στήλη μένει ἔμπεδον, ἥ τ' ἐπὶ τύμβωι
ἀνέροσ ἑστήκηι τεθνηότοσ ἠὲ γυναικόσ,
ὣσ 'μένον ἀσφαλέωσ περικαλλέα δίφρον ἔχοντε,
οὔδε' ἐνισκίμψαντε καρήατα, δάκρυα δέ σφι 437 sq. cf. Ψ 283 sq.
θερμὰ κατὰ βλεφάρων χαμάδισ 'ρέε μυρομένοιιν
ἡνιόχοιο πόθωι, θαλερὴ δ' ἐμιαίνετο χαίτη 439ᵇ sq. cf. T 405 sq.
ζεύγλησ ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθε.
μυρομένω δ' ἄρα τώ γε ϝιδὼν ἐλέησε Κρονίων, 441 cf. T 340
κινήσασ δὲ κάρη προτὶ ϝὸν 'μυθήσατο θυμόν· 442 = ε 285, 376 cf. P 200
„ἆ δϝειλώ, τί σφῶϊ 'δόμεν Πηλῆϊ ϝάνακτι
θνητῶι, ὕμεσ δ' ἐστὸν ἀγηράω ἀθανάτω τε. 444ᵇ = M 323
ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
οὐ μὲν γάρ τί ποθ' ἐστὶν οἰζυρότερον ἀνδρὸσ 446 cf. σ 130
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει. 447 = σ 131
ἀλλ' οὐ μὰν ὕμίν γε καὶ ἅρμασι δαιδαλέοισι
Ἕκτωρ Πριαμίδησ ἐποχήσεται, οὐ γὰρ ἐάσω. 449ᵇ cf. Σ 296
οὐ ϝάλισ ὥσ καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτωσ;
γούνασι δ' ἐν σφῶϊν βαλέω μένοσ ἠδ' ἐνὶ θυμῶι,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆασ ἔπι γλαφυράσ· ἔτι γάρ σφισι κῦδοσ ὀρέξω,
κτεινέμεν', εἰσ ὅ κε νῆασ ἐυσσέλμουσ ἀφίκωνται 454 cf. Δ 193
δύηι τ' ἠέλιοσ καὶ ἐπὶ κνέφασ ἱερὸν ἔλθηι." 455 = Δ 194
ὣσ ϝειπὼν ἵπποισιν ἐνέπνευσεν μένοσ ἠΰ. 456 cf. O 262 Ω 442

---

431. προσηύδα] κελεύων Apoll. lex.
435. ἑστήκηι Hermann] -κει. Cf. Δ 434.
436. ἔχοντε C T] -ντεσ Ω.
439. πόθωι] ποθῆι G (forma masculina in Iliade non redit, in Odyssea rara est).
440. ἀμφοτέρωθε] -ρωσε T, -ροισι C.
444. θνητῶι, ὕμεσ] vitium metr. (cf. § 14). — ἀγηράω] -ρω τ' Ω. Cf. B 447 et § 62.
446. οἰζυρότερον § 20] -ρώτερον.
449. οὐ γὰρ ἐάσω] οὐδέ τισ ἄλλοσ l. a. in T.
450. οὐ § 8] ἦ οὐχ. — ἐπεύχεται] ἀγάλλεται Apoll. lex.
451. γούνασι δ' ἐν σφῶϊν βαλέω vChrist] σφῶϊν δ' ἐν γούνεσσι (γούνα(σ)σι pauci) βαλῶ. Cf. § 147.
455. Om. B C.
456. ἵπποισιν ἐνέπνευσεν μένοσ ἠΰ] ἵπποισι μένοσ πολυθαρσὲσ ἐνῆκεν | αὐτὸσ δ' Οὔλυμπόνδε μετ' ἀθανάτουσ ἐβεβήκει Zen. (-τοισι βεβ. cod.; correxit la Roche).

τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶασ καὶ Ἀχαιούσ. 458 = Δ 533
τοῖσι δ' ἐπ' Αὐτομέδων 'μάχετ' ἀχνύμενόσ περ ἑταίρου,
ἵπποισ' ἀΐσσων ὥσ τ' αἰγυπιὸσ μετὰ χῆνασ.
ῥεῖα μὲν ἂρ 'φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ' ἐπηΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων. 462^{b} = Ε 334
ἀλλ' οὐχ ἥιρεε φῶτασ, ὅτε σεύαιτο διώκειν·
οὐ γάρ πωσ ἔεν οἷον ἐόνθ' ἱερῶι ἐνὶ δίφρωι
ἔγχε' ἐφορμᾶσθαι καὶ ἐπισχέμεν' ὠκέασ ἵππουσ.
ὀψὲ δὲ δή μιν ἑταῖροσ ἀνὴρ ἔϝιδ' ὀφθαλμοῖσι
Ἀλκιμέδων, υἱὸσ Λαέρκεοσ Αἱμονίδαο·
'στῆ δ' ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
„Αὐτόμεδον, τίσ τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένασ ἐσθλάσ;
οἷον πρὸσ Τρῶασ μάχεαι πρώτωι ἐν ὁμίλωι
μοῦνοσ! ἀτάρ τοι ἑταῖροσ ἀπέκτατο, τεύχεα δ' Ἕκτωρ
αὐτὸσ ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.“ 473^{a} = Σ 132
τὸν δ' αὖτ' Αὐτομέδων προσέφη, Διώρεοσ υἱόσ·
„Ἀλκίμεδον, τίσ γάρ τοι Ἀχαιῶν ἄλλοσ ὁμοῖοσ
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένοσ τε,
εἰ μὴ Πάτροκλοσ, θεόφιν μήστωρ ἀτάλαντοσ, 477^{b} = Η 366
ζωιὸσ ἐών; νῦν ϝ' αὖ θάνατοσ καὶ μοῖρα κιχάνει. 478 = 672 Χ 436 478^{b} cf. Χ 303
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα 479 cf. Ε 226
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.“ 480 = Ε 227
ὥσ ἔφατ', Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούσασ
καρπαλίμωσ μάστιγα καὶ ἡνία 'λάζετο χερσί, 482 = Ω 441 cf. [Ε 840 482^{b} = Ε 365
Αὐτομέδων δ' ἀπόρουσε. 'νόησε δὲ φαίδιμοσ Ἕκτωρ,
αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺσ ἐόντα· 484 cf. Δ 346
„Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 485 = Ε 180
ἵππω τώδ' ἐνόησα ποδώκεοσ Αἰακίδαο
εἰσ πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι. 487^{a} cf. Ω 332
τώ κεν ἐϝελποίμην αἱρησέμεν', εἰ σύ γε θυμῶι 488^{b} sq.^{a} cf. Ψ 894

---

461. ῥεῖα μὲν ἄρ Knight] ῥεῖα vel ῥέα (sic Ar.) μὲν γάρ. Cf. § 8.

468. ὅτε σεύαιτο] ὅτ' ἐσσεύετο T vitio tralaticio (ε pro αι), hinc (post paradiorthosin) ὅτ' ἐσσεύοντο C.

467. Αἱμονίδαο] Ἀρμονίδαο C T.

478. *ϝ] addidimus (item vs. 672).

481. βοηθόον] sic Ar., βοῆι θοὸν Aristarchei (cf. Ν 477), βοηθόοσ Peppmueller.

488. τώ T] τῶι Ω.

σῶι ἐθέλεισ· ἐπεὶ οὔ κεν ἐφορμηθέντε γε νῶϊ
τλαῖεν ἐναντίβιον στάντεσ μαχέσασθαι Ἄρηϊ."
ὣσ ἔφατ', οὐδ' ἀπίθησεν ἐὺσ πάϊσ Ἀγχίσαο.
τὼ δ' ἰθὺσ 'βήτην βοέηισ ϝεϝλυμένω ὤμουσ — 492[a] = M 380; 492[b] cf. ξ 479
αὔηισιν στερεῆισι· πολὺσ δ' ἐπελήλατο χαλκόσ. — 493[b] cf. N 804
τοῖσι δ' ἅμα Χρομίοσ τε καὶ Ἄρητοσ θεοϝειδὴσ
ἤϊσαν ἀμφότεροι, μάλα δέ σφισι 'ϝέλπετο θυμὸσ — 495 cf. 395; 495[b] = 234
αὐτώ τε κτενέειν ἐλάειν τ' ἐριαύχενασ ἵππουσ· — 496 cf. E 236
νήπιοι! οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
αὖτισ ἀπ' Αὐτομέδοντοσ. ὃ δ' εὐξάμενοσ Διὶ πατρὶ
ἀλκῆσ καὶ σθένεοσ 'πλῆτο φρένασ ἀμφὶ μελαίνασ. — 499[a] = 212; 499[b] cf. 578
αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
„Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν' ἵππω,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεοσ σχήσεσθαι ὀίω,
πρίν γ' ἐπ' Ἀχιλλῆοσ καλλίτριχε βήμεναι ἵππω
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχασ ἀνδρῶν — 505[a] cf. X 245
Ἀργείων, ἤ κ' αὐτὸσ ἐνὶ πρώτοισι ϝαλώηι."
ὣσ ϝειπὼν Αἴαντε 'καλέσσατο καὶ Μενέλαον·
„Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε, — 508[a] = Δ 285
ἦ τοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι
ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχασ ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲσ ἦμαρ· — 511[b] = Δ 588
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείασ θ', οἳ Τρώων εἰσὶν ἄριστοι. — 513[a] cf. 534
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· — 514 = Y 435 α 267 π 129 cf. α 400
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ τοι Διὶ πάντα μελήσει." — 515[b] cf. E 430 Ψ 724
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχοσ, — 516 = Γ 355
καὶ 'βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην· — 517 cf. Γ 347
ἣ δ' οὐκ ἔγχοσ ἔρυτο, διὰ πρὸ δὲ 'ϝίσατο χαλκόσ, — 518sq. = E538sq.
νειαίρηι δ' ἐν γαστρὶ διὰ ζωστῆροσ ἔλασσε.

489. ἐθέλεισ] -λοισ C (cf. Ψ 894).
492. βοέηισ] *σάκεσιν (ut ξ 479), dein -οισι -οισι in vs. 493 (nisi spurius is est)? Cf. § 57; non redit apud H. βοε(ί)η scutum.
501. ἵππω C T] ἵππουσ Ω.
505. τε] δὲ l. a. ant. (Ar.?).
509. οἵ περ] ὅσσοι C T.
513. Post Ἕκτωρ in C add. τ', item vs. 534 in Gen.
515. *τοι] κεν. Cf. § 122.
518. 'ϝίσατο § 201] εἴσατο.
— χαλκόσ] καὶ τῆσ B C (cf. E 538).

ὡσ δ' ὅτε κ' ὀξὺν ἔχων πέλεκυν αἰζήϊοσ ἀνὴρ
κόψασ ἐξόπιθεν κεράων βοὸσ ἀγραύλοιο
ϝῖνα τάμηι διὰ πᾶσαν, ὃ δὲ προθορὼν ἐρίπηισι,
ὣσ ἄρ' ὅ γε προθορὼν ἔπεσ' ὕπτιοσ, ἐν δέ ϝοι ἔγχοσ
νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον 'λύε γυῖα.
"Εκτωρ δ' Αὐτομέδοντοσ ἀκόντισε δουρὶ φαεινῶι· 525ᵇ sq. = N 183 [sq.
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχοσ, 526-529 = Π 610 sqq.
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδε' ἐνεσκίμφθη, ἐπὶ δ' οὐρίαχοσ 'πελεμίχθη
ἔγχεοσ, ἔνθα δ' ἔπειτ' ἀφίει μένοσ ὄβριμοσ "Αρησ.
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην, 530ᵃ = H 273 530ᵇ cf. N 496
εἰ μή σφω' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον ἑταίρου κικλήισκοντοσ.
τοὺσ ὑποταρβήσαντεσ ἐχώρησαν πάλιν αὖτισ
"Εκτωρ Αἰνείασ τε ἰδὲ Χρομίοσ θεοϝειδήσ, 534ᵃ cf. 513
"Αρητον δὲ κατ' αὖθι 'λίπον δεδαϊγμένον ἦτορ, 535ᵃ cf. Ω 470
κείμενον· Αὐτομέδων δὲ θοῶι ἀτάλαντοσ "Αρηϊ
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοσ ϝέποσ ηὔδα· 537 = N 619
„ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντοσ
κῆρ ἄχεοσ μεθέηκα χερείονά περ καταπεφνών."
ὣσ ϝειπὼν εἰσ δίφρον ἑλὼν ἔναρα βροτόεντα
'θῆκ', ἀνὰ δ' αὐτὸσ ἔβαινε, πόδασ καὶ χεῖρασ ὕπερθε 541ᵇ = K 122
αἱματόεισ, ὥσ τίσ τε λέων κατὰ ταῦρον ἐδηδώσ.

ἂψ δ' ἐπὶ Πατρόκλωι 'τέτατο κρατερὴ ὑσμίνη
544 ἀργαλέη πολύδακρυσ, ἔγειρε δὲ νεῖκοσ Ἀθήνη.
547 ἠΰτε πορφυρέην ϝῖριν θνητοῖσι τανύσσηι
Ζεὺσ ἐξ οὐρανόθεν, τέρασ ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνοσ δυσθαλπέοσ, ὅσ ῥά τε ϝέργων
ἀνθρώπουσ ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,

---

545 οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύϝοπα Ζεὺσ 545ᵃ = υ 31 cf. Δ 184
ὀρνύμεναι Δαναούσ, δὴ γὰρ νόοσ ἐτράπετ' αὐτοῦ. 546ᵇ cf. η 263

---

584. τε ἰδὲ § 325[1]] τ' ἠδὲ Ω.
535. δεδαϊγμένον] -νοι Heyne (coll. ν 320).
545. Zen. —, alii om. (teste schol. T). Aristarchum obelo notasse versum, Zenodotum omisisse suspicatur Ludwich; praeterea fieri vix potuit quin veteres non de solo vs. 545 sed simul de vs. 546 ferrent sententiam.

ὡσ Ἡ πορφυρέηι νεφέληι πυκάσασά μιν αὐτὴν
'δύσετ' Ἀχαιῶν ϝέθνοσ, ἔγειρε δὲ φῶτα ϝέκαστον.
πρῶτον δ' Ἀτρέοσ υἱὸν ἐποτρύνουσα προσηύδα,
ἴφθιμον Μενέλαον — ὃ γάρ ῥά ϝοι ἐγγύθεν ἦεν —
ϝεισαμένη Φοίνικι δέμασ καὶ ἀτειρέα φωνήν· 555 cf. N 45
„σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδοσ 556b = Π 498
ἔσσεται, εἴ κ' Ἀχιλῆοσ ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχε' ὕπο Τρώων ταχέεσ κύνεσ ἑλκήσωσι. 558a = 404
ἀλλ' ἔχεο κρατερῶσ, ὄτρυνε δὲ λαὸν ἅπαντα.“ 559 = Π 501
τὴν δ' αὖτε προσέϝειπε βοὴν ἀγαθὸσ Μενέλαοσ·
„Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενέσ, εἰ γὰρ Ἀθήνη 561a = Ι 607
δοίη κάρτοσ ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν· 562b cf. Δ 542
τῶι κεν ἐγώ γ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν 563b = Ο 255
Πατρόκλωι, μάλα γάρ με θανὼν ἐπεμάσσατο θυμόν. 564b cf. Υ 425
ἀλλ' Ἕκτωρ πυρὸσ αἰνὸν ἔχει μένοσ, οὐδ' ἀπολήγει
χαλκῶι δηΐόων· τῶι γὰρ Ζεὺσ κῦδοσ ὀπάζει.“ 566b cf. Θ 141
ὣσ 'φάτ', ἐγήθησεν δὲ θεὰ γλαυκῶπισ Ἀθήνη, 567 sq. cf. γ 52 sq. 567 cf. ν 287
ὅττι ῥα ϝοὶ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκε,
καί ϝοι μυίησ θάρσοσ ἐνὶ στήθεσσιν ἕηκε,
Ἡ καὶ ϝεργομένη μάλα περ χροὸσ ἀνδρομέοιο
ἰχανάει δακέμεν, λαερὸν δέ ϝοι αἷμ' ἀνθρώπου·
τοίου μιν θράσεοσ 'πλῆσε φρένασ ἀμφὶ μελαίνασ. 573b cf. 499
'βῆ δ' ἐπὶ Πατρόκλωι, καὶ ἀκόντισε δουρὶ φαεινῶι.
ἧσκε δ' ἐνὶ Τρώεσσι Πόδησ, υἱὸσ 'Ηετίωνοσ,
ἀφνειόσ τ' ἀγαθόσ τε, μάλιστα δέ μιν 'τίεν Ἕκτωρ 576a = Ν 664
δήμου, ἐπεί ϝοι ἑταῖροσ ἔεν φίλοσ εἰλαπιναστήσ·

---

551. μιν αὐτὴν Brandreth] ἑαυτὴν vel ἑ αὐτὴν Ω, ἑωυτὴν Zen. (cf. Ξ 162). Idem error (ϑ 396) ρ 387. Cf. δ 244.

558. ἑλκήσωσι] ἑλκήσουσι vel ἑλκύσουσι Ω (varietas eadem est X 336 λ 580; cf. P 395 X 62).

564. ἐπεμάσσατο Cant.] ἐσεμάσσατο (vel -βάσσατο: μ — κ) Ω. Eadem varietas Υ 425; cf. E 748 al.

570. *ἕηκε] ἐνῆκεν Ω (ἔθηκε L). Post ἐνὶ praepositionem tmesi a verbo suo secretam molestum est ἐν-.

571. Ἡ Bentley] ἥ τε.

— μάλα περ] μάλ' ἀπὸ Agar, addi enim solere ἀπό, in vulgata autem insolitum esse verborum ordinem (cf. Δ 130 al.).

572. ἰχανάει] ἰσχανάαι Ω. Cf. Ψ 300 ϑ 288 (Herod. Mim. VII 26 Hesych. ἰχανᾶν).

— λαερὸν § 20] λαρὸν.

— δέ Eust.] τέ Ω.

573. θράσεοσ vChrist] θάρσευσ (-ουσ); cf. Z 126.

575. ἧσκε δ' ἐνὶ] ἦν δέ τισ ἐν Gen. et Athen. 236 c (cf. E 9).

τόν ῥα κατὰ ζωστῆρα ’βάλε ξανθὸσ Μενέλαοσ 578 cf. E 615
ἀΐξαντα φόβονδε, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 579ᵇ = N 388
’δούπησεν δὲ πεσών. ἀτὰρ Ἀτρεΐδησ Μενέλαοσ
νεκρὸν ὑπ’ ἐκ Τρώων ’ϝέρυσεν μετὰ ϝέθνοσ ἑταίρων.
Ἕκτορα δ’ ἐγγύθεν ἱστάμενοσ ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδηι ἐναλίγκιοσ, ὅσ ϝοι ἁπάντων
ξείνων φίλτατοσ ἦσκεν, Ἀβυδόθι ϝοικία ναίων·
„Ἕκτορ, τίσ κέ σ’ ἔτ’ ἄλλοσ Ἀχαιῶν ταρβήσειε;
οἷον δὴ Μενέλαον ὑπέτρεσασ, ὃσ τὸ πάροσ περ
μαλθακὸσ αἰχμητήσ· νῦν δ’ οἴχεται οἶοσ ἀείρασ
νεκρὸν ὑπ’ ἐκ Τρώων, σὸν δ’ ἔκτανε πιστὸν ἑταῖρον,
ἐσθλὸν ἐνὶ προμάχοισι, Πόδην υἱὸν ’Ηετίωνοσ.“ 590ᵃ = Δ 458
ὥσ ’φάτο, τὸν δ’ ἄχεοσ νεφέλη ἐκάλυψε μέλαινα, 591 = Σ 22 ω 315
’βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι. 592 = Δ 495
καὶ τότ’ ἄρα Κρονίδησ ἕλετ’ αἰγίδα θυσανόεσσαν 593ᵇ cf. E 738
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσ’ ἐκάλυψε,
ἀστράψασ δὲ μάλα μεγάλ’ ἔκτυπε, τὴν δ’ ἐτίναξε·
νίκην δὲ Τρώεσσ’ ἐδίδου, ἐφόβησε δ’ Ἀχαιούσ.
πρῶτοσ Πηνέλεοσ Βοιώτιοσ ἦρχε φόβοιο.
’βλῆτο γὰρ ὦμον δουρί, πρόσω τετραμμένοσ αἰεί,
ἄκρον ἐπιλλίγδην· ’γράψεν δέ ϝοι ὀστέον ἄχρισ
αἰχμὴ Πολυδάμαντοσ, ὃ γάρ ϝ’ ἔβαλε σχεδὸν ἐλθών.
Λήϊτον αὖθ’ Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ’ ἐπὶ καρπῶι, 601ᵇ = E 458
υἱὸν Ἀλεκτρυόνοσ μεγαθύμου, ’παῦσε δὲ χάρμησ·
’τρέσσε δὲ παπτήνασ, ἐπεὶ οὐκέτι ’ϝέλπετο θυμῶι 603ᵃ = Λ 546
ἔγχοσ ἔχων ἐν χειρὶ μαχέσσεσθαι Τρώεσσι.
Ἕκτορα δ’ Ἰδομενεὺσ μετὰ Λήϊτον ὁρμηθέντα
’βεβλήκει θώρηκα κατὰ στῆθοσ παρὰ μαζόν· 606ᵇ cf. Δ 480
ἐν καυλῶι δ’ ἐϝάγη δολιχὸν δόρυ, τοὶ δ’ ἐβόησαν 607ᵃ cf. N 162

585 τῶι μιν ϝεισάμενοσ προσέφη ϝεκάϝεργοσ Ἀπόλλων· 585 cf. Π 720; 585ᵃ = B 22

582. Zen.: Ἕκτορα δὲ φρένα δῖοσ (θοῦροσ? la Roche) Ἄρησ ὄτρυνε μετελθών.
585. Om. A B C T Gen. (item Zen.; cf. vs. 582). Cf. K 191.
— ϝεισάμενοσ § 212³] εἰσάμενοσ.
587. περ] γε A (cf. N 465).
595. τήν] γῆν Zen. (cf. § 58).
597. Πηνέλεοσ] Πηνέλεωσ Ω. Cf. § 62 et B 494.
599. ἐπιλλίγδην] ἐπιλίγδην Ω (cf. § 27).
600. ϝ’(ε) Heyne] ῥ’. Cf. Δ 524.
602. υἱὸν] υἱ’ Nauck (ne corripiatur syllaba Ἀ- (cf. Z 513 ἠλέκτωρ et Π 586).
607. ἐβόησαν] sic Ar., ἐφόβηθεν G L.

Τρῶεσ. ὃ δ' Ἰδομενῆοσ ἀκόντισε Δευκαλίδαο
δίφρωι ἐφεσταότοσ· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτε,
αὐτὰρ ὃ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε,
Κοίρανον, ὅσ ῥ' ἐκ Λύκτου ἐϋ κτιμένησ ἕπετ' αὐτῶι, —
πεζὸσ γὰρ τὰ πρῶτα λιπὼν νέασ ἀμφιϝελίσσασ
ἤλυθε, καί κε Τρωσὶ μέγα κράτοσ ἠγγυάλιξε, 613ᵇ = Δ 753
εἰ μὴ Κοίρανοσ ὦκα ποδώκεασ ἤλασεν ἵππουσ·
καὶ τῶι μὲν φάοσ ἦλθεν, ἄμυνε δὲ νηλεὲσ ἦμαρ, 615ᵇ cf. Δ 484
αὐτὸσ δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτοροσ ἀνδροφόνοιο, —
τὸν 'βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατοσ, ἐκ δ' ἄρ' ὀδόντασ 617ᵃ = N 671
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν 'τάμε μέσσην·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία 'χεῦεν ἔραζε. 619ᵇ cf. ο 527
καὶ τά γε Μηριόνησ ἔλαβεν χείρεσσι φίλῃσι
κύψασ ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
„μάστιε νῦν, ἧόσ κε θοὰσ ἐπὶ νῆασ ἵκηαι·
γιγνώσκεισ δὲ καὶ αὐτὸσ ὅ τ' οὐκέτι κάρτοσ Ἀχαιῶν.“
ὣσ ἔφατ', Ἰδομενεὺσ δ' ἵμασεν καλλίτριχασ ἵππουσ 624 sq.ᵃ cf. Δ 280 sq.
νῆασ ἔπι γλαφυράσ· δὴ γὰρ δϝέοσ ἔμπεσε θυμῶι.
οὐδ' ἔλαθ' Αἴαντε μεγαλήτορε καὶ Μενέλαον
Ζεύσ, ὅ τε δὴ Τρώεσσι 'δίδου ἑτεραλκέα νίκην. 627ᵇ = χ 236
τοῖσι δὲ μύθων ἦρχε μέγασ Τελαμώνιοσ Αἴασ·
„ὢ πόποι, ἤδη μέν κε, καὶ ὃσ μάλα νήπιόσ ἐστι,
γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺσ αὐτὸσ ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅσ τισ ἀφήηι
ἢ κακὸσ ἢ ἀγαθόσ, Ζεὺσ δ' ἔμπησ πάντ' ἰθύνει·
ἧμιν δ' αὔτωσ πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην, 634 cf. 712
ἠμὲν ὅπωσ τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ 635 = 713
χάρμα φίλοισ' ἑτάροισι γενώμεθα νοστήσαντεσ,
οἵ ποθι δεῦρ' δράοντεσ ἀκηχέδατ', οὐδ' ἔτι φασὶ

---

608. *Δευκαλίδαο*] *Μηριόναο* Grashof.

618. *πρυμνόν*] -*νούσ* Duentzer.

626. *Αἴαντε μεγαλήτορε* Naber] -*ντα* -*ρα* Ω, quae et alibi sunt permutata (cf. K 53). De ambobus sermo est etiam vs. 508, 668 sq., 707, 719 sqq.

630. *αὐτὸσ ἀρήγει*] *αὐτὸσ ἀμύνει* l. a. in A, *κῦδοσ ὀπάζει* G L.

631. *ἀφήηι*] *ἀφείη* T, *ἐφείη* C, Ar. utrumque.

635. *ἐρύσσομεν*] neglecto ϝ (item vs. 713).

637. *δεῦρ'*] sic Ar., *νῦν* T.

— *ἀκηχέδατ'*] *ἀκηχέατ'* Buttmann (cf. e. g. M 179), nos **οἵ ποθι δεῦρ' ὁράουσ' ἀκαχημένοι* collata v. l. Θ 207, aut, quo ducit illa l. a., **οἵ ποθι νῦν παρὰ νηύσ' ἀκαχήαται.* Cf. § 240.

σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνηισιν πεσέεσθαι. 639 = *I* 235
εἴη δ' ὅσ τισ ἑταῖροσ ἀπαγγείλειε τάχιστα
Πηλεΐδηι, ἐπεὶ οὔ μιν ὀίομαι οὐδὲ πεπύσθαι
λυγρῆσ ἀγγελίησ, ὅτι ϝοι φίλοσ ὤλεθ' ἑταῖροσ.
ἀλλ' οὔ πηι δύναμαι ϝιδέμεν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶσ αὐτοί τε καὶ ἵπποι. 644 cf. 368
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέροσ υἷασ Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸσ δ' ὀφθαλμοῖσι ϝιδέσθαι.
ἐν φάεϊ καὶ ὄλεσσον, ἐπεί νύ τοι ἔϝϝαδεν οὕτωσ."
 ὣσ 'φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα, 648 = *Θ* 245
αὐτίκα δ' ἠέρα μὲν 'σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιοσ δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσ' ἐφαένθη.
καὶ τότ' ἄρ' Αἴασ 'ϝεῖπε βοὴν ἀγαθὸν Μενέλαον· 651 = 237
„σκέπτεο νῦν, Μενέλαε διοτρεφέσ, αἴ κε ϝίδηαι
ζωιὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστοροσ υἱόν· 653 cf. *E* 565
ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
ϝειπέμεν' ὅττι ῥά ϝοι πολὺ φίλτατοσ ὤλεθ' ἑταῖροσ." 655 cf. 411
 ὣσ ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸσ Μενέλαοσ, 656 = 246
'βῆ δ' ἴμεναι ὥσ τίσ τε λέων ἀπὸ μεσσαύλοιο, 657 cf. *Λ* 548
ὅσ τ' ἐπεὶ ἄρ κε κάμηισι κύνασ τ' ἄνδρασ τ' ἐρεθίζων,
οἵ τέ μιν οὐκ ἐάουσι βοῶν ἐκ πῖαρ ἑλέσθαι 659-664 = *Λ* 550 sqq.
πάννυχοι ἐγρήσσοντεσ, ὃ δὲ κρεάων ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει, θαμέεσ γὰρ ἄκοντεσ
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάσ τε τρέει ἐσσυμένοσ περ,
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῶι·
ὣσ ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸσ Μενέλαοσ
ἤϊε, πόλλ' ἀϝέκων, περὶ γὰρ 'δϝίε μή μιν Ἀχαιοὶ 666^a = *Λ* 557; 666^b cf. *χ* 96
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν.

---

638 Ἕκτοροσ ἀνδροφόνοιο μένοσ καὶ χεῖρασ ἀάπτουσ — 638^b = *H* 309

---

638. Del. Heyne.
640. ἕταιροσ] ἑταίρωι Bothe.
643. πηι] πω G L, που l. a. in T.
644. κατέχονται] κεκάλυπται l. a. in A.
647. *φάεϊ] δὲ φάει. Cf. § 71; etiam similibus locis *K* 685 *η* 224 abest δέ.
650. ἐφαένθη § 155^6] -άνθη.
658. ἄρ κε] „ἡ διπλῆ ὅτι ὁ κέ περισσόσ" Ariston.; quidam olim ἄν κε? Cf. *N* 127 *Ω* 437 et *Λ* 187.
662. ἀντίον Gen.] ἀντίοι *Ω*. Cf. *Λ* 553 et *Z* 54.
664. τετιηότι θυμῶι] τετιημένοσ ἦτορ l. a. in A.

πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ' ἐπέτελλε·
„Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε, 669ª = Δ 285
νῦν τισ ἐνηείησ Πατροκλέεοσ ϝειλοῖο
μνησάσθω! πᾶσιν γὰρ ἐπίστατο μείλιχοσ εἶναι
ζωιὸσ ἐών· νῦν ϝ' αὖ θάνατοσ καὶ μοῖρα κιχάνει.“ 672 = 478
ὣσ ἄρα φωνήσασ ἀπέβη ξανθὸσ Μενέλαοσ,
πάντοσε παπταίνων ὥσ τ' αἰετόσ, ὅν ῥά τέ φασι 674ª = N 649
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδασ ταχὺσ οὐκ ἔλαθε πτὼξ
θάμνωι ὕπ' ἀμφικόμωι κατακείμενοσ, ἀλλά τ' ἐπ' αὐτῶι
ἔσσυτο καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣσ τότε σοί, Μενέλαε διοτρεφέσ, ὄσσε φαεινὼ 679 cf. 702
πάντοσ' ἐδινείσθην πολέων κατὰ ϝέθνοσ ἑταίρων,
εἴ ποθι Νέστοροσ υἱὸν ἔτι ζώοντα ϝίδοιτο.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχησ ἐπ' ἀριστερὰ πάσησ 682 sq. = 116 sq.
θαρσύνονθ' ἑτάρουσ καὶ ἐποτρύνοντα μάχεσθαι. 683 sq.ª = N 767 sq.
ἀγχόθι δ' ἱστάμενοσ προσέφη ξανθὸσ Μενέλαοσ·
„Ἀντίλοχ', εἶ δ' ἄγε δεῦρο, διοτρεφέσ, ὄφρα πύθηαι 685 cf. Ψ 581
λυγρῆσ ἀγγελίησ, ἣ μὴ ὤφειλε γενέσθαι! 686 cf. Σ 19
ἤδη μὲν σὲ καὶ αὐτὸν ὀίομαι εἰσοράοντα 687ᵇ sq.ª = ξ 214 sq.
γιγνώσκειν ὅτι πῆμα θεὸσ Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὄχ' ἄριστοσ Ἀχαιῶν,
Πάτροκλοσ, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται. 690ᵇ cf. Δ 471 P 704
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆασ Ἀχαιῶν,
ϝειπέμεν', αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσηι
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλοσ Ἕκτωρ.“ 693 = 122
ὣσ ἔφατ', Ἀντίλοχοσ δὲ κατέστυγε μῦθον ἀκούσασ.
δϝὴν δέ μιν ἀφασίη ϝεπέων 'λάβε, τὼ δέ ϝοι ὄσσε 695 sq. = δ 704 sq. 695ᵇ sq. = Ψ 396 sq. τ 471 sq.
δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ ϝοι ἔσχετο φωνή.
ἀλλ' οὐδ' ὣσ Μενελάου ἐφημοσύνησ ἀμέλησε,
'βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι 'δῶκεν ἑταίρωι,
Λαοδόκωι, ὅσ ϝοι σχεδὸν ἔστρεφε μώνυχασ ἵππουσ.

---

672. *ϝ'] addidimus (item vs. 478).
681. ϝίδοιτο] sic (ἴδοιτο) Ar., ἴδοιο Aristarchei (cf. v. l. Π 697), ἴδοιντο olim alii.
684. ἀγχόθι δ'] cf. B 172.
685. εἶ δ'] cf. Δ 302.
689. ὄχ' ἄριστοσ] cf. Δ 288.
695. ἀφασίη C T] ἀμφασίη Ω, item δ 704. Cf. § 21.

τὸν μὲν δάκρυ χέοντα πόδεσ ’φέρον ἐκ πολέμοιο, 700^{b} = N 515
Πηλεΐδηι Ἀχιλῆϊ κακὸν ϝέποσ ἀγγελέοντα.
οὐδ’ ἄρα σοί, Μενέλαε διοτρεφέσ, ἤθελε θυμὸσ 702 cf. 679
τειρομένοισ’ ἑτάροισιν ἀμυνέμεν’, ἔνθεν ἀπῆλθε 703^{a} = Σ 129
Ἀντίλοχοσ, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη· 704 cf. Δ 471 P 690
ἀλλ’ ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκε,
αὐτὸσ δ’ αὖτ’ ἐπὶ Πατρόκλωι ἥρω’ ἐβεβήκει,
’στῆ δὲ παρ’ Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα· 707 cf. M 353
„κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῆισι, 708^{b} cf. ο 299
ἐλθέμεν’ εἰσ Ἀχιλῆα πόδασ ταχύν· οὐδέ ϝ’ ὀίω
νῦν ἴμεναι, μάλα περ κεχολωμένον Ἕκτορι δίωι·
οὐ γάρ πωσ κεν γυμνὸσ ἐὼν Τρώεσσι μάχοιτο.
ἧμεσ δ’ αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην, 712 cf. 634
ἠμὲν ὅπωσ τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ 713 = 635
Τρώων ἐξ ἐνοπῆσ θάνατον καὶ κῆρα φύγωμεν.“ 714^{a} = Π 782
τὸν δ’ ἠμείβετ’ ἔπειτα μέγασ Τελαμώνιοσ Αἴασ· 714^{b} = μ 157
„πάντα κατ’ αἶσαν ἔϝειπεσ, ἀγακλεὲσ ὦ Μενέλαε.
ἀλλὰ σὺ μὲν καὶ Μηριόνησ ὑποδύντε μάλ’ ὦκα
νεκρὸν ἀείραντεσ φέρετ’ ἐκ πόνου, αὐτὰρ ὄπισθε 718 cf. Ξ 429
νῶϊ μαχεσσόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίωι,
ϝῖσον θυμὸν ἔχοντεσ, ὁμώνυμοι, οἳ τὸ πάροσ περ 720^{a} cf. N 704
μίμνομεν ὀξὺν Ἄρηα παρ’ ἀλλήλοισι μένοντεσ.“
ὣσ ἔφαθ’, οἳ δ’ ἄρα νεκρὸν ἀπὸ χθονὸσ ἠγκάζοντο
ὕψι μάλα μεγάλωσ· ἐπὶ δ’ ἴαχε λαὸσ ὄπισθε
Τρωϊκόσ, ὡσ ἐϝίδοντο νέκυν αἴροντασ Ἀχαιούσ.
ἴθυσαν δὲ κύνεσσι ϝεϝοικότεσ, οἵ τ’ ἐπὶ κάπρωι
βλημένωι ἀΐξωσι πρὸ κούρων θηρητήρων·
τῆοσ μέν ῥα θέουσι διαρραῖσαι μεμαῶτεσ, 727^{b} = B 473
ἀλλ’ ὅτε δή ῥ’ ἐν τοῖσι ϝελίξεται ἀλκὶ πεποιθώσ,
ἄψ τ’ ἀνεχώρησαν διά τ’ ἔτρεσαν ἄλλυδισ ἄλλοσ. 729^{b} cf. Δ 486

---

707. θέων] κιὼν Vrat. (ut M 353).
709. ϝ’ ὀίω § 292*] μιν οἴω.
710. Ἕκτορι δίωι] Ἀτρείωνι l. a. in A.
714. φύγωμεν] -οιμεν C T.
720 sq. ἔχοντεσ … μένοντεσ] ἔχοντε (ut N 704) Macrob. Sat. V 15 § 13, μένοντε (ut l. a. Δ 348) Aristophanes, ἔχοντε ὁμωνύμω, ὤ … μένοντε Ahrens (cf. vs. 742).
723. μάλα] μέγαν Bothe (coll. Π 776 Σ 26 ω 40).
— ἴαχε] neglecto ϝ (cf. N 822).
724. αἴροντασ] *ϝερύοντασ? Cf. P 581, 635 Σ 232 et § 256.
727. τῆοσ (τειοσ) Brandreth] ἕωσ. Cf. M 141.
— ῥα Nauck (τε Brandreth)] γάρ τε.
729. ἄψ τ’] ἄψ C, αἶψά τ’ L (cf. H 272).

ὣσ Τρῶεσ τῆοσ μὲν ὁμιλαδὸν αἰὲν ἕποντο, 730 cf. O 277
νύσσοντεσ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι· 731 = N 147 O 278
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺσ
σταίησαν, τῶν δὲ 'τράπετο χρώσ, οὐδέ τισ ἔτλη 733 cf. N 279
πρόσσω ἀΐξασ περὶ νεκροῦ δηριάεσθαι.
ὣσ τώ γ' ἐμμεμαῶτε νέκυν 'φέρον ἐκ πολέμοιο 735 cf. 746
νῆασ ἔπι γλαφυράσ· ἐπὶ δὲ πτόλεμοσ 'τέτατό σφι
ἄγριοσ ἠύτε πῦρ, τό τ' ἐπεσσυμένον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνησ φλεγέθει, μινύθουσι δὲ ϝοῖκοι 738a = Φ 14
ἐν σέλαϊ μεγάλωι, τὸ δ' ἐπιβρέμει ἶσ ἀνέμοιο.
ὣσ μὲν τοῖσ' ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴσ ὀρυμαγδὸσ ἐπήϊεν ἐρχομένοισι.
τὼ δ', ὥσ θ' ἡμιόνω κρατερὸν μένοσ ἀμφιβαλόντε
ἕλκωσ' ἐξ ὄρεοσ κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον, ἐν δέ τε θυμὸσ
τείρεθ' ὁμοῦ καμάτωι τε καὶ ἱδρῶι σπευδόντεσσι,
ὣσ τώ γ' ἐμμεμαῶτε νέκυν 'φέρον. αὐτὰρ ὄπισθε 746 cf. 735
Αἴαντ' ἰσχανέτην, ὥσ τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεισ, πεδίοιο διαπρύσιον τετυχηκώσ,
ὅσ τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
πλάζων, οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντεσ·
ὣσ αἰεὶ Αἴαντε μάχην ἀνέϝεργον ὀπίσσω 752b cf. h. Merc. 211a
Τρώων, οἳ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείασ τ' Ἀγχισιάδησ καὶ φαίδιμοσ Ἕκτωρ.
τῶν δ', ὥσ τε ψαρῶν νέφοσ ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκληγῶτεσ, ὅτε προϝίδωσιν ἰόντα 756a = 759
κίρκον, ὅ τε σμικρῆισι φόνον φέρει ὀρνίθεσσι,

---

730. τῆοσ (τειοσ) Brandreth] εἵωσ. Cf. M 141.

733. σταίησαν, τῶν δὲ] σταῖεν, τῶν δ' αὖτε LDindorf (cf. § 116).

734. πρόσσω ἀΐξασ] *ἀΐξασ πρόσσω (coll. vs. 579) an *πρόσσω ἐπαΐξασ? Cf. § 14.

— δηριάεσθαι] δηρίσασθαι C T.

735 et 746. τώ] οἵ Ω.

— γ' ἐμμεμαῶτε] cf. N 785.

739. ἶσ] neglecto ϝ, βρέμεται δ' ἐπὶ ϝίσ Knight (cf. Δ 425 et O 627 Π 642).

742. τὼ ... ἡμιόνω ... ἀμφιβαλόντε] οἳ .. ἡμίονοι ... ἀμφιβαλόντεσ Ω. Cf. vs. 746 et Ψ 97 (similis est controversia supra vs. 720 sq.).

745. ἱδρῶι] expectatur ἱδρόι (ἑλκόντεσσι? vHerwerden ἐσσυμένοισι); cf. § 77.

748. τετυχηκώσ] τετυχηώσ Heraclides T.

751. τι Aristoph. G] τε Ω.

756 et 759. κεκληγῶτεσ] -γοντεσ Ω (cf. M 125).

ὢσ ἄρ' ὐπ' Αἰνείαι τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκληγῶτεσ ἴσαν, 'λήθοντο δὲ χάρμησ. 759ª = 756
πολλὰ δὲ τεύχεα καλὰ 'πέσον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ 'γίγνετ' ἐρωή. 761ᵇ = Π 302

'Αχιλλέωσ ἀνάστασισ.

Σ ὢσ οἳ μὲν 'μάρναντο δέμασ πυρὸσ αἰθομένοιο· 1 = Λ 596
Ἀντίλοχοσ δ' Ἀχιλῆϊ πόδασ ταχὺσ ἄγγελοσ ἦλθε.
τὸν δ' ηὗρε προπάροιθε νεῶν ὀρθοκραιράων 3ᵇ = Τ 344
τὸ φρονέοντ' ἀνὰ θυμόν, ὃ δὴ τετελεσμένον ἦεν·
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 5 = Λ 403
„ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη κομάοντεσ Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῶι,
ὤσ ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔϝειπε
Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντοσ ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάοσ ἠελίοιο. 11ª = Λ 827 11ᵇ cf. λ 93
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμοσ υἱόσ,
σχέτλιοσ! ἦ ϝ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ 13ᵇ cf. Π 301
νῆασ ἔπ' ἂψ ἴμεναι, μηδ' Ἕκτορι ϝῖφι μάχεσθαι.“ 14 cf. Π 87 14ª = Φ 297
ἦοσ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 15 = Λ 193
τόφρα ϝοι ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστοροσ υἱὸσ
δάκρυα θερμὰ χέων, 'φάτο δ' ἀγγελίην ἀλεγεινήν· 17ª = Π 3
„ὤ μοι, Πηλέοσ υἱὲ δαΐφρονοσ, ἦ μάλα λυγρῆσ
πεύσεαι ἀγγελίησ, ἃ μὴ ὤφειλε γενέσθαι! 19 cf. Ρ 686
κεῖται Πάτροκλοσ, νέκυοσ δὲ δὴ ἀμφὶ μάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλοσ Ἕκτωρ.“ 21 cf. Ρ 122
ὢσ 'φάτο, τὸν δ' ἄχεοσ νεφέλη ἐκάλυψε μέλαινα, 22-24ª = ω 315 22 = Ρ591 [sqq.
ἀμφοτέρῃισι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν 23 sq. cf. Ω 163ᵇ-165
'χεύατο κὰκ κεφαλῆσ, χαρίεν δ' ἤισχυνε πρόσωπον·

---

4. τὸ (sic pap. 107²) ... ὃ ... τετελεσμένον Heyne] τὰ ... ἃ ... -να Ω vitio metrico.

5. ποτὶ] πρὸσ ὃν Ω. Cf. Λ 403.

10 sq. Rhianus Aristoph. om.

10. τὸν] cf. Ρ 80.

13. ϝ' Brandreth] τ'.

14. νῆασ ἔπ' ἂψ ἴμεναι] ἂψ ἐπὶ νῆασ ἴμεν Aristoph. Ar. H T, [ἂψ ἐπὶ ν]ηασ ἰναι pap. 127. Cf. Φ 297 et l. a. Φ 535.

19. ὤφειλε § 273] ὤφελλε.

20 sq. νέκυοσ ... γυμνοῦ] *νέκυϊ ... γυμνῶι? Cf. Ο 391.

νεκταρέωι δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
αὐτὸσ δ' ἐν κονίηισι μέγασ μεγαλωστὶ τανυσθεὶσ — 26 sq.a cf. Π 775b sq.a
'κεῖτο, φίληισι δὲ χερσὶ κόμην ἤισχυνε δαΐζων.
δμωιαὶ δ', ἃσ Ἀχιλεὺσ 'ληΐσσατο Πάτροκλόσ τε, — 28 cf. α 398
θυμὸν ἀκηχεμέναι μέγ' ἐϝίϝαχον, ἐκ δὲ θύραζε
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
στήθε' ἐπεπλήγοντο, 'λύθεν δ' ὑπὸ γυῖα ϝεκάστησ. — 31a = 51; 31b = σ 341
Ἀντίλοχοσ δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων, — 32 cf. Χ 79
χεῖρασ ἔχων Ἀχιλῆοσ, — ὃ δ' ἔστενε κυδάλιμον κῆρ, — — 33b cf. Κ 16
ἔδϝιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρωι.
σμερδαλέον δ' ᾤιμωξεν.

ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸσ παρὰ πατρὶ γέροντι, — 36 = Α 358
'κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφήγροντο, — 37a cf. Ω 708
πᾶσαι ὅσαι κατὰ βένθοσ ἁλὸσ Νηρηΐδεσ ἦσαν. — 38 cf. 49
ἔνθ' ἄρ' ἔεν Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε — 39-49 cf. Hes. Theog. 243 sqq.
Νησαίη Σπειώ τε Θόη θ' Ἁλίη τε βοῶπισ
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυὴ
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα
Δωρὶσ καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια
Νημερτήσ τε καὶ Ἀψευδὴσ καὶ Καλλιϝάνασσα·
ἔνθα δ' ἔεν Κλυμένη Ϝιάνειρά τε καὶ Ϝιϝάνασσα,
Μαῖρα καὶ Ὀρεῖθυια ἐυπλόκαμόσ τ' Ἀμάθυια
ἄλλαι θ' αἳ κατὰ βένθοσ ἁλὸσ Νηρηΐδεσ ἦσαν. — 49 cf. 38

---

29. ἀκηχεμέναι] *ἀχεύουσαι? Cf. § 240.
— μέγ' ἐϝίϝαχον] μεγάλ' ἴαχον Ω. Cf. Λ 482.
34. Del. Bentley. Cum subiectum bis mutatum suspicionem movet tum *ferri* mentio. Cf. Δ 128.
— ἔδϝιε (ἔδδιε) Brandreth] δείδιε (cf. § 168). Vitium redit Ω 358, verum praebet Hesychii glossa: „εἴδειεν (i. e. εἴδιεν) ἐφοβεῖτο."
— ἀποτμήξειε Zen. Ω] ἀπαμήσειε Ar. T (cf. Δ 146).
37. ἀμφήγροντο] cf. Β 94.
38 et 49. ἦσαν] εἰσίν Lehrs (cf. Β 448 Ε 724—739).
39—49. In Arg. non legebantur (fortasse propter homoeoteleuton versuum 38 et 49 casu praetermissi); Zen. Ar. —
40. θ' Ἁλίη] sic Ar., Θαλίη alii olim (sic codd. Hes. loco parall.).
— τε βοῶπισ] τ' ἐρόεσσα Hes. l. l. (cf. Γ 144).
45. ἀγακλειτὴ] εὐειδὴσ Hes. l. l. (metro invito, nisi Πανόπεια legatur).
48. Ἀμάθυια] -θεια G H.

τάων δ' ἀργύφεον 'πλῆτο σπέοσ· αἳ δ' ἅμα πᾶσαι
στήθε' ἐπεπλήγοντο, Θέτισ δ' ἐξῆρχε γόοιο· — 51^a = 31
„κλῦτε, κασίγνηται Νηρηΐδεσ, ὄφρ' ἐὺ πᾶσαι
ϝείδετ' ἀκούουσαι ὅσ' ἐμῶι ἔνι κήδεα θυμῶι.
ὤ μοι ἐγὼ δϝειλή, ὤ μοι δυσαριστοτόκεια, — 54^a cf. ε 299
ἥ τ' ἐπεὶ ἂρ 'τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε, — 55^b = Δ 89
ἔξοχον ἡρώων, — ὃ δ' ἀνέδραμεν ἔρνεϊ ϝῖσοσ, — 56-62 = 437 sqq.
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣσ γουνῶι ἀλωιῆσ,
νηυσὶν ἐπιπροέηκα κορωνίσι Ϝίλιον εἴσω
Τρωσὶ μαχεσσόμενον! τὸν δ' οὐχ ὑποδέξομαι αὖτισ — 59^b sq.^{a} = τ 257 sq. cf. Σ 89 sq.
ϝοίκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάοσ ἠελίοιο, — 61^b = δ 833 ξ 44 υ 207 cf. Ω 558 δ 540 κ 498
ἄχνυται, οὐδέ τί ϝοι δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ' εἶμ', ὄφρα ϝίδωμι φίλον τέκοσ ἠδ' ἐπακούσω
ὅττι μιν ἵκετο πένθοσ ἀπὸ πτολέμοιο μένοντα.“
ὣσ ἄρα φωνήσασα 'λίπε σπέοσ, αἳ δὲ σὺν αὐτῆι
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσησ
'ρήγνυτο.

ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμεῖαι — 68^a cf. Ω 97
Μυρμιδόνων 'ϝέϝρυντο νέεσ ταχὺν ἀμφ' Ἀχιλῆα. — 69^b cf. 354
τῶι δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη 'λάβε παιδὸσ ἑϝοῖο,
καί ϝ' ὀλοφυρομένη ϝέπεα πτερόεντα προσηύδα·
„τέκνον, τί κλαίεισ; τί δέ σε φρένασ ἵκετο πένθοσ; — 73 sq.^{a} = Α 362 sq.
ἐξαύδα, μὴ κεῦθε. τὰ μὲν δή τοι τετέλεσται
ἐκ Διόσ, ὼσ ἄρα δὴ πρίν γ' ηὔχεο χεῖρασ ἀνασχών,
πάντασ ἐπὶ πρύμνηισι ϝαλήμεναι υἷασ Ἀχαιῶν
σεῖ' ἐπιδευομένουσ, παθέμεν τ' ἀϝεκήλια ϝέργα.“
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· — 78 = Α 364
„μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι 'Ολύμπιοσ ἐξετέλεσσε,
ἀλλὰ τί μοι τῶν ἦδοσ! ἐπεὶ φίλοσ ὤλεθ' ἑταῖροσ, — 80^a cf. ω 95

---

50. τάων δ' Fick] τῶν δὲ καὶ (cf. § 56).
53. ἔνι] ἔπι Aristoph. (cf. Α 55).
63. (ϝ)ίδωμι pap. 107] ἴδοιμι Ω (cf. § 112).
68. εἰσανέβαινον] -βησαν A.
71. ἑϝοῖο] ἑῆοσ recc. (cf. Α 393).
72. ϝ' Brandreth] ῥ'. Cf. Κ 871.

Πάτροκλοσ, τὸν ἐγὼ περὶ πάντων ’τῖον ἑταίρων,
ϝῖσον ἐμῆι κεφαλῆι. τὸν ἀπώλεσα, τεύχεα δ’ Ἕκτωρ
δηιώσασ ἀπέδυσε πελώρια, θαῦμα ϝιδέσθαι, 83ᵇ = Κ 439
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ ’δόσαν ἀγλαὰ δῶρα, 84ᵇ = Π 381
ἤματι τῶι ὅτε σε βροτοῦ ἀνέροσ ἔμβαλον εὐνῆι. 85ᵇ cf. h. Ven. 200
αἴθ’ ὄφελεσ σὺ μὲν αὖθι μετ’ ἀθανάτησ’ ἁλίησι 86ᵇ cf. ω 47, 55
ναίειν, Πηλεὺσ δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν!
νῦν δ’ . . . , ἵνα καὶ σοὶ πένθοσ ἐνὶ φρεσὶ μυρίον εἴη
παιδὸσ ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτισ 89ᵇ sq.ᵃ cf. 59 sq.
ϝοίκαδε νοστήσαντ’· ἐπεὶ οὐδ’ ἐμὲ θυμὸσ ἀνώγει
ζωέμεν’ οὐδ’ ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτον ἐμῶι ὑπὸ δουρὶ τυπεὶσ ἀπὸ θυμὸν ὀλέσσηι, 92 cf. Λ 433
Πατρόκλοιο δ’ ἕλωρα Μενοιτιάδα’ ἀποτίσηι.“
τὸν δ’ αὖτε προσέϝειπε Θέτισ κατὰ δάκρυ χέουσα· 94 cf. Α 413
„ὠκύμοροσ δή μοι, τέκοσ, ἔσσεαι, οἷ’ ἀγορεύεισ·
αὐτίκα γάρ τοι ἔπειτα μεθ’ Ἕκτορα πότμοσ ἑτοῖμοσ.“
τὴν δὲ μέγ’ ὀχθήσασ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 97 cf. Π 48 97ᵃ = Α 517
„αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρα ’μέλλον ἑταίρωι
κτεινομένωι ἐπαμῦναι! ὃ μὲν μάλα τηλόθι πάτρησ
ἔφθιτ’, ἐμεῖο δ’ ἐδεύετ’ ἀρῆσ ἀλκτῆρα γενέσθαι. 100ᵇ cf. Ξ 485
νῦν δ’, . . . ἐπεὶ οὐ νέομαί γε φίλην εἰσ πατρίδα γαῖαν, 101 = Ψ 150
οὐδέ τι Πατρόκλωι ’γενόμην φάοσ οὐδ’ ἑτάροισι
τοῖσ’ ἄλλοισ’, οἳ δὴ πολέεσ ’δάμεν Ἕκτορι δίωι,
ἀλλ’ ἧμαι παρὰ νηυσίν, ἐτώσιον ἄχθοσ ἀρούρησ, 104ᵇ cf. υ 379
τοῖοσ ἐὼν οἷοσ οὔ τισ Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμωι! — ἀγορῆι δέ τ’ ἀμείνονέσ εἰσι καὶ ἄλλοι.
ὡσ ἔρισ ἔκ τε θεῶν ἔκ τ’ ἀνθρώπων ἀπόλοιτο,

---

83. ἀπέδυσε] -λυσε l. a. in T.

86. αἴθ’ A C] ὡσ pap. 107 (ut vs. 107 Γ 173, 428 al.).

87. ναίειν, Π. δὲ θνητὴν] *ναιέμεναι, Π. δὲ βροτὴν?

90. ἀνώγει C] ἄνωγε Ω (cf. § 225).

92. πρῶτον vHerwerden] -τοσ. Cf. Τ 158 Ω 27 al.

94. αὖτε προσέϝειπε] ἠμείβετ’ ἔπειτα l. a. in A.

97. Sic affert Aeschines I § 150: τὴν δ’ αὖτε προσέειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ.

98 sq. ἄρα ’μέλλον . . . ἐπαμῦναι] *ἄρα ἐσθλῶι . . . ἐπάμυνα? Cf. § 107. In codd. metro invito (cf. § 8) est ἄρ’ ἔμελλον.

99 sq. ὃ — γενέσθαι] ὅ μοι πολὺ φίλτατοσ ἔσκεν Aeschin. l. l.

100. δ’ ἐδεύετ’ Duentzer] δὲ δῆσεν Ar. Ω. — ἀρῆσ] Ἄρεω Ar. (item vs. 213); cf. Ξ 485.

104. νηυσίν, ἐτώσιον] νηυσὶ κορωνίσιν Plat. Apol. 28 *d* (aliena hinc sunt epitheta ornantia).

καὶ χόλοσ! ὅσ τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι· 108 cf. ξ 464
ὅσ τε πολὺ γλυκίων μέλιτοσ καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠύτε καπνόσ.
ὣσ ἐμὲ νῦν ἐχόλωσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 112 sq. = Τ 65 sq. 112ª = Π 60
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντεσ ἀνάγκηι. 112ᵇ = Τ 8 Ω 523 κ 147
νῦν δ' εἶμ', ὄφρα φίλησ κεφαλῆσ ὀλετῆρα κιχήω
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 115 cf. Χ 365
Ζεὺσ ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι. 116 = Χ 366
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλέεοσ 'φύγε κῆρα,
ὅσ περ φίλτατοσ ἦσκε Διὶ Κρονίωνι ϝάνακτι·
ἀλλά ϝε μοῖρ' ἐδάμασσε καὶ ἀργαλέοσ χόλοσ Ἥρησ.
ὣσ καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέοσ ἐσθλὸν ἀροίμην, 121ᵇ cf. Ε 3
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων
χείρεσσ' ἀμφοτέρηισι παρειάων ἁπαλάων 123ª cf. Μ 382
δάκρυ' ὀμορξαμένην ἀδινὸν στοναχῆσαι ἐφείην! 124ª cf. θ 88 λ 530
γνοῖεν δ' ὣσ δὴ δϝηρὸν ἐγὼ πολέμοιο πέπαυμαι!
μηδέ μ' ἔρυκε μάχησ φιλέουσά περ· οὐδέ με πείσεισ.“ 126ᵇ = Ζ 360
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτισ ἀργυρόπεζα· 127 = Τ 28 cf. Ω 89
„ναὶ δὴ τοῦτό γε, τέκνον, ἐτήτυμον. οὐ κακόν ἐστι
τειρομένοισ' ἑτάροισιν ἀμυνέμεν' αἰπὺν ὄλεθρον. 129ª = Ρ 703
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
χάλκεα μαρμαίροντα, τὰ μὲν κορυθαιόλοσ Ἕκτωρ 131ª = Π 664
αὐτὸσ ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ϝέ φημι 132ª = Ρ 473
δϝηρὸν ἐπαγλαΐσεσθαι, ἐπεὶ φόνοσ ἐγγύθεν αὐτῶι.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηοσ,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδηαι· 135 cf. 190
ἠῶθεν γὰρ νίσσομ', ἅμ' ἠελίωι ἀνιόντι, 136ᵇ = ψ 362 cf. μ 429
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ϝάνακτοσ.“ 137 cf. 617

---

123. *χείρεσσ' ἀμφοτέρηισι] ἀμφοτέρηισιν χερσὶ Ω (duris numeris, item δ 116). Cf. Μ 382.

124. δάκρυ'] cf. Ι 483.

— ἀδινὸν] sic Ar., -νὰ pap. 107 A^2 T. Singularis etiam δ 721 κ 413 adverbii vice fungitur, pluralis Ψ 225 Ω 123 η 274 ω 317, -νῶσ est Τ 314, -νώτερον π 216.

127. θεὰ Θέτισ ἀργυρόπεζα] Θέτισ κατὰ δάκρυ χέουσα pap. 107.

128. τοῦτο Ζ] ταῦτα Ω, ταῦτα ... ἐτήτυμα Ahrens.

133. ἐπαγλαΐσεσθαι § 147 et 210] -ιεῖσθαι.

136. νίσσομ' Menrad] νεῦμαι. Cf. Ψ 76 et § 292.

ὣσ ἄρα φωνήσασα πάλιν ’τράπεθ’ υἷοσ ἑϝοῖο, 138ª cf. Φ 468
καὶ στρεφθεῖσ’ ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
„ὑμεσ μὲν νῦν δῦτε θαλάσσησ εὐρέα κόλπον 140ᵇ = δ 435
ὀψόμεναί τε γέρονθ’ ἅλιον καὶ δώματα πατρόσ,
καί ϝοι πάντ’ ἀγορεύσατ’· ἐγὼ δ’ εἰσ μακρὸν Ὄλυμπον
εἶμι παρ’ Ἥφαιστον κλυτοτέχνην, αἴ κ’ ἐθέλῃσι
υἱέ’ ἐμῶι δόμεναι κλυτὰ τεύχεα παμφανάοντα.“
ὣσ ἔφαθ’, αἳ δ’ ὑπὸ κῦμα θαλάσσησ αὐτίκ’ ἔδυσαν·
ἣ δ’ αὖτ’ Οὔλυμπόνδε θεὰ Θέτισ ἀργυρόπεζα
ἤϊεν, ὄφρα φίλωι παιδὶ κλυτὰ τεύχε’ ἐνείκαι.
τὴν μὲν ἄρ’ Οὔλυμπόνδε πόδεσ ’φέρον· αὐτὰρ Ἀχαιοὶ 148 cf. Ο 405
θεσπεσίωι ἀλαλητῶι ὑφ’ Ἕκτοροσ ἀνδροφόνοιο
φεύγοντεσ νῆάσ τε καὶ Ἑλλήσποντον ἵκοντο. 150 cf. Ο 283

οὐδέ κε Πάτροκλόν περ ἐυκνήμιδεσ Ἀχαιοὶ
ἐκ βελέων ’ϝερύσαντο νέκυν, θεράποντ’ Ἀχιλῆοσ·
αὖτισ γὰρ δὴ τόν γε ’κίχεν λαόσ τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάϊσ, φλογὶ ϝείκελοσ ἀλκήν. 154ᵇ cf. Ν 330
τρὶσ μέν μιν μετόπισθε ποδῶν ’λάβε φαίδιμοσ Ἕκτωρ
ἑλκέμεναι μεμαώσ, μέγα δὲ Τρώεσσιν ὁμόκλα,
τρὶσ δὲ δύ’ Αἴαντεσ, θοῦριν ἐπιϝειμένοι ἀλκήν, 157ᵇ = Η 164
νεκροῦ ἀπεστυφέλιξαν· ὃ δ’ ἔμπεδον, ἀλκὶ πεποιθώσ,
ἄλλοτ’ ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ’ αὖτε 159 cf. Ω 10
’στάσκε μέγα ϝιϝάχων, ὀπίσω δ’ οὐ ’χάζετο πάμπαν.
ὣσ δ’ ἀπὸ σώματοσ οὔ τι λέοντ’ αἴθωνα δύνανται
ποιμένεσ ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,
ὣσ ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ 163 cf. Ν 201
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δεδϝίξασθαι.
καί νύ κέ ϝ’ εἴρυσσέν τε καὶ ἄσπετον ἤρετο κῦδοσ, 165 = Γ 373

---

138. ἑϝοῖο] ἑῆοσ pap. 127 Syr. (cf. Δ 393).
142. ἀγορεύσατ’] ἀγορεῦσαι Zen.
146. δ’ αὖτ’] μὲν ἄρ’ Zen.
151. οὐδέ κε] οὐδ’ ἄρα l. a. in A. Cf. vs. 166. — Πάτροκλον] *Πατρόκλου (coll. Ρ 240 Ω 108)?
153. ’κίχεν § 208] κίχον.
154. φλογὶ] συῒ Zen. (ut Δ 253 Ρ 281).
155 sq. ὃσ μιν τρὶσ μετόπισθε ποδῶν λάβε καὶ μέγ’ ἀΰτει | ἑλκέμεναι μεμαώσ, κεφαλὴν δέ ἑ θυμὸσ ἀνώγει | πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ’ ἁπαλῆσ ἀπὸ δειρῆσ Zen. (cf. vs. 174—177).
157. δύ’] μιν Bentley.
160. ϝιϝάχων] ἀχέων Zen.
165. *κέ ϝ’] κεν (ut Γ 373).
— ἤρετο § 284] ἤρατο.

εἰ μὴ Πηλεΐωνι ποδήνεμοσ ὠκέα Ϝῖρισ
ἄγγελοσ ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι, 167 = Λ 715
κρύβδα Διὸσ ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἀγχόθι δ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 169 = Δ 92
„ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν· 170ᵇ = Α 146
Πατρόκλωι ἐπάμυνον, οὗ εἵνεκα φύλοπισ αἰνὴ
ἕστηκε πρὸ νεῶν. οἳ δ' ἀλλήλουσ ὀλέκουσι,
οἳ μὲν ἀμυνόμενοι νέκυοσ πέρι τεθνηῶτοσ,
οἳ δὲ ϝερύσσασθαι ποτὶ Ϝίλιον ἠνεμόεσσαν
Τρῶεσ ἐπιθύουσι· μάλιστα δὲ φαίδιμοσ Ἕκτωρ
ἑλκέμεναι μέμονεν, κεφαλὴν δέ ϝε θυμὸσ ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆσ ἀπὸ δειρῆσ.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο! σέβασ δέ σε θυμὸν ἱκέσθω
Πάτροκλον Τρωίῃσι κυσὶν μέλπηθρα γενέσθαι. 179 = Ρ 255
σοὶ λώβη, αἴ κέν τι νέκυσ ἠισχυμμένοσ ἔλθηι.“
τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκησ δῖοσ Ἀχιλλεύσ·
„Ϝῖρι θεά, τίσ τ' ἄρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;“
τὸν δ' αὖτε προσέϝειπε ποδήνεμοσ ὠκέα Ϝῖρισ·
„Ἥρη με προέηκε, Διὸσ κυδρὴ παράκοιτισ· 184ᵇ cf. λ 580
οὐ ϝοῖδε Κρονίδησ ὑψίζυγοσ οὐδέ τισ ἄλλοσ
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.“
τὴν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„πῶσ τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι,
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴαε θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδωμαι· 190 cf. 135
ʼστεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν' ἔντεα καλά.
ἄλλου δ' οὔ θην ϝοῖδα τέο κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντόσ γε σάκοσ Τελαμωνιάδαο.

---

169. ἀγχόθι δ'] cf. Β 172.

171. Πατρόκλωι] -κλου (i. e. -κλοι') Ar.; genitivus alibi non adiungitur verbo ἐπαμύνω (dativus Ζ 362 alibi), verbo simplici ἀμύνω paucis locis (cf. Π 522).

174. ἠνεμόεσσαν] αἰπὺ θέλοντεσ Zen. omissis vs. 175—177 (cf. vs. 155 sq. et Π 92).

176. δέ] τέ Syr. A.

— ἀνώγει Syr. A C T] ἄνωγε Ω (cf. § 225).

178. μηδ' ἔτι] μηκέτι Apoll. de coni. 500 Apoll. lex. Gen.

182. τ' ἄρ] sic (τάρ) Ar. in ed. altera, γάρ Ω. Cf. Α 8 Κ 61, 424 Σ 188 γ 22 ν 417 ο 509 π 222 ψ 264.

185. οὐ Heyne] οὔτ' Syr., οὐδ' Ω, οὐδὲ ϝίδε Brandreth.

— οὐδέ] οὔτε Syr.

191. Cf. Α 53.

192. θην G Z] τευ (i. e. τεο, § 99) Ω.

— τέο Robert] τεῦ ἂν (cf. § 326).

193. μὴ Αἴαντοσ] vitium metricum (cf. Φ 586 et § 14).

ἀλλὰ καὶ αὐτόσ, ϝέλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντοσ."
τὸν δ' αὖτε προσέϝειπε ποδήνεμοσ ὠκέα Ϝῖρισ·
„εὖ νυ καὶ ἧμεσ ϝίδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται· 197a = Θ 32, 463
ἀλλ' αὔτωσ ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδϝείσαντεσ ἀπόσχωνται πολέμοιο 199 cf. Λ 799
Τρῶεσ, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν 200 sq. = Λ 800 sq.
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσισ πολέμοιο."
Ἡ μὲν ἄρ' ὣσ Ϝειποῦσ' ἀπέβη πόδασ ὠκέα Ϝῖρισ, 202 = Θ 425
αὐτὰρ Ἀχιλλεὺσ ὦρτο Διὶ φίλοσ· ἀμφὶ δ' Ἀθήνη
ὤμοισ' ἰφθίμοισι 'βάλ' αἰγίδα θυσανόεσσαν, 204b cf. Ε 738
ἀμφὶ δέ ϝοι κεφαλῆι νέφοσ ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ 'δαῖε φλόγα παμφανάουσαν.
ὡσ δ' ὅτε καπνὸσ ἰὼν ἐκ ϝάστεοσ αἰθέρ' ἵκηται, 207 cf. Φ 522
τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχωνται· —
οἳ δὲ πανημέριοι στυγερῶι κρίνονται Ἄρηϊ 209 cf. Β 385
ϝάστεοσ ἓκ σφετέροι', ἅμα δ' ἠελίωι καταδύντι 210b = Λ 592
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀΐσσουσα, περικτιόνεσσι ϝιδέσθαι,
αἴ κέν πωσ σὺν νηυσὶν ἀρῆσ ἀλκτῆρεσ ἵκωνται· —
ὣσ ἀπ' Ἀχιλλῆοσ κεφαλῆσ σέλασ αἰθέρ' ἵκανε. 214 cf. Τ 379
'στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεοσ, οὐδ' ἐσ Ἀχαιοὺσ
'μίσγετο, μητρὸσ γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰσ ἤυσ', ἀπάτερθε δὲ Παλλὰσ Ἀθήνη 217a cf. Ε 784
'φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν. 218 cf. Κ 523
ὡσ δ' ὅτ' ἀριζήλη φωνή, ὅτε 'ϝίϝαχε σάλπιγξ

---

194. αὐτόσ Bentley] αὐτὸσ δ γ'.
— πρώτοισιν] Τρώεσσιν A C T (cf. Δ 528; vulgatae magis favet Ε 834).
197. κλυτὰ] καλὰ olim quidam (metro invito).
198. αὔτωσ] αὐτὸσ Zen. Aristoph.; cf. ο 88.
200 sq. Propter homoeoteleuton om. pap. 107 Syr. et codicis A archetypum[1] (hic enim codex in hac pagina habet versus 27); solum vs. 201 om. T Z.
203. ἀμφὶ δ'] αὐτὰρ Syr.
207. καπνὸσ ἰὼν ἐκ ϝάστεοσ] πῦρ ἐπὶ πόντον ἀριπρεπὲσ Ar. teste Dionysio Thrace, cum prius (in ed. priore aut in commentariis) vulgatam lectionem esset secutus. Aristarchi lectioni (coniecturae?) quadamtenus favent Τ 375 sq.
208. ἀμφιμάχωνται] -χονται Ω.
209. δὲ Heyne] τε.
— κρίνονται] -νωνται Syr. G H.
210. ϝάστεοσ ἓκ σφετέροι'] ἄστυ ποτὶ (aut περὶ) σφέτερον Zen. (cf. Ι 327). Uni eidemque errori debentur τε, κρίνωνται, ποτὶ (aut περὶ).
213. ἀρῆσ] Ἄρεω Ar., Ἀρείωσ vel -οσ Ω. Cf. Ξ 485 Σ 100.
219. ὅτε Bentley] ὅτε τ'.

ϝάστυ περιπλομένων δηΐων ὕπο θυμορραιστέων, 220^{b} = *Π* 591
ὣσ τότ' ἀριζήλη φωνὴ 'γένετ' Αἰακίδαο.
οἳ δ' ὣσ οὖν ἄΐον ϝόπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμόσ, ἀτὰρ καλλίτριχεσ ἵπποι 223^{a} = *Ε* 29
ἂψ ὄχε' ἐτρόπαον· ὤσσοντο γὰρ ἄλγεα θυμῶι. 224^{b} cf. *σ* 154
ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ 'ϝίδον ἀκάματον πῦρ
δϝεινὸν ὑπὲρ κεφαλῆσ μεγαθύμου Πηλεΐωνοσ
δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπισ Ἀθήνη.
τρὶσ μὲν ὑπὲρ τάφρου μέγ' ἐϝίϝαχε δῖοσ Ἀχιλλεύσ,
τρὶσ δ' ἐκυκήθησαν Τρῶεσ κλειτοί τ' ἐπίκουροι. 229^{b} cf. *Ζ* 227
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτεσ ἄριστοι
ἀμφὶ σφοῖσ' ὀχέεσσι καὶ ἔγχεσιν.

αὐτὰρ Ἀχαιοὶ
ἀσπασίωσ Πάτροκλον ὑπ' ἐκ βελέων ϝερύσαντεσ
κάτθεσαν ἐν λεχέεσσι, φίλοι δ' ἀμφέσταν ἑταῖροι 233^{a} cf. *ω* 44; 233^{b} = *Ψ* 695
μυρόμενοι, μετὰ δέ σφι ποδώκησ εἶπετ' Ἀχιλλεὺσ 234^{a} = *Ψ* 14
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσϝιδε πιστὸν ἑταῖρον 235^{a} = *Π* 8
κείμενον ἐν φέρτρωι, δεδαϊγμένον ὀξέι χαλκῶι. 286^{b} = *Τ* 283, 292 cf. *Τ* 211 *Χ* 72
τόν ῥ' ἦ τοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφι
εἰσ πόλεμον, οὐδ' αὖτισ ἐδέξατο νοστήσαντα.
ἠέλιον δ' ἀκάμαντα βοῶπισ πότνια Ἥρη 239^{a} cf. 484
'πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰσ ἀϝέκοντα νέεσθαι· 240 cf. *Φ* 48
ἠέλιοσ μὲν ἔδυ, 'παύσαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδοσ κρατερῆσ καὶ ὁμοιίοο πτολέμοιο. 242^{b} = *Ν* 358

Τρώων ἀγορά.

Τρῶεσ δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆσ ὑσμίνησ 243^{a} = *Θ* 55
χωρήσαντεσ ἔλυσαν ὑφ' ἅρμασιν ὠκέασ ἵππουσ,

---

220. *θυμορραιστέων*] *θυμοραϊστέων* Ω. Cf. *Ν* 544. An **δηΐων θυμορραιστάων* (cf. § 56)?
222. *χάλκεον*] *χαλκέην* Zen. (cf. § 61); **χαλκείην Ἀχιλῆοσ*? Vox *Αἰακίδαο* e vs. proximo potuit irrepere.
224. (*ἐ*)*τρόπαον* § 251] *τρόπεον*.
228. *μέγ' ἐϝίϝαχε*] *μεγάλ' ἴαχε* Ω. Cf. *Λ* 482.
230 sq. *καὶ τότ', .. φῶτεσ ... ἀμφὶ σφοῖσ' ὀχέεσσι*] *κοῦροι ... πάντεσ ... οἷσιν ἐνὶ βελέεσσι* Zen.; pro *ὀχέεσσι* quidam olim legebant *ξιφέεσσι*.
232. *ἀσπασίωσ*] cf. vs. 270.
239. *δ' ἀκάμαντα*] *μὲν ἔπειτα* l. a. in A.
240. *'πέμψεν*] *πέμπεν* A.
243. *ἀπὸ κρατερῆσ ὑσμίνησ*] *ἐπὶ θρωσμῶι πεδίοιο* (ut *Λ* 56 *Υ* 3 *Κ* 160) quidam olim.

εἱσ δ' ἀγορὴν ἤγροντο, πάροσ δόρποιο μέδεσθαι.
ὀρθῶν δ' ἑσταότων ἀγορὴ 'γένετ', οὐδέ τισ ἔτλη
ἑζέσθαι· πάντασ γὰρ ἔχε τρόμοσ, οὕνεκ' Ἀχιλλεὺσ 247ᵇ sq. = Τ 45 sq. Υ 42 sq.
ἐξεφάνη, δϝηρὸν δὲ μάχησ ἐπέπαυτ' ἀλεγεινῆσ.
τοῖσι δὲ Πολυδάμασ πεπνυμένοσ ἦρχ' ἀγορεύειν 249 cf. Η 347 χ 461
Πανθοΐδησ· ὃ γὰρ οἶοσ ὅρα πρόσσω καὶ ὀπίσσω. 250 cf. ω 452
Ἕκτορι δ' ἦεν ἑταῖροσ, ἰῆι δ' ἐν νυκτ' ἐγένοντο·
ἀλλ' ὃ μὲν ἂρ μύθοισιν, ὃ δ' ἔγχεϊ πολλὸν ἐνίκα.
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„ἀμφὶ μάλα φράζεσθε, φίλοι. κέλομαι γὰρ ἐγώ γε
ϝάστυδε νῦν ἴμεναι, μὴ μιμνέμεν' ἠόα δῖαν
ἐν πεδίωι παρὰ νηυσί· ϝεκὰσ δ' ἀπὸ τείχεόσ εἰμεν.
ὄφρα μὲν οὗτοσ ἀνὴρ Ἀγαμέμνονι 'μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμιζέμεν' ἦσαν Ἀχαιοί·
'χαίρεσκον γὰρ ἐγώ γε θοῆισ' ἐπὶ νηυσὶν ἰαύων,
ϝελπόμενοσ νῆασ αἱρησέμεν' ἀμφιϝελίσσασ.
νῦν δ' αἰνῶσ δέδϝοικα ποδώκεα Πηλεΐωνα·
οἷοσ κείνοο θυμὸσ ὑπέρβιοσ, οὐκ ἐθελήσει 262ᵃ = ο 212 cf. Ο 94
μιμνέμεν' ἐν πεδίωι, ὅθι περ Τρῶεσ καὶ Ἀχαιοὶ
ἐν μέσωι ἀμφότεροι μένοσ Ἄρηοσ δατέονται,
ἀλλὰ περὶ πτόλιόσ τε μαχεσσόμεθ' ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ϝάστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
ἀμβροσίη· εἰ δ' ἥμε κιχήσεται ἐνθάδ' ἐόντασ
αὔριον ὁρμηθεὶσ σὺν τεύχεσιν, εὖ νύ τισ αὐτὸν
γνώσεται, ἀσπάσιοσ γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅσ κε φύγηι, πολλοὺσ δὲ κύνεσ καὶ γῦπεσ ἔδονται 271ᵇ cf. Χ 42
Τρώων. αἲ γὰρ δή μοι ἀπ' οὔατοσ ὧδε γένοιτο. 272 cf. Χ 454
εἰ δέ κ' ἐμοῖσι ϝέπεσσι πιθώμεθα κηδόμενοί περ,

---

245. ἤγροντο] cf. Β 94.
247. ἔχε] εἷλε l. a. in A (ut Τ 14).
— τρόμοσ] φόβοσ Zen. (item Τ 14; cf. Λ 402).
262. κείνοο § 59] κείνου (sic Ar.? cf. Ο 94) aut ἐκείνου Ω (cf. § 97).
265. *μαχεσσόμεθ'] -σεται. Cf. Ι 327 Π 526 (λ 403). Vulgata lectio quadamtenus potest defendi (coll. Γ 137 Μ 216 Σ 279), sed non satis apte opponitur versibus 262 sq.
268. ἥμε ... ἐνθάδ'] *ἔνθα ... ἥμασ? Cf. § 92.
270. ἀσπάσιοσ Cobet] ἀσπασίωσ. Cf. Θ 488 Κ 35 Φ 607 ι 394, 397 ψ 238, 296. Redit error δ 523 ϑ 450 ξ 502 ψ 233; sed Η 118 Λ 327 Σ 232 Τ 72 κ 131 ν 33, 333 ferendum videtur adverbium (cf. Aristoph. Plut. 324 sq.).
— Ἴλιον] neglecto ϝ.

νύκτα μὲν ἐν ἀγορῆι σθένοσ ἕξομεν, — ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδεσ τ' ἐπὶ τῆισ' ἀραρυῖαι
μακραὶ ἐύξεστοι ἐζευγμέναι εἰρύσονται, —
πρῶϊ δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντεσ — 277 = Θ 530
στησόμεθ' ἂμ πύργουσ. τῶι δ' ἄλγιον, αἴ κ' ἐθέληισι — 278ᵇsq.ᵃcf.vs. 306
ἐλθὼν ἐκ νηῶν περὶ τείχεοσ ἆμι μάχεσθαι·
ἂψ πάλιν εἶσ' ἐπὶ νῆασ, ἐπεί κ' ἐριαύχενασ ἵππουσ
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸσ ἐφορμηθήμεν' ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνεσ ἀργοὶ ἔδονται.“
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κορυθαιόλοσ Ἕκτωρ· — 284 sq. = Μ 230 sq.
„Πολυδάμαν, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεισ,
ὃσ κέλεαι κατὰ ϝάστυ ϝαλήμεναι αὖτισ ἰόντασ.
ἦ οὔ πω κεκόρησθε ϝεϝελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπεσ ἄνθρωποι
πάντεσ ἐμυθέσκοντο πολύχρυσον πολύχαλκον· — 289ᵇ cf. Κ 315
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηιονίην ἐρατεινὴν — 291 cf. Γ 401
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγασ ὠδύσατο Ζεύσ.
νῦν δ', ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊσ ἀγκυλόμητισ
κῦδοσ ἀρέσθ' ἐπὶ νηυσὶ καὶ ἀμφ' ἅλα ϝέλσαι Ἀχαιούσ, — 294ᵇ = Α 409
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμωι,
οὐ γάρ τισ Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω. — 296ᵇ cf. Ρ 449
ἀλλ' ἄγεθ', ὡσ κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντεσ. — 297 = Β 139
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι, — 298 cf. Η 380; 298ᵃ = Η 370
καὶ φυλακῆσ μνήσασθε, καὶ ἐγρήγορθε ϝέκαστοσ· — 299 = Η 371
Τρώων δ' ὃσ κτεάτεσσιν ὑπερφιάλωσ ἀνιάζει,
συλλέξασ λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν' ἤ περ Ἀχαιούσ.
πρῶϊ δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντεσ — 303 sq. = Θ 530 sq.
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖοσ Ἀχιλλεύσ,

---

274. ἄστυ] neglecto ϝ.
285. Πολυδάμαν (Πουλ.) Zen.] Πουλυδάμα Ar. Ω. Cf. Λ 86.
287. κεκόρησθε] -σθον Zen. (cf. § 52).
291. δή] καὶ Syr.
293. ἀγκυλόμητισ § 55 et 88[10]] -μήτεω.
294. καὶ ἀμφ' ἅλα Heyne] θαλάσσηι τ'. Cf. Α 409.

ἄλγιον, αἴ κ' ἔλθῃσι, τῶι ἔσσεται. οὔ μιν ἐγώ γε 806 cf. 278b sq.*
φεύξομαι ἐκ πολέμοιο δυσηχέοσ, ἀλλὰ μάλ' ἄντην 807 cf. Λ 590
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτοσ ἤ κε φέρωμαι. 808 cf. Ν 486
ξυνὸσ Ἐνυάλιοσ, καί τε κτενέοντα κατέκτα."
ὣσ Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶεσ 'κελάδησαν 810 = Θ 542
νήπιοι· ἐκ γάρ σφι φρένασ εἵλετο Παλλὰσ Ἀθήνη. 811 cf. Ζ 234
Ἕκτορι μὲν γὰρ ἐπήινεσσαν κακὰ μητιάοντι,
Πολυδάμαντι δ' ἄρ' οὔ τισ, ὃσ ἐσθλὴν 'φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν. 814 cf. Η 380

αὐτὰρ Ἀχαιοὶ
παννύχιοι Πάτροκλον ἀνεστέναχον γοάοντεσ. 815 cf. 355; 815b cf. ι 467
τοῖσι δὲ Πηλεΐδησ ἁδινοῖ' ἐξῆρχε γόοιο, 816 sq. = Ψ 17 sq.; 816 cf. Χ 430 Ω 747
χεῖρασ ἐπ' ἀνδροφόνουσ θέμενοσ στήθεσφιν ἑταίρου,
πυκνὰ μάλα στενάχων ὥσ τε λὶσ ἠυγένειοσ, 818a cf. Φ 417; 818b = Ρ 109
ὧι ῥά θ' ὑπὸ σκύμνουσ ἐλαφηβόλοσ ἁρπάσῃ ἀνὴρ
ὕλησ ἐκ πυκινῆσ· ὃ δέ τ' ἄχνυται ὕστεροσ ἐλθών,
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέροσ ἴχνι' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι, μάλα γὰρ δριμὺσ χόλοσ αἱρεῖ.
ὣσ ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσι·
„ὢ πόποι, ἦ ῥ' ἅλιον ϝέποσ ἔκβαλον ἤματι κείνωι,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
'φῆν δέ ϝοι εἰσ Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
ϜΊλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδοσ αἶσαν. 327b cf. ι 40 ν 138
ἀλλ' οὐ Ζεὺσ ἄνδρεσσι νοήματα πάντα τελευτᾶι·

---

306. *ἔλθῃσι* vHerwerden] *ἐθέλῃσι.*
307. *πολέμοιο δυσηχέοσ*] cf. Β 686.
308. *φέρῃσι μέγα*] *φέροιτο μέγα* Syr. (ut Ν 486); **φέρηται ὅ γε*? Requiritur subiunctivus medii.
— *φέρωμαι*] *φεροίμην* Ω.
309. *κτενέοντα* § 269] *κτανέοντα.*
311. **σφι*] *σφεων.* Locis simillimis Ι 377 Τ 137 genitivum non admittunt numeri; praeterea cf. Ζ 234 et § 92. Similis est error Ω 754; praeterea cf. Λ 430.
— *εἵλετο Παλλὰσ Ἀθήνη*] *ἐξέλετο Ζεύσ* Syr. (ut Ζ 234 Τ 137).
312. *ἐπήινεσσαν* L] *-νησαν* Ω. Cf. § 295.
313. *τισ*] *τι* Epaphroditus.
315. *ἀνεστέναχον γοάοντεσ* Fick] *-χοντο γοῶντεσ* Ω (item vs. 355 et ι 467). Cf. Ψ 211.
317. *ἀνδροφόνουσ*] sic Ar., *-νου* l. a. ant. (item Ψ 18).
— *στήθεσφιν* § 46] *-σσιν* Ω. Cf. Β 388.
318. *πυκνὰ*] *πολλὰ* Syr.
321. *ἴχνι'*] cf. Ν 71.
326—337. Del. Knight. Achillis filius a prisco poemate alienus in Iliade nonnisi h. l. et Ω 467 commemoratur (*puer* utrobique dictus). Recentem manum produnt etiam quae de Peleo annis confecto dicuntur (cf. Β 184 sq.).

ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτόθ' ἐνὶ Τροίηι, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺσ
οὐδὲ Θέτισ μήτηρ, ἀλλ' αὐτόθι γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σέ' ὕστεροσ εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτερίσω, πρὶν Ἕκτοροσ ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆοσ·
δώδεκα δὲ προπάροιθε πυρῆσ ἀποδειροτομήσω — 336 cf. Ψ 22
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείσ. — 337 = Ψ 23
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτωσ,
ἀμφὶ δὲ σὲ Τρῳϊαι καὶ Δαρδανίδεσ βαθύκολποι
κλαύσονται νύκτασ τε καὶ ἤματα δάκρυ χέουσαι, — 340 cf. Ω 745 λ 183 ν 338
τὰσ αὐτώ γ' ἀρόμεσθα βίηφί τε δουρί τε μακρῶι,
πιείρασ πέρθοντε πόλισ μερόπων ἀνθρώπων."
ὣσ ϝειπὼν ἑτάροισιν ἐκέκλετο δῖοσ Ἀχιλλεὺσ — [ϑ 434
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα — 344 cf. Χ 443 Ψ 40
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα. — 345 cf. Ψ 41
οἳ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέωι, — 346 sq. cf. ϑ 435 sq.
ἐν δ' ἄρ' ὕδωρ ἔχεον, ὑπὸ δὲ ξύλα 'δαῖον ἑλόντεσ·
γάστρην μὲν τρίποδοσ πῦρ ἄμφεπε, 'θέρμετο δ' ὕδωρ. — 348 = ϑ 437
αὐτὰρ ἐπεὶ δὴ 'ζέσσεν ὕδωρ ἐνὶ ϝήνοπι χαλκῶι, — 349 = κ 360
καὶ τότε δὴ 'λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίωι, — 350b cf. τ 505
ἐν δ' ὠτειλὰσ 'πλῆσαν ἀλείφατοσ ἐννεώροιο·
ἐν λεχέεσσι δὲ θέντεσ ἑανῶι λίτ' ἐκάλυψαν — 352 cf. Ψ 254
εἰσ πόδασ ἐκ κεφαλῆσ, καθύπερθε δὲ φάρεϊ λευκῶι. — 353a = Ψ 169
παννύχιοι μὲν ἔπειτα πόδασ ταχὺν ἀμφ' Ἀχιλῆα — 354a = Η 476; 354b cf. 69

---

329. *ἐρεῦσαι*] *ἐρεύθειν* Aeschin. I § 144.

333. *νῦν δ' ... Πάτροκλε*] *ἀλλ' ... φίλ' ἑταῖρε* Aeschin. l. l. § 148.

334. *κτερίσω* § 147 et 210] *κτεριῶ*.

— *πρὶν* T Z] *πρίν γ'*. Cf. § 18.

— *ἐνεῖκαι*] *ἐνείκω* L.

335. Post *μεγαθύμου* interpungit Duentzer, quod ceteris locis *μεγάθυμοσ* propriis tantum nominibus addatur (sed cf. *B* 53).

— *σεῖο*] *σοῖο* Par. Harl.; cf. *Ω* 686.

338. *αὔτωσ*] sic Ar., *οὕτωσ* l. a. ant. (cf. vs. 584).

341. *αὐτώ* vHerwerden] *αὐτοί*. Cf. vs. sequens (ubi metro invito *πέρθοντεσ* habet Syr.).

— **γ' ἀρόμεσθα*] *καμόμεσθα*. Cf. *Δ* 625 (*I* 269 al.). Vulgata *facere* significat, non *sibi parare*; *κταόμεσθα* Knight dubitanter. Requiritur aoristus.

347. *ἔχεον* Knight] *ἔχεαν*.

351. *ἐννεώροιο*] *ἐννώροιο*? cf. § 8 et λ 311. Sed obscurior est adiectivi origo. Redit κ 19, 390 λ 311 τ 179.

352. *ἑανῶι*] neglecto ϝ; **θέντεσ δ' ἐν λεχέεσσι ϝεανῶι*? Cf. Ψ 254?

Μυρμιδόνεσ Πάτροκλον ἀνεστέναχον γοάοντεσ. 355 cf. 315
Ζεὺσ δ' Ἥρην προσέϝειπε κασιγνήτην ἄλοχόν τε· 356 cf. Π 432
„ἔπρηξασ καὶ ἔπειτα, βοῶπισ πότνια Ἥρη, 357 cf. Ο 49.
ἀνστήσασ' Ἀχιλῆα πόδασ ταχύν· ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆσ ἐγένοντο κάρη κομάοντεσ Ἀχαιοί!"
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπισ πότνια Ἥρη· 360 sq. = Α 551 sq.
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπεσ;
καὶ μὲν δή ποθί τισ μέλλει βροτὸσ ἀνδρὶ τελέσσαι,
ὅσ περ θνητόσ τ' ἐστὶ καὶ οὐ τόσα μήδεα ϝοῖδε· 363 = υ 46
πῶσ δὴ ἐγώ γ', ἥ φημι θεάων ἔμμεν' ἀρίστη,
ἀμφότερον, γενεῆι τε καὶ οὕνεκα σὴ παράκοιτισ 365 sq. = Δ 60 sq.
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισι ϝανάσσεισ,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;"
ὣσ οἳ μὲν τοιαῦτα πρὸσ ἀλλήλουσ ἀγόρευον.

ὁπλοποιία.

Ἡφαίστου δ' ἵκανε δόμον Θέτισ ἀργυρόπεζα
ἄφθιτον ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισι,
χάλκεον, ὅν ῥ' αὐτὸσ 'ποιήσατο κυλλοποδίων.
τὸν δ' ηὗρ' ἱδρώοντα ϝελισσόμενον περὶ φύσασ,
σπεύδοντα· τρίποδασ γὰρ ἐϝείκοσι πάντασ ἔτευχε
ἑστάμεναι περὶ τοῖχον ἐυσταθέοσ μεγάροιο, 374ᵇ = χ 120, 127, 257, 274, 441, 458 cf. υ 258ᵃ
χρύσεα δέ σφ' ὑπὸ κύκλα ϝεκάστωι πυθμέν' ἔθηκε,
ὄφρα ϝοι αὐτόματοι θεῖον δυσοίατ' ἀγῶνα 376 cf. Η 298
ἠδ' αὖτισ πρὸσ δῶμα νεοίατο, θαῦμα ϝιδέσθαι.
οἳ δ' ἦ τοι τόσσον μὲν ἔχον τέλοσ, οὔατα δ' οὔ πω
δαιδάλεα προσέκειτο· τά ῥ' ἤρτυε, 'κόπτε δὲ δεσμούσ. 379ᵇ = ϑ 274
ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ϝιδυίηισι πραπίδεσσι,

355. ἀνεστέναχον γοάοντεσ Fick] -χοντο γοῶντεσ. Cf. vs. 315.

356—368. Damnabat Zenodorus grammaticus (schol. B T).

357. βοῶπισ] -πι pap. 107 A C T; cf. Ο 49.

362. βροτὸσ] ϝέποσ Bentley (coll. Α 108 al.), κότον Brandreth.

364. ἐγώ γ'] ἐγὼν Zen.

372. ἱδρώοντα] neglecto ϝ.

375 sq. Hi et 416ᵇ—421ᵃ postmodo inserti videntur.

375. ἔθηκε] ἧηκε vHerwerden (coll. Ξ 240 τ 57).

376. δυσοίατ' § 152] δυσαίατ' Ar. A C T, δύσονται vel δύσωνται Ω. Pro θεῖον — ἀγῶνα olim quidam θεῖον κατὰ δῶμα νέονται aut νέοιντο (om. vs. 377? An ad πρὸσ vs. 377 hoc scholion iure rettulit Dindorf?).

τόφρα ϝοι ἐγγύθεν ἦλθε θεὰ Θέτισ ἀργυρόπεζα.
τὴν δ' ἔϝιδε προμολοῦσα Χάρισ λιπαροκρήδεμνοσ
καλή, τὴν ὤπυιε περικλυτὸσ ἀμφιγυήεισ· [sqq.
ἔν τ' ἄρα ϝοι 'φῦ χειρὶ ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 384-386 = 423 / 384 = Z 253
„τίπτε, Θέτισ τανύπεπλοσ, ἱκάνεισ ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάροσ γε μὲν οὔ τι θαμίζεισ. 386 cf. ε 88
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θήω.“ 387 = ε 91 / 387ᵇ = ι 517
ὣσ ἄρα φωνήσασα πρόσω ϝ' ἄγε δῖα θεάων. [sq., 366 sq.
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου, 389ᵇ sq. = κ 314 / 389ᵇ = η 162
καλοῦ δαιδαλέοι', ὑπὸ δὲ θρῆνυσ ποσὶν ἦεν· 390 cf. Ι 187 α 131 / 390ᵇ = δ 136
'κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην 'ϝεῖπέ τε μῦθον·
„Ἥφαιστε, πρόμολ' ὧδε· Θέτισ νύ τι σεῖο χατίζει.“
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸσ ἀμφιγυήεισ· 393 = 462 cf. θ 357
„ἦ ῥά νύ μοι δϝεινή τε καὶ αἰδοίη θεὸσ ἔνδον,
ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγοσ ἀφίκετο τῆλε πεσόντα
μητρὸσ ἐμῆσ ϝιότητι κυνώπιδοσ, ἥ μ' ἐθέλησε
397ᵃ sq.ᵇ κρύψαι χωλὸν ἐόντα· Θέτισ δ' ὑπεδέξατο κόλπωι.
τῆι δὲ πάρ' εἰνάϝετεσ 'χάλκευον δαίδαλα πολλά,
πόρπασ τε γναμπτάσ θ' ἕλικασ κάλυκάσ τε καὶ ὅρμουσ, 401 = h. Ven. 164 / cf. h. Ven. 87 sq.
ἐν σπέϊ γλαφυρῶι, περὶ δὲ ῥόοσ Ὠκεανοῖο [325
ἀφρῶι μορμύρων 'ῥέεν ἄσπετοσ· οὐδέ τισ ἄλλοσ 403ᵃ cf. Ε 599 Φ
404 'ϝείδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων. 403ᵇ sq cf. η 246 sq.
406 ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῶι με μάλα χρεὼ

397ᵇ τότ' ἂν 'πάθον ἄλγεα θυμῶι,
εἰ μή μ' Εὐρυνόμη τε
399 Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
405 ἀλλὰ Θέτισ τε καὶ Εὐρυνόμη 'ϝίσαν, αἵ μ' ἐσάωσαν.

381. Omittit papyrus 107, in margine habet codex A.
385. *Θέτισ τανύπεπλοσ* Zen.] *-τι -πλε* Ω, item vs. 424. Cf. § 51.
— *δῶ*] *-δε* Zen., item vs. 424.
388. *ϝ'] addidimus.
396. *κυνώπιδοσ*] *βοώπιδοσ* l. a. in T.
397ᵇ sq.ᵃ, 399, 405. Utpote postmodo insertos delevimus coll. vs. Z 136. Verba eiecta structuram manifeste corrumpunt. Interpolatorem produnt verbi numerus singularis vs. 398 et *ἥ* vs. 406, in verbis spuriis dictum est *ἄν* pro *κεν* (§ 326). Mentio *Eurynomes* e fabula cognata adscitae in hoc contextu ferri nequit; similis contaminatio est ψ 289.
398. *δ'] *θ'*.
400. **τῆι δὲ*] *τῇσι*.
— *πολλά*] *πάντα* Zen. Aristoph.
401. *ἕλικασ*] neglecto ϝ.
402 sq. *περὶ — ἄσπετοσ*] olimne fuit **κόλπωι ἀλόσ*?
406. *χρεὼ*] *χρὴ* recc. (cf. § 8).

πάντα Θέτι καλλιπλοκάμωι ζωιάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν ϝοι παράθεσ ξεινήϊα καλά,
ὄφρα κ' ἐγὼ φύσασ ἀποθήομαι ὅπλα τε πάντα."
ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη
χωλεύων· ὑπὸ δὲ κνῆμαι 'ρώοντο ϝαραιαί. 411 = Υ 37
φύσασ μέν ῥ' ἀπάνευθε 'τίθει πυρόσ, ὅπλα τε πάντα
λάρνακ' ἐσ ἀργυρέην συνελέξατο, τοῖσ' ἐπονεῖτο·
σπόγγωι δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ
αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα, 415ᵃ = ϑ 136
'δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, 'βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι 'ρώοντο ϝάνακτι
χρύσειαι, ζωιῆισι νεήνισσιν ϝεϝικυῖαι.
τῆισ' ἐν μὲν νόοσ ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ
καὶ σθένοσ, ἀθανάτων δὲ θεῶν ἄπο ϝέργα ϝίσασι.
αἳ μὲν ὕπαιθα ϝάνακτοσ ἐποίπνυον· αὐτὰρ ὃ ϝέρρων
πλησίον, ἔνθα Θέτισ περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα ϝοι 'φῦ χειρὶ ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 423-425 = 384 sqq.
„τίπτε, Θέτισ τανύπεπλοσ, ἱκάνεισ ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάροσ γε μὲν οὔ τι θαμίζεισ.
αὔδα ὅ τι φρονέεισ· τελέσαι δέ με θυμὸσ ἀνώγει, 426 sq. = Ξ 195 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί."
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτισ κατὰ δάκρυ χέουσα· 428 = Α 413
„Ἥφαιστ', ἦ ἄρα δή τισ, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπωι,
τοσσάδ' ἐνὶ φρεσὶ ϝῆισιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδησ Ζεὺσ ἄλγε' ἔδωκε; 431ᵇ = Β 375 Ω 241
ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρ' ἐδάμασσε,
Αἰακίδηι Πηλῆϊ, καὶ ἔτλην ἀνέροσ εὐνήν,
πολλὰ μάλ' οὐκ ἐθέλουσα. ὃ μὲν δὴ γήραϊ λυγρῶι
κεῖται ἐνὶ μεγάροισ' ἀρημένοσ, ἄλλα δέ μοι νῦν.
υἱὸν ἐπεί μοι ἔδωκε γενέσθαι τε τραφέμεν τε, 436ᵇ = Η 199

---

407. Θέτι] θεᾶι Nauck (cf. § 74).

418. νεήνισσιν ϝεϝικυῖαι Brandreth] νεήνισιν εἰοικυῖαι Ω (νεήνισιν ἴργ' εἰκυῖαι schol. Pind. Ol. VII 95). Cf. § 160 et ἴρισσι Λ 27. Vitium peperit prisca litteratura *ΝΕΗΝΙΣΙΝΕΙΚΥΙΑΙ*, quas litteras posteri νεήνισιν εἰκυῖαι interpretati syllabam aliquam (-οι- vel ἴργ') intercidisse putabant.

424. Cf. vs. 385.

426. ἀνώγει l. a. in A] ἄνωγε Ω. Cf. § 225.

427. Om. pap. 107 Syr. H Gen.

434 sq. Postmodo additi videntur (cf. Β 134 sq.), in vs. 436 autem olim fuisse υἷα δ' κτέ.

ἔξοχον ἡρώων, — ὃ δ' ἀνέδραμεν ἔρνεϊ ϝῖσοσ, — 437-448 = 56 sqq.
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣσ γουνῶι ἀλωιῆσ
νηυσὶν ἐπιπροέηκα κορωνίσι Ϝίλιον εἴσω
Τρωσὶ μαχεσσόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτισ
ϝοίκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάοσ ἠελίοιο,
ἄχνυται, οὐδέ τί ϝοι δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην, ἣν ἄρα ϝοι γέρασ ἔξελον υἷεσ Ἀχαιῶν, 444 cf. Π 56
τήν ϝ' ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων. 445 cf. Π 58
ἦ τοι ὃ τῆσ ἀχέων φρένασ ἤσθιεν· αὐτὰρ Ἀχαιοὺσ
Τρῶεσ ἐπὶ πρύμνηισιν ἐϝείλεον, οὐδὲ θύραζε
εἴαον ἐξίμεναι. τὸν δ' ἐλλίσσοντο γέροντεσ 448ᵇ = Ι 574
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον. 449ᵇ cf. Ι 121
ἔνθ' αὐτὸσ μὲν ἔπειτα ἀναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν ἑϝὰ τεύχε' ἔϝεσσε,
'πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
πᾶν δ' ἦμαρ 'μάρναντο περὶ Σκαιῆισι πύληισι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδοσ ἔδωκε. 456 = Τ 414
τούνεκα νῦν τεὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέληισθα 457 = γ 92 δ 322
υἷ' ἐμῶι ὠκυμόρωι δόμεν' ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰσ κνημῖδασ, ἐπισφυρίοισ' ἀραρυίασ,
καὶ θώρηχ'· ἃ γὰρ ἦν ϝοι, ἀπώλεσε πιστὸσ ἑταῖροσ
Τρωσὶ δαμείσ. ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων."
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸσ ἀμφιγυήεισ· 462 = 393

---

441. Om. pap. 107 et olim alii.

444—456. Ar. — (in Gen. etiam vs. 457—461 obelis sunt notati).

445. *ϝ'] addidimus. Cf. versus parallelus Π 58.

446. *ἤσθιεν (ἔσθιεν)* Blass] *ἔφθιεν*. Cf. § 166 et β 368. Egregia emendatio (cf. Ω 129).

450. *ἔπειτα ἀναίνετο* Nauck] *-τ' ἠναίνετο* vel *ἠνή(ι)νατο (-νετο)* Ω, ut Η 185 h. Cer. 331. Cf. Ι 585.

451. *ἑϝὰ*] cf. Θ 430.

452. *δ' ἅμα*] *δ' ὅ γε* Z, *δέ οἱ* C (*ὤπασε λαόν* ut Ι 483?).

457. *τεὰ*] cf. Λ 185.

458. *υἷ' ἐμῶι ὠκυμόρωι* G Z] *υἱεῖ ἐμῶκυμόρωι* Ar. Ω. Cf. Σ 144 et § 8, 9, 13.

459 sq. Molesta est mentio *thoracis* (cf. Π 133 sq.). Olim pro duobus versibus unum fuisse suspicamur: **καὶ κνημῖδ'· ἃ γὰρ κτέ.*, cum praesertim ineptum sit *pulcras et suis fasciis ornatas* flagitare ocreas, quae suo loco (Γ 331) optime habent verba.

460. ἃ l. a. in T] ὃ Ω.

— *ἦν ϝοι*] *ἦεν* (vel *εἶχεν*)? Cf. § 302; pronomen non suo loco est collocatum (cf. § 329).

„θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων! 463 = ν 362 π 436 ω 357 cf. Τ 29
αἲ γάρ μιν θανάτοιο δυσηχέοσ ὧδε δυναίμην
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόροσ αἰνὸσ ἱκάνοι,
ὥσ ϝοι τεύχεα καλὰ παρέσσεται, οἷά τισ αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅσ κε ϝίδηται.“
ὣσ ϝειπὼν τὴν μὲν ’λίπεν αὐτόθι, ’βῆ δ’ ἐπὶ φύσασ, 468ª cf. Δ 292
τὰσ δ’ εἰσ πῦρ ἔτρεψε ’κέλευσέ τε ϝεργάζεσθαι.
φῦσαι δ’ ἐν χοάνοισιν ἐϝείκοσι πᾶσαι ἐφύσων
παντοίην εὔπρηστον ἀυτμὴν ἐξανιεῖσαι,
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ’ αὖτε 472 cf. δ 102 λ 303 π 209
ὅππωσ Ἥφαιστόσ τ’ ἐθέλοι καὶ ϝέργον ἄνοιτο.
χαλκὸν δ’ ἐν πύρ’ ἔβαλλεν ἀτειρέα κασσίτερόν τε
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
’θῆκεν ἐν ἀκμοθέτωι μέγαν ἄκμονα, ’γέντο δὲ χειρὶ 476 cf. θ 274
ῥαιστῆρα κρατερόν, ἑτέρηφι δὲ ’γέντο πυράγρην.
’ποίεε δὲ πρώτιστα σάκοσ μέγα τε στιβαρόν τε
πάντοσε δαιδάλλων, περὶ δ’ ἄντυγα ’βάλλε φαεινὴν
τρίπλακα μαρμαρέην, ἓκ δ’ ἀργύρεον τελαμῶνα.
πέντε δ’ ἄρ’ αὐτοῦ ἔσαν σάκεοσ πτύχεσ· αὐτὰρ ἐν αὐτῶι 481 cf. Υ 270
’ποίεε δαίδαλα πολλὰ ϝιδυίηισι πραπίδεσσι.
ἓν μὲν γαῖαν ἔτευξ’, ἓν δ’ οὐρανόν, ἓν δὲ θάλασσαν,
ἠέλιόν τ’ ἀκάμαντα σελήνην τε πλήθουσαν, 484ª cf. 239
ἓν δέ τε τείρεα πάντα, τά τ’ οὐρανὸσ ἐστεφάνωται, 485 cf. Hes. Theog. 382 [sqq.
Πληϊάδασ θ’ Ὑάδασ τε ἰδὲ σθένοσ Ὀαρίωνοσ
Ἄρκτον θ’, ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσι, 487-489 = ε 273; 487ᵇ = Χ 29, 506

---

464. θανάτοιο δυσηχέοσ] cf. Β 686.
465. ἱκάνοι] -νει Syr. G L.
466. παρέσσεται] παρέξομαι Zen. Aristoph.
469. ἔτρεψε] ἔστρεψε L (cf. Σ 544, 546 κ 528).
471. εὔπρηστον] εὔπρηκτον l. a. ant.
473. ἄνοιτο] ἄνυτο Gen.[2] (i. e. ἄνυιτο, cf. ε 243 et § 257).
475. καὶ χρυσὸν τιμῆντα] χρυσόν τ’ αἰγλήεντα Nauck (cf. § 69).
476. ἐν] ἐπ’ C (cf. Λ 55).
477. κρατερόν Zen. C D T] -ρήν (Ar.?) A; cf. Ο 626.
483 sqq. (— 608?) Zen. —
485. τε L] τὰ Ω.
— οὐρανὸσ ἐστεφάνωται] οὐρανὸν ἐστεφάνωκε Ar., οὐρανὸν (-νῶι Duentzer coll. h. Merc. 11) ἐστήρικται Zen.
486 et 488. Ὀαρίωνοσ et -να] Ὠρίωνοσ et -να Ω, sed formam nondum contractam usurpavit Pindarus Isthm. IV 49 (III 67) Nem. II 12 et fortasse Callimachus in Homero suo legebat (cf. Callim. h. Dian. 265). Nomen redit Χ 29 ε 121, 274 λ 310, 572. Cf. § 21.
486. ἰδὲ Nauck] τό τε.

ἥ τ' αὖθι στρέφεται καί τ' Ὀαρίωνα δοκεύει,
οἴη δ' ἄμμορόσ ἐστι λοετρῶν Ὠκεανοῖο.
ἓν δὲ δύω 'ποίησε πόλισ μερόπων ἀνθρώπων
καλάσ. ἐν τῆι μέν ῥα γάμοι τ' ἔσαν εἰλαπίναι τε, [Scut. 274 sq.
νύμφασ δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων 492 sq. cf. Hes. 492b = τ 48 ψ 290
ἤγινον ἀνὰ ϝάστυ, πολὺσ δ' ὑμέναιοσ ὀρώρει·
κοῦροι δ' ὀρχηστῆρεσ ἐδίνεον, ἐν δ' ἄρα τοῖσι
αὐλοὶ φόρμιγγέσ τε βοὴν ἔχον· αἳ δὲ γυναῖκεσ
ἱστάμεναι 'θαύμαζον ἐπὶ προθύροισι ϝεκάστη.
λαοὶ δ' εἰν ἀγορῆι ἔσαν ἀθρόοι. ἔνθα δὲ νεῖκοσ
ὠρώρει, δύο δ' ἄνδρεσ ἐνείκεον εἵνεκα ποινῆσ
ἀνδρὸσ ἀποκταμένοι'· ὃ μὲν ηὔχετο πάντ' ἀποδοῦναι,
δήμωι πιφαύσκων, ὃ δ' ἀναίνετο μή τι ἑλέσθαι,
ἄμφω δ' ἱέσθην ἐπὶ ϝίστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶσ ἀρωγοί.
κήρυκεσ δ' ἄρα λαὸν ἐρήτυον, οἳ δὲ γέροντεσ
ἥατ' ἐπὶ ξεστοῖσι λίθοισ' ἱερῶι ἐνὶ κύκλωι, 504 cf. ϑ 6 κ 408
σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
τοῖσιν ἔπειτ' ἤισσον, ἀμοιβηδὶσ δ' ἐδίκαζον.
'κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα, 507 cf. h. Merc. 324
τῶι δόμεν' ὃσ μετὰ τοῖσι δίκην ἰθύντατα ϝείποι.
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ ἥατο λαῶν
τεύχεσι λαμπόμενοι, δίχα δέ σφισι 'ϝάνδανε βουλή· 510b = γ 150 cf. ϑ 506
ἠὲ διαπραθέμεν ἠ' ἄνδιχα πάντα δάσασθαι, 511b sq. cf. X 120 sq.
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸσ ἔϝεργε.

---

489. οἴη] οἶοσ Crates sec. Strab. 3, αἰεὶ Duentzer.

492. ἐκ θαλάμων] ἐσ -μουσ Zen.

493. ἤγινον Fick] ἠγίνεον. Cf. υ 218 et § 191. Solus accentus corrigendus ξ 105 χ 198, sed Ω 784 κ 104 longior verbi forma est adhibita (cf. futurum ἀγινήσουσι in h. Ap.).

499. ἀποκταμένοι' (-νου) Zen. et olim „αἱ πλεῖσται"] ἀποφθιμένου Ω.

500. μή τι § 100] μηδὲν.

501. ἱέσθην] neglecto ϝ, ϝιέσθην δ' ἄμφω Brandreth.

— ἑλέσθαι] ἀρέσθαι Zen., ἱκέσθαι Barnes.

502. ἀμφοτέροισιν] -ρωθεν Mass. Zen. Aristoph.

— ἐπήπυον] ἐπίπνυον Mass. (ἐποίπνυον? Knight).

505. ἠεροφώνων] suspectum. A verbo ἀείρω satis apte deduci vix potuit; ἱεροφώνων Ahrens cum Phot. lex. (i. e. μεγαλοφώνων, cf. Π 407), quod epitheton extat in Alcman. fr. 26: „παρθενικαὶ μελιγάρυεσ ἱερόφωνοι", nisi legendum illic ἱμερόφωνοι (Barker), ut Sapph. fr. 39 (in schol. Soph. El. 149): „ἦροσ ἄγγελοσ ἱμερόφωνοσ ἀήδων".

506. ἀμοιβηδὶσ] -δὸν Ar.

512. ἔ(ϝ)εργε A[1] T] ἐέργει Ω (ut X 121).

οἳ δ' οὔ πω 'πείθοντο, λόχωι δ' ὑπεθωρήσσοντο.
τεῖχοσ μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
'ρύατ' ἐφεσταότεσ, μετὰ δ' ἀνέρεσ οὓσ ἔχε γῆρασ·
οἳ δ' ἴσαν, ἦρχε δ' ἄρα σφιν Ἄρησ καὶ Παλλὰσ Ἀθήνη,
ἄμφω χρυσείω, χρύσεια δὲ ϝείματ' ἐϝέσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥσ τε θεώ περ,
ἀμφὶσ ἀριζήλω, λαοὶ δ' ὑπ' ὀλείζονεσ ἦσαν.
οἳ δ' ὅτε δή ῥ' ἵκανον ὅθι σφίσι 'ϝεῖκε λοχῆσαι, 520 cf. Ψ 138 520b = Κ 526
ἐν ποταμῶι, ὅθι τ' ἀρδμὸσ ἔεν πάντεσσι βοτοῖσι,
ἔνθ' ἄρα τοί γ' ἵζον ϝεϝλυμένοι αἴθοπι χαλκῶι.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ ἥατο λαῶν
δέγμενοι ὁππότε μῆλα ϝιδοίατο καὶ ϝέλικασ βοῦσ, —
αἳ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆε 525b = ρ 214 υ 175
τερπομένω σύριγξι, — δόλον δ' οὔ τι προνόησαν.
οἳ μὲν τὰ προϝιδόντεσ ἐπέδραμον, ὦκα δ' ἔπειτα
'τάμνοντ' ἀμφὶ βοῶν ἀγέλασ καὶ πώεα καλὰ 528 cf. λ 402 ω 112
ἀργεννῶν ὀίων, 'κτεῖνον δ' ἐπὶ μηλοβοτῆρασ.
οἳ δ' ὡσ οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶ
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντεσ ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθασ, 533 cf. ι 54
'βάλλον δ' ἀλλήλουσ χαλκήρεσιν ἐγχείηισι. 534 = ι 55
ἐν δ' Ἔρισ, ἐν δὲ Κυδοιμὸσ ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ 535 cf. Hes. Scut. 156
ἄλλον ζωιὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, 536-538 = Hes. Scut. 157 sqq.
ἄλλον τεθνηῶτα κατὰ μόθον εἷλκε ποδοῖιν·
ϝεῖμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ' ὥσ τε ζωιοὶ βροτοὶ ἠδ' ἐμάχοντο,
νεκρούσ τ' ἀλλήλων 'ϝέρυον κατατεθνηῶτασ.
  ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν,

---

519. ὑπ' ὀλείζονεσ] pro uno vocabulo perperam habuit interpolator Hes. Scut. 258 (ὑφήσσων).

520. ἵκανον] ἵκοντο Nauck (cf. lectionis varietas Ψ 138).

522. ἵζον Bentley] ἵζοντ'. Cf. Ι 13, 87 Ν 281 Υ 15.

525. αἳ Bekker] οἱ. — νομῆε Ahrens] -εσ.

526. τερπομένω Aristoph.] -νοι.

528. πώεα καλὰ] πῶυ μέγ' οἰῶν Zen. (ut Λ 696 Ο 323 μ 299 Γ 198), omisso igitur versu 529; πώεα μήλων Apoll. lex.

535. ὁμίλεον] ἰθύνεον est Hes. Scut. vs. parall.

538. δ'] τ' Mass.

εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρεσ ἐν αὐτῆι
ζεύγεα δινεύοντεσ ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἳ δ' ὁπότε στρέψαντεσ ἱκοίατο τέλσον ἀρούρησ,
τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπασ μελιϝηδέοσ οἴνου 545ᵇ = γ 46 cf. h. Cer. 206
'δόσκεν ἀνὴρ ἐπιών· τοὶ δ' ἐστρέψασκον ἀν' ὄγμουσ
ϝιέμενοι νειοῖο βαθείησ τέλσον ἱκέσθαι.
ἡ δ' ἐμελαίνετ' ὄπισθεν, ἀρηρομένηι δ' ἐϝεϝοίκει,
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο. 549ᵇ cf. h. Merc. 196
ἐν δ' ἐτίθει τέμενοσ βασιλήϊον· ἔνθα δ' ἔριθοι
ἤμαον, ὀξείασ δρεπάνασ ἐν χερσὶν ἔχοντεσ.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα 'πίπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρεσ ἐν ἐλλεδανοῖσ' ἐδίδεντο.
τρεῖσ δ' ἄρ' ἀμαλλοδετῆρεσ ἐφέστασαν· αὐτὰρ ὄπισθε
παῖδεσ δραγμεύοντεσ, ἐν ἀγκαλίδεσσι φέροντεσ,
ἀσπερχὲσ πάρεχον· βασιλεὺσ δ' ἐν τοῖσι σιωπῆι
σκῆπτρον ἔχων εἱστήκει ἐπ' ὄγμου γηθόσυνοσ κῆρ.
κήρυκεσ δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτ' ἐπένοντο,
βοῦν δ' ἱερεύσαντεσ μέγαν ἄμφεπον· αἳ δὲ γυναῖκεσ
δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πόλλ' ἐπάλυνον. 560ᵇ cf. Δ 610
ἐν δ' ἐτίθει σταφυλῆισι μέγα βρίθουσαν ἀλωιὴν
καλὴν χρυσείην· μέλανεσ δ' ἀνὰ βότρυεσ ἦσαν,
εἱστήκει δὲ κάμαξι διαμπερὲσ ἀργυρέηισι.
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκοσ ἔλασσε
κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸσ ἦεν ἐπ' αὐτήν,
τῆι 'νίσσοντο φορῆεσ, ὅτε τρυγάοιεν ἀλωιήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντεσ
πλεκτοῖσ' ἐν ταλάροισι 'φέρον μελιϝηδέα καρπόν. 568ᵃ cf. ι 247
τοῖσιν δ' ἐν μέσσοισι πάϊσ φόρμιγγι λιγείηι [502
ἱμερόεν 'κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε 570 cf. h. Merc. 570ᵇ cf. φ 411ᵃ

545. οἴνου] neglecto ϝ.

550. βασιλήϊον papp. 107 et Par. A B C[1]] βαθυλήϊον Ω, quod compositum alibi non extat (cf. tamen πολυλήϊοσ Ε 613 h. Merc. 171). Legitur βαθὺ λήϊον (duae voces) Λ 560 et loco, qui nostro est simillimus, Hes. Scut. 288; unde litterae -θυ- in nostrum versum irrepsisse videntur. Lectioni βασιλήϊον favet vox βασιλεύσ vs. 556.

551. Olim subiungebant quidam: καρπὸν Ἐλευσινίησ Δημήτεροσ ἀγλαοδώρου.

553. (ἐ)δίδεντο § 198] δέοντο.

563. ἀργυρέηισι] -οισιν Zen. C.

565. ἐπ'] ἐσ Zen. pap. 127.

568. πλεκτοῖσ' ἐν] πλεκτοῖσιν Ar. (cf. Θ 337).

570. λίνον] sic Ar., λίνοσ Zen. (*chordam* interpretatus coll. φ 411; item Callim. Dian. 242).

λεπταλέηι φωνῆι· τοὶ δὲ ῥήσσοντεσ ὁμαρτῆι 571b cf. h. Ap. 516
μολπῆι τ' ἰυγμῶι τε ποσὶ σκαίροντεσ ἕποντο.
ἐν δ' ἀγέλην 'ποίησε βοῶν ὀρθοκραιράων· 573b = Θ 231
αἳ δὲ βόεσ χρυσοῖο 'τετεύχατο κασσιτέρου τε,
μυκηθμῶι δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥαδινὸν δονακῆα.
χρύσειοι δὲ νομῆεσ ἅμ' ἐστιχάοντο βόεσσι
τέσσαρεσ, ἐννέα δέ σφι κύνεσ πόδασ ἀργοὶ ἕποντο. 578b cf. β 11 ρ 62 υ 145
σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτηισι βόεσσι
ταῦρον ἐρύγμηλον ἐχέτην, ὃ δὲ μακρὰ μεμυκὼσ
ἕλκετο· τὸν δὲ κύνεσ μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναρρήξαντε βοὸσ μεγάλοιο βοείην 582b = Ρ 389
ἔγκατα καὶ μέλαν αἷμα 'λαφύσσετον· οἳ δὲ νομῆεσ 583 cf. Δ 176
αὔτωσ ἐνδίεσαν ταχέασ κύνασ ὀτρύνοντεσ.
οἳ δ' ἤτοι δακέμεν μὲν ἀπετροπάοντο λεόντων,
ἱστάμενοι δὲ μάλ' ἐγγὺσ ὑλάκτεον ἔκ τ' ἀλέοντο.
ἐν δὲ νομὸν 'ποίησε περικλυτὸσ ἀμφιγυήεισ,
ἐν καλῆι βήσσηι, μέγαν οἰῶν ἀργεννάων,
σταθμούσ τε κλισίασ τε κατηρεφέασ ἰδὲ σηκούσ.
ἐν δὲ χορὸν 'ποίκιλλε περικλυτὸσ ἀμφιγυήεισ,
τῶι ϝίκελον οἷόν ποτ' ἐνὶ Κνωσῶι εὐρείηι
Δαίδαλοσ ἤσκησεν καλλιπλοκάμωι Ἀριάδνηι.
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῶι χεῖρασ ἔχοντεσ. 594 cf. h. Ap. 196
τῶν δ' αἳ μὲν λεπτὰσ ὀθόνασ ἔχον, οἳ δὲ χιτῶνασ

---

571. ὁμαρτῆι] ἀμ. A (cf. § 319).

576. παρὰ] διὰ Zen.

— ῥαδινὸν Aristoph. Ar. (?)] ῥαδαλὸν Zen. (*mobilem* interpretatus), ῥοδανὸν Ω.

579. σμερδαλέω] κυανέω (κυάνεον cod.) Zen.

— δύ' ἐν] δύο Ar. in altera ed. (cf. Θ 337), ἐνὶ Nauck.

— πρώτηισι] sic Ar., -οισι A.

581. τὸν] τοὺσ Zen.

584. αὔτωσ] οὕτωσ Zen. (cf. vs. 338).

— ἐνδίεσαν] ἐνίεσαν (ἐν-ἵεσαν) Agar coll. Ξ 181 et subst. ἐνεσίηισι. Cf. § 199.

587—589. Versus nudi et exiles postmodo inserti videntur (sic Heyne). Recentem originem prodit οἰῶν bisyllabum (cf. § 74), μέγαν autem mirum locum obtinet nec non suspicionem movet ἰδέ sub versus finem collocatum (cf. § 325[1]).

591. οἷον] οἷον olim quidam (ne mortalem deus imitatus esse videretur veriti scilicet!).

592. Ἀριάδνηι] sic Ar., Ἀριδήληι Zen.? In schol. A est αριηδνι, in schol. T ἀρπήδηι; utrumque aut ex ΑΡΙΗΔΝΗΙ (Ἀριήδνηι, sic Bekker) nasci potuit facillime, aut ex ΑΡΙΔΗΛΗΙ, quam Zenodoti fuisse lectionem coniecit vWilamowitz coll. Hesych. („Ἀριδήλαν τὴν Ἀριάδνην Κρῆτεσ") et inscr.

595. λεπτὰσ] καλὰσ l. a. in A.

'ϝεῖατ' ἐϋ νητούσ, ἦκα στίλβοντασ ἐλαίωι·
καί ῥ' αἳ μὲν καλὰσ στεφάνασ ἔχον, οἳ δὲ μαχαίρασ
εἶχον χρυσείασ ἐξ ἀργυρέων τελαμώνων.
οἳ δ' ὁτὲ μὲν 'θρέξασκον ἐπισταμένοισι πόδεσσι
ῥεῖα μάλ', ὡσ ὅτε τισ τροχὸν ἄρμενον ἐν παλάμηισι 600ᵇ = ε 234
ἑζόμενοσ κεραμεὺσ πειρήσεται, αἴ κε θέηισι·
ἄλλοτε δ' αὖ 'θρέξασκον ἐπὶ στίχασ ἀλλήλοισι.
πολλὸσ δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλοσ 604-606 = δ 17
604ᵃ sq.ᵇ τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺσ 604 = ν 27 [sqq.
μολπῆσ ἐξάρχοντε ἐδίνευον κατὰ μέσσουσ.
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένοσ Ὠκεανοῖο 607ᵇ = Φ 195
ἄντυγα πὰρ πυμάτην σάκεοσ πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ ἔτευξε σάκοσ μέγα τε στιβαρόν τε,
'τεῦξ' ἄρα ϝοι θώρηκα φαεινότερον πυρὸσ αὐγῆσ,
'τεῦξε δέ ϝοι κόρυθα βριαρὴν κροτάφοισ' ἀραρυῖαν,
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκε, 612 cf. Ι 187
'τεῦξε δέ ϝοι κνημῖδε ϝεανοῦ κασσιτέροιο.

αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα 'κάμε κλυτὸσ ἀμφιγυήεισ,
μητρὸσ Ἀχιλλῆοσ 'θῆκε προπάροιθεν ἀείρασ.
Ἡ δ' ἴρηξ ὣσ ἆλτο κατ' Οὐλύμπου νιφόεντοσ,
τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα. 617 cf. 137

604ᵇ μετὰ δέ σφιν ἐμέλπετο θεῖοσ ἀοιδὸσ
φορμίζων·

---

597 sq. Aristoph. om., Ar. —
597. καί ῥ' ... καλὰσ] τῶν δ' ... πλεκτὰσ Poll. V 96.
599 et 602. 'θρέξασκον] ῥήξασκον Naber (coll. vs. 571). Cf. Ν 409.
604. τερπόμενοι] sic Ar., -νοσ G Athen. 181 d.
604ᵇ sq. Verba μετὰ δέ σφιν ἐμέλπετο θεῖοσ ἀοιδὸσ φορμίζων (= δ 17 sq.) addit Athen. l. l., „ab Aristarcho deleta" perhibens. Et utilia potius esse ea verba quam molesta apparet coll. ψ 133; temere tamen contendisse videtur Athenaeus, lecta esse aliquando in libris melioribus. Similis controversia est Ι 458—461.
605. κατ' αὐτοὺσ] καθ' αὐτοὺσ Diodorus apud Athen. 180 e.
606. ἐξάρχοντε H] ἐξάρχοντεσ Ar. Ω, ἐξάρχοντοσ poscit Athenaeus l. l. (item δ 19); cuiusmodi genitivus absolutus non est dictionis epicae.
610 sq. θώρηκα — δέ ϝοι] haec verba spuria ducimus (cf. Π 133 sq.). Emblema prodit ieiuna verborum compositio: 'τεῦξ' ἄρα ϝοι ...'τεῦξε δέ ϝοι. Quibus verbis deletis eodem ordine enumerantur arma quo supra vs. 458 sq.ᵃ 406ᵇ.
613. *κνημῖδε] -δασ Ω.
617. μαρμαίροντα ... φέρουσα] καλὰ φέρουσα ... ἄνακτοσ (ut vs. 137) pap. 107 T l. a. in A.

μήνιδοσ ἀπόρρησισ.

Τ 'Ηὼσ μὲν κροκόπεπλοσ ἀπ' Ὠκεανοῖο ῥοάων 1a = Θ 1
ὤρνυθ', ἵν' ἀθανάτοισι φάοσ φέροι ἠδὲ βροτοῖσι· 2 = Λ 2
ἣ δ' εἰσ νῆασ ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
ηὗρε δὲ Πατρόκλωι περικείμενον ὃν φίλον υἱὸν
κλαίοντα λιγέωσ· πολέεσ δ' ἀμφ' αὐτὸν ἑταῖροι
'μύρονθ'. ἣ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἔν τ' ἄρα ϝοι 'φῦ χειρὶ ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 7 = Ζ 253
„τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ 8a cf. Ι 254; 8b = Σ 112
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ϝιότητ' ἐδαμάσθη·
τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο
καλὰ μάλ', οἷ' οὔ πώ τισ ἀνὴρ ὤμοισ' ἐφόρησε.“
ὣσ ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
πρόσθεν Ἀχιλλῆοσ· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνασ δ' ἄρα πάντασ ἕλε τρόμοσ, οὐδέ τισ ἔτλη 14b cf. Χ 136
ἄντην εἰσϝιδέμεν, ἀλλ' ἔτρεσαν. αὐτὰρ Ἀχιλλεὺσ
ὡσ ἔϝιδ', ὣσ μιν μᾶλλον ἔδυ χόλοσ, ἐν δέ ϝοι ὄσσε 16a cf. Ξ 294; 16b sq. cf. 365 sq.
δϝεινὸν ὑπὸ βλεφάρων ὡσ εἰ σέλασ ἐξεφάενθεν·
'τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶ ϝῆισι 'τετάρπετο δαίδαλα λεύσσων,
αὐτίκα μητέρ' ἑϝὴν ϝέπεα πτερόεντα προσηύδα·
„μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸσ 'πόρεν οἷ' ἐπιϝεικὲσ
ϝέργ' ἔμεν' ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι·
νῦν δ' ἤ τοι μὲν ἐγὼ θωρήξομαι. ἀλλὰ μάλ' αἰνῶσ 23b sq.a = Κ 38 sq.
δέδϝια μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπουσ ὠτειλὰσ
εὐλὰσ ἐγγείνωνται, ἀϝεικίσσωσι δὲ νεκρόν — 26b = Π 545
ἐκ δ' αἰὼν πέφαται — κατὰ δὲ χρόα πάντα σαπήηι.“

---

4. ὃν] neglecto ϝ, ἀγλαὸν υἱόν Brandreth, alii alia.
9. θεῶν ϝιότητ'(ι)] θεοῦ ὑπὸ χειρὶ l. a. in T.
14. τρόμοσ] φόβοσ Zen. (cf. Σ 247).
17. βλεφάρων] -ροισ l. a. in A.
— ἐξεφάενθεν] sic (-ανθεν) Ar., -άνθη H (cf. μ 441).
18. ἐν χείρ. ἔχων] ὀφθαλμοῖσιν ὁρῶν l. a. ant.
20. μητέρ' ἑϝὴν] -ρα ἣν Ω (numeris durioribus).
22. ἄνδρα] ἀνδρὶ Naber (coll. Σ 362 μέλλει βροτὸσ ἀνδρὶ τελέσσαι).
24. δέδϝια § 168] δείδω.
— ἄλκιμον] ἀγλαὸν l. a. in T.
26. ἐγγείνωνται] ἐγγίνωνται Zen. (aperto vitio).

τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτισ ἀργυρόπεζα· 28 = Σ 127
„τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων! 29 cf. Σ 463
τῶι μὲν ἐγὼ πειρήσω ἀλαλκέμεν' ἄγρια φῦλα,
μυίασ, αἵ ῥά τε φῶτασ Ἄρηϊ φατοὺσ κατέδουσι. 31 cf. Ω 415
εἴ περ γὰρ κέεταί γε τελεσφόρον εἰσ ἐνιαυτόν, 32b = δ 86 κ 467 ξ 292 ο 230
αἰεὶ τῶι γ' ἔσται χρὼσ ἔμπεδοσ ἢ καὶ ἀρείων.
ἀλλὰ σύ γ' εἰσ ἀγορὴν καλέσασ ἥρωασ Ἀχαιούσ, 34 cf. α 272
μῆνιν ἀποϝϝειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
αἶψα μάλ' εἰσ πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν." 36b cf. Ι 231
ὣσ ἄρα φωνήσασα μένοσ πολυθαρσὲσ ἐνῆκε, 37b cf. Ρ 156
Πατρόκλωι δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν 38 sq. cf. 347 sq. 38b cf. ε 93 h. Ven. 207
'στάξε κατὰ ῥινῶν, ἵνα ϝοι χρὼσ ἔμπεδοσ εἴη.

αὐτὰρ ὃ 'βῆ παρὰ θῖνα θαλάσσησ δῖοσ Ἀχιλλεὺσ
σμερδαλέα ϝιϝάχων, ὦρσεν δ' ἥρωασ Ἀχαιούσ.
καί ῥ' οἵ περ τὸ πάροσ γε νεῶν ἐν ἀγῶν' ἐμένεσκον, 42 cf. Π 239
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρεσ,
καὶ μὲν τοὶ τότε γ' εἰσ ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺσ 45b sq. = Σ 247 sq.
ἐξεφάνη, δϝηρὸν δὲ μάχησ ἐπέπαυτ' ἀλεγεινῆσ.
τὼ δὲ δύω σκάζοντε 'βάτην Ἄρεοσ θεράποντε,
Τυδεΐδησ τε μενεπτόλεμοσ καὶ δῖοσ Ὀδυσσεύσ,
ἔγχε' ἐρειδομένω, ἔτι γὰρ ἔχον ἕλκεα λυγρά· 49a cf. Ξ 38
κὰδ δὲ μετὰ πρώτηι ἀγορῆι ἵζοντο κιόντε.
αὐτὰρ ὃ δεύτατοσ ἦλθε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
ἕλκοσ ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῆι ὑσμίνηι
οὖτα Κόων Ἀντηνορίδησ χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντεσ ἀϝολλίσθησαν Ἀχαιοί,
τοῖσι δ' ἀνιστάμενοσ μετέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„Ἀτρεΐδη, ἦ' ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον

29. τοι A T] μοι C (cf. η 208).
32. εἴ Harl.] ἤν Ω (cf. § 326).
— κέεται § 169] κήται vel κεῖται.
33. γ' G H] δ' A C T (cf. Χ 420).
39. In H additur versus: ἣ μὲν ἄρ' ὣσ ἔρξασ' ἀπέβη Θέτισ ἀργυρόπεζα.
40. θαλάσσησ] πουλάρκησ l. a. in A.
41. ἥρωασ] ἐρίηρασ Rhianus Aristoph.
43. κυβερνῆται καί] *κυβερνητῆρεσ (coll. θ 557)?
45. μὲν τοί § 18] μὴν οἵ.
49. ἕλκεα] ἄλγεα D L.
50. κιόντε L] -ντεσ Ω.
56. ἄρειον] ὄνειαρ Chia, ἄμεινον Mass.

ἔπλετο, σοὶ καὶ ἐμοί, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ
θυμοβόρωι ἔριδι 'μενεήναμεν εἵνεκα κούρησ.
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν' Ἄρτεμισ ἰῶι,
ἤματι τῶι ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσασ·
τῶι κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδασ 61ᵇ = Ω 738 χ 269
δυσμενέων ὑπὸ χερσίν, ἐμεῖ' ἀπομηνίσαντοσ. 62ᵇ = Ι 426
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον! αὐτὰρ Ἀχαιοὺσ
δϝηρὸν ἐμῆσ καὶ σῆσ ἔριδοσ μνήσεσθαι ὀίω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 65 sq. = Σ 112 sq.
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντεσ ἀνάγκηι.
νῦν δ' ἦ τοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέωσ αἰεὶ μενεαινέμεν'· ἀλλ' ἄγε θᾶσσον
ὄτρυνον πόλεμόνδε κάρη κομάοντασ Ἀχαιούσ, 69 cf. Β 443 / 69ᵃ cf. Β 589
ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίοσ ἐλθών, 70 cf. Υ 352
αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαυέμεν'· ἀλλά τιν' οἴω
ἀσπασίωσ αὐτῶν γόνυ καμψέμεν', ὅσ κε φύγηισι 72 sq. cf. Η 118 sq.
δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεοσ ἡμετέροιο."
74 ὣσ ἔφαθ', οἳ δ' ἐχάρησαν ἐυκνήμιδεσ Ἀχαιοί. 74ᵃ = Γ 111
76 τοῖσι δὲ καὶ μετέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
78 „ὦ φίλοι, ἥρωεσ Δαναοί, θεράποντεσ Ἄρηοσ, 78 = Β 110
ἑσταότοσ μὲν καλὸν ἀκουέμεν', οὐδὲ ϝέϝοικε
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένωι περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῶι ὁμάδωι πῶσ κέν τισ ἀκούσαι
ἢ ϝείποι; βλάβεται δὲ λιγύσ περ ἐὼν ἀγορητήσ. 82ᵇ = Β 246
Πηλεΐδηι μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἳ ἄλλοι

---

75 μῆνιν ἀπειπόντοσ μεγαθύμου Πηλεΐωνοσ.
77 αὐτόθεν ἐξ ἕδρησ, οὐδ' ἐν μέσσοισιν ἀναστάσ· 77ᵃ cf. ν 56 φ 420

---

62. ἀπομηνίσαντοσ] ἐπιμ. Chamaeleon (cf. Η 280).
67. ἦ τοι] ἤδη Apoll. lex.
— μὲν ἐγὼ παύω] παύω μὲν ἐγὼ C.
— με] σὲ Apoll. lex.
70. ἀντίοσ] -ον Ar. ACDT. Cf. Υ 352 et Ζ 54.
71. ἀλλά τιν' οἴω] *ἤ τιν' ὀίω? Cf. § 295.
72. ἀσπασίωσ] cf. Σ 270.
— αὐτῶν] αὐτὸν D Z.
— ὅσ] αἴ L.
73. δηΐου] φεύγων A C.
75. Del. Bentley.
— ἀπειπόντοσ] sic (neglecto ϝ) Ar., ἀποειπόντοσ l. a. ant. (metro invito).
76 sq. Sic Aristoph. Ar., τοῖσι δ' ἀνιστάμενοσ μετέφη κρείων Ἀγαμέμνων, | μῆνιν ἀναστενάχων καὶ ὑφ' ἕλκεοσ ἄλγεα πάσχων Mass. et Chia, τοῖσι δ' ἀνιστάμενοσ μετέφη κρείων Ἀγαμέμνων Zen. omisso vs. 77, quem ab Aristarcho perperam insertum (immo toleratum!) statuit Alexander Cotyaënsis.
79. μὲν] γὰρ Apoll. lex.
80. -νωι περ ἐόντι Ar.] -νον περ ἐόντα Ω.

σύνθεσθ' Ἀργέιοι, μῦθόν τ' εὖ γνῶτε ϝέκαστοσ.
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔϝειπον,
καί τέ μ' ἐνεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιόσ εἰμι,
ἀλλὰ Ζεὺσ καὶ Μοῖρα καὶ ἱεροφοῖτισ Ἐρινύσ,
οἵ τέ μοι ἐν ἀγορῆι φρεσὶν ἔμβαλον ἄγριον ἄτην
ἤματι τῶι ὅτ' Ἀχιλλῆοσ γέρασ αὐτὸσ ἀπέϝραν.
ἀλλὰ τί κε ῥέξαιμι; θεὸσ διὰ πάντα τελευτᾶι.
πρέσβα Διὸσ θυγάτηρ Ἀάτη, ἣ πάντασ ἄασσε, 91 cf. 129
ὀλομένη. τῆι μέν θ' ἁπαλοὶ πόδεσ, οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει
βλάπτουσ' ἀνθρώπουσ· κατὰ δ' οὖν ἕτερόν γ' ἐπέδησε.
καὶ γάρ δή νύ ποτε Ζῆν' ἄασε, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυσ ἐοῦσα δολοφροσύνηι ἀπάτησε
ἤματι τῶι ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐυστεφάνωι ἐνὶ Θήβηι.
ἤ τοι ὅ γ' εὐχόμενοσ μετέφη πάντεσσι θεοῖσι·
„κέκλυτέ μοι, πάντεσ τε θεοὶ πᾶσαί τε θέαιναι, 101 sq. = Θ 5 sq.
ὄφρ' ἔσπω τά με θυμὸσ ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φάοσδε μογοστόκοσ Εἰλείθυια 103ᵇ = Π 187
ἐκφανέει, ὃσ πᾶσι περικτιόνεσσι ϝανάξει, 104 cf. 109
τῶν ἀνδρῶν γενεῆσ οἵ θ' αἵματοσ ἐξ ἐμοῦ εἰσι'
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 106 = Ξ 300

---

86. μ' ἐνεικείεσκον] με νεικείουσιν Chia Aristoph.

87. ἱεροφοῖτισ] (ε)ἰαροπῶτισ olim quidam (*sanguinis avidam* e dialecto Cypria interpretati).

88. φρεσὶν — ἄτην] ἀάτην φρεσὶν ἔμβαλον αἰνήν Sittl.

89. ἀπέϝραν § 150ᵇ] ἀπηύρων.

90. θεὸσ ... τελευτᾶι] θεοὺσ ... τελευτᾶι vel τέτυκται l. a. ant.

91. ἄασσε Brandreth] ἀᾶται. Aoristus est vs. 94; medium hinc alienum. Praeterea cf. Θ 237 κ 68 λ 61 φ 296. Similes errores sunt vs. 95 et 129.

92. τῆι] sic Ar., τῆσ L Plat. Conv. 195*d*.
— οὔδει] οὔδεοσ Plat. l. l.

93. ἀλλ' ἄρα ἥ γε] ἠερίη δὲ Bentley.
94. Ar. —
95. Ζῆν'] Ζεὺσ Ar.
— ἄασε Brandreth] ἄσατο (cf. vs. 91).
96. φασ'] φαμεν Chia.
— ἀλλ' ἄρα] ἀλλά νυ Aristoph.
97. δολοφροσύνηι Vrat.] -νηισ Ω.
101. μοι § 92] μευ.
102. ἔσπω § 246] εἴπω.
— στήθεσσιν ἀνώγει] -σσι κελεύει T.
104. ἐκφανέει ὃσ πᾶσι Menrad] ἐκφανεῖ ὃσ πάντεσσι Ω, ἐκφανέει πάντεσσι ... ϝανάσσειν Agar (sic vero ἄνδρα languet). Cf. § 147.
105. θ'] om. Aristoph.
— ἐμοῦ l. a. Apoll. Pron. 137] ἐμεῦ (i. e. ἐμί', § 92) Ω. Cf. ν 130 et Ξ 118.

,ψευστήσεισ οὐδ' αὖτε τέλοσ μύθωι ἐπιθήσεισ. 107ᵇ cf. Υ 369
εἶ δ' ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσι ϝανάξειν, 109 cf. 104
ὅσ κεν ἐπ' ἤματι τῶιδε πέσηι μετὰ ποσσὶ γυναικὸσ
τῶν ἀνδρῶν οἳ σῆσ ἐξ αἵματόσ εἰσι γενέθλησ.'
ὣσ ἔφατο· Ζεὺσ δ' οὔ τι δολοφροσύνην ἐνόησε,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα 'λίπε ῥίον Οὐλύμποιο, 114 = Ξ 225
καρπαλίμωσ δ' ἵκετ' Ἄργοσ Ἀχαιικόν, ἔνθ' ἄρ' ἐϝείδει
ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο.
ἡ δ' ἐκύει φίλον υἱόν, ὃ δ' ἕβδομοσ εἱστήκει μείσ·
ἐκ δ' ἄγαγεν πρὸ φάοσδε καὶ ἠλιτόμηνον ἐόντα, 118ᵃ cf. Π 188
Ἀλκμήνησ δ' ἀπέπαυσε τόκον, 'σχέθε δ' Εἰλειθυίασ.
αὐτὴ δ' ἀγγέλλουσα Δία Κρονίωνα προσηύδα·
,Ζεῦ πάτερ, ἀργικέραυνε, ϝέποσ τί τοι ἐν φρεσὶ θήσω. 121ᵇ = h. Ap. 257
ἤδη ἀνὴρ γέγον' ἐσθλόσ, ὃσ Ἀργείοισι ϝανάξει,
Εὐρυσθεύσ, Σθενέλοιο πάϊσ Περσηϊάδαο,
σὸν γένοσ· οὔ ϝοι ἀϝεικὲσ ἀνασσέμεν' Ἀργείοισι.'
ὣσ 'φάτο, τὸν δ' ἄχοσ ὀξὺ κατὰ φρένα 'τύψε βαθεῖαν.
αὐτίκα δ' εἷλ' Ἀάτην κεφαλῆσ λιπαροπλοκάμοιο
χωόμενοσ φρεσὶ ϝῆισι, καὶ ὤμοσε καρτερὸν ὅρκον 127ᵇ cf. δ 253 κ 381 μ 298 σ 55
μή ποτ' ἐσ Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτισ ἐλεύσεσθαι Ἀάτην, ἣ πάντασ ἄασσε. 129 cf. 91
ὣσ ϝειπών ϝ' ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντοσ 130ᵇ = υ 113
χειρὶ περιστρέψασ· τάχα δ' ἵκετο ϝέργ' ἀνθρώπων.
τὴν αἰεὶ 'στενάχεσχ', ὅθ' ἑϝὸν φίλον υἱὸν ὁρῶιτο
ϝέργον ἀϝεικὲσ ἔχοντα ὑπ' Εὐρυσθῆοσ ἀέθλων. 133ᵇ = Θ 363
ὣσ καὶ ἐγών, ὅτε δ' αὖτε μέγασ κορυθαιόλοσ Ἕκτωρ
Ἀργείουσ ὀλέκεσκεν ἐπὶ πρυμνῆισι νέεσσι, 135ᵇ = Ν 333

---

107. ψευστήσεισ] sic Ar., ψεύστησ εἷσ (i. e. ἴσσ', § 302) quidam olim (ut Ω 261). Cf. Κ 88 β 170 ι 179, 187 ϑ 223 κ 300, 344 π 66 ω 201 Ar. Eccl. 568 al.

108. εἶ δ'] cf. Α 302.

117. μεῖσ] μήσ Chia.

120. ἀγγέλλουσα Nauck] ἀγγελέουσα. Cf. Β 436 et 514. Futuri participium alibi in H. nonnisi *movendi* verbis iungi annotavit Ar.

124. ἀνασσέμεν'] neglecto ϝ, Bentley ἐν Ἀ. ϝανάσσειν.

— Ἀργείοισι] ἀνθρώποισι l. a. ant.

129. ἄασσε Brandreth] ἀᾶται (cf. vs. 91).

130. ϝ'] addidit Brandreth.

135. ὀλέκεσκεν] ὤλεσκεν C T (cf. λ 586 et v. l. ξ 220).

οὐ ᾿δυνάμην λελαθέσθ' ἄτησ, ᾗ πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην καί μοι φρένασ ἐξέλετο Ζεύσ, 137a = I 119; 137b cf. Z 234
ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα. 138 cf. I 120
ἀλλ' ὄρσο πτόλεμόνδε, καὶ ἄλλουσ ὄρνυθι λαούσ· 139a = Δ 264; 139b = O 475
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν', ὅσσα τοι ἐλθὼν
χθιζὸσ ἐνὶ κλισίηισιν ὑπέσχετο δῖοσ Ὀδυσσεύσ.
εἰ δ' ἐθέλεισ, ἐπίμεινον, ἐπειγόμενόσ περ Ἄρηοσ· 142 cf. α 309; 142a=ρ277h.Cer.
δῶρα δέ τοι θεράποντεσ ἐμῆσ παρὰ νηὸσ ἑλόντεσ 142b = 189 [160
οἴσουσ', ὄφρα ϝίδηαι ὅ τοι μενοϝεικέα δώσω."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 145 sq. = 198 sq.
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, 146 = B 434
δῶρα μέν, αἴ κ' ἐθέληισθα, παρασχέμεν', ὡσ ἐπιϝεικέσ,
ἤ τ' ἐχέμεν· πάρα σοί. νῦν δὲ μνησώμεθα χάρμησ
αἶψα μάλ', — οὐ γὰρ χρὴ κλοτοπευέμεν' ἐνθάδ' ἐόντασ
οὐδὲ διατρίβειν, ἔτι γὰρ μέγα ϝέργον ἄρεκτον, —
ὥσ κέ τισ αὖτ' Ἀχιλῆα μετὰ πρώτοισι ϝίδηται
ἔγχεϊ χαλκείωι Τρώων ὀλέκοντα φάλαγγασ. 152b = Θ 279
ὧδέ τισ ὑμείων μεμνημένοσ ἀνδρὶ μαχέσθω."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πολύμητισ Ὀδυσσεύσ·
„μὴ δ' οὕτωσ, ἀγαθόσ περ ἐών, θεοϝείκελ' Ἀχιλλεῦ, 155 = Λ 181
νήστιασ ὄτρυνε προτὶ Ϝίλιον υἷασ Ἀχαιῶν
Τρωσὶ μαχεσσομένουσ· ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπισ, εὖτέ κε πρῶτον ὁμιλήσωσι φάλαγγεσ
ἀνδρῶν, ἐν δὲ θεὸσ πνεύσηι μένοσ ἀμφοτέροισι.
ἀλλὰ πάσασθαι ἄνωχθι θοῆισ' ἐπὶ νηυσὶν Ἀχαιοὺσ
σίτου καὶ ϝοίνοιο· τὸ γὰρ μένοσ ἐστὶ καὶ ἀλκή. 161 = I 706
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐσ ἠέλιον καταδύντα 162 cf. Λ 601
ἄκμηνοσ σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ περ γὰρ θυμῶι γε μενοινάει πολεμίζειν,

136—140. In Gen. obelos habent (A quid habuerit nescimus; in quo codice postmodo suppleti sunt vs. 126—326), quos ad vs. 137—141 probabiliter refert Nicole; hos igitur versus Ar. damnabat?

136. ᾗι] ἥν D.

137. μοι Gen.] μευ vel με Ω. Cf. § 92 et Σ 311.

— Dioscurides sec. Eust. addebat: ἢ οἴνωι μεθύων ἢ μ' ἔβλαψαν θεοὶ αὐτοί (cf. I 119).

139. ὄρσο Nauck] ὄρσευ (πολ.). Cf. § 117.

140. ἐγὼν ὅδε] ἐγὼ τάδε Syr.

143. παρὰ] ἀπὸ Syr. T.

145. ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ] ἠμείβετ' ἔπειτα ποδάρκησ δῖοσ Syr. (ut Λ 121 Σ 181).

149 sq. Post vs. 153 collocat Peppmueller.

153. ὧδέ] ὧσ δέ D.

ἀλλά τε λάθρηι γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμόσ, βλάβεται δέ τε γούνατ' ἰόντι. 166ᵇ = ν 34
ὃσ δέ κ' ἀνὴρ ϝοίνοιο κορεσσάμενοσ καὶ ἐδωδῆσ
ἀνδράσι δυσμενέεσσι πανημέριοσ πολεμίζηι, 168ᵇ cf. Δ 279
θαρσαλέον νύ ϝοι ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα
πρὶν κάμνει, πρὶν πάντασ ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι 171ᵇ sq.ᵃ = Ψ 158 sq.
ὁπλεῖσθαι· τὰ δὲ δῶρα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω εἰσ μέσσην ἀγορήν, ἵνα πάντεσ Ἀχαιοὶ
ὀφθαλμοῖσι ϝίδωσι, σὺ δὲ φρεσὶ σῆισιν ἰανθῆισ.
ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργεῖοισιν ἀναστάσ,
μή ποτε τῆσ εὐνῆσ ἐπιβήμεναι ἠδὲ μιγῆναι· 176 = Ι 133, 275
καὶ δὲ σοὶ αὐτῶι θυμὸσ ἐνὶ φρεσὶν ἵλαοσ ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίηισ' ἀρεσάσθω
πιείρηι, ἵνα μή τι δίκησ ἐπιδευὲσ ἔχηισθα.
Ἀτρεΐδη, σὺ δ' ἔπειτα δικαιότεροσ καὶ ἐπ' ἄλλωι
ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τισ πρότεροσ χαλεπήνηι." 183 cf. Ω 369 π 72
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσασ·
ἐν μοίρηι γὰρ πάντα διίκεο καὶ κατέλεξασ.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμόσ,
οὐδ' ἐπιορκήσω πρὸσ δαίμονοσ. αὐτὰρ Ἀχιλλεὺσ
τῆοσ μιμνέτω αὖθι, ἐπειγόμενόσ περ Ἄρηοσ· 189ᵇ = 142
μίμνετε δ' ἄλλοι πάντεσ ἀϝολλέεσ, ὄφρα κε δῶρα
ἐκ κλισίησ ἔλθηισι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῶι τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω· 192ᵇ cf. Κ 61
κρινάμενοσ κούρητασ ἀριστῆασ Παναχαιῶν

---

177 ἣ θέμισ ἐστί, ϝάναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν· 177 = Ι 276 cf. Ι 134

---

172. ὁπλεῖσθαι Knight] ὅπλεσθαι (item Ψ 159). Cf. ζ 73 et § 144. Similis error est η 107; utriusque causa fuit prisca litteratura.

174. σῆισιν] ἧισιν T.

— ἰανθῆισ] *χαρήηισ? Cf. Ν 609 et § 122. Verbo ἰαίνειν dativus nonnisi h. l. additur (cf. ω 382).

176. τῆσ] cf. Ι 133.

177. Om. Syr. D H L. Heyne del. vs. 176 sq., vHerwerden vs. 175—177 (sic vero etiam 178 delendus).

189. *τῆοσ μιμνέτω αὖθι] μιμνέτω αὖθι τέωσ Ar. (?), μιμνέτω αὖθι τέωσ περ vel γε Ω, μιμνέτω αὐτόθι τῆοσ Hermann. Cf. § 323³.

190. κε] τὰ Syr.

νηὸσ ἐμῆσ πάρα δῶρα ἐνεικέμεν', ὅσσ' Ἀχιλῆϊ
χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκασ.
Ταλθύβιοσ δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν 196b = Λ 229
κάπρον ἑτοιμασάτω, ταμέμεν Διί τ' Ἠελίωι τε."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 198 sq. = 145 sq
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφείλετε ταῦτα πένεσθαι,
ὁππότε τισ μετὰ παυσωλὴ πολέμοιο γένηται
καὶ μένοσ οὐ τόσον ἧισιν ἐνὶ στήθεσσιν ἐμοῖσι.
νῦν δ' οἳ μὲν κέαται δεδαϊγμένοι, οὓσ ἐδάμασσε
Ἕκτωρ Πριαμίδησ, ὅτε ϝοι Ζεὺσ κῦδοσ ἔδωκε, 204 = Θ 216 Λ 300
ὑμεσ δ' εἰσ βρωτὺν ὀτρύνετον. ἦ κεν ἐγώ γε
νῦν μὲν ἀνώγοιμι πτολεμιζέμεν' υἷασ Ἀχαιῶν
νήστιασ ἀκμήνουσ, ἅμα δ' ἠελίωι καταδύντι 207b = Λ 592
τεύξασθαι μέγα δόρπον, ἐπεὶ τισαίμεθα λώβην.
πρὶν δ' οὔ πωσ κεν ἐμοί γε φίλον κατὰ λαιμὸν ἱείη
οὐ πόσισ οὐδὲ βρῶσισ ἑταίρου τεθνηῶτοσ,
ὅσ μοι ἐνὶ κλισίηι δεδαϊγμένοσ ὀξέι χαλκῶι 211b cf. Σ 236
κεῖται, ἀνὰ πρόθυρον τετραμμένοσ, ἀμφὶ δ' ἑταῖροι
μύρονται· τῶι μ' οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλε,
ἀλλὰ φόνοσ τε καὶ αἷμα καὶ ἀργαλέοσ στόνοσ ἀνδρῶν."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πολύμητισ Ὀδυσσεύσ·
„ὦ Ἀχιλεῦ, Πηλῆοσ υἱέ, μέγα φέρτατ' Ἀχαιῶν, 216 = Π 21
κρείσσων ἐσσ' ἐμέθεν καὶ φέρτεροσ οὐκ ὀλίγον περ
ἔγχε', ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην [440
πολλόν, ἐπεὶ πρότεροσ 'γενόμην καὶ πλείονα ϝοῖδα. 219 cf. Ν 355 Φ
τῶι τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσι. 220a = Ψ 591

194. *νηὸσ ἐμῆσ πάρα δῶρα] δῶρα ἐμῆσ (δ' ἐμῆσ T, θοῆσ Strab. 467) παρὰ νηὸσ. Neque δέ particula locum hic habet neque hiatus -ᾰ ἐ- tolerabilis est.

— ἐνεικέμεν'] ἐνεγκέμεν Syr., ἐνεγκεῖν Strab. l. l.; ceteris locis (Σ 334 σ 286) est ἐνεῖκαι.

195. χθιζὸν] -ζοί Strab. l. l.

— τε] δὲ D T.

200. ὀφείλετε § 278] ὀφέλλετε.

202. τόσον ἧισιν . . . ἐμοῖσι] *τόσσον μοι . . . ἔησι? Cf. § 302.

205. δ' εἰσ] δὲ l. a. ant.

— ὀτρύνετον] -τε la Roche.

— κεν § 326] τ' ἄν.

208. τεύξασθαι B] -ξεσθαι Ω, -χεσθαι Naber (cf. Β 486).

— et 223. ἐπεὶ § 326] ἐπὴν.

211. κλισίηι] -ηισ Syr.

213. τῶι μ' Cant.] τό μοι Ω. Cf. § 96.

216. Πηλῆοσ] cf. Λ 489.

— φέρτατ'] κῦδοσ Plut. Mor. 35 b.

218. γε Syr. T] κε(ν) Ω.

αἶψα δὲ φυλόπιδοσ πέλεται κόροσ ἀνθρώποισι,
ἧσ τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸσ ἔχευε,
ἄμητοσ δ' ὀλίγιστοσ, ἐπεὶ κλίνηισι τάλαντα
Ζεύσ, ὅσ τ' ἀνθρώπων ταμίησ πολέμοιο τέτυκται. 224 = Δ 84
γαστέρι δ' οὔ πωσ ἔστι νέκυν πενθῆσαι Ἀχαιούσ. 225^{a} cf. ρ 286
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσιν· πότε κέν τισ ἀναπνεύσειε πόνοιο! 227^{b} cf. Ο 235
ἀλλὰ χρὴ τὸν μὲν καταθαπτέμεν', ὅσ κε θάνηισι,
νηλέα θυμὸν ἔχοντασ, ἐπ' ἤματι δακρύσαντασ·
ὅσσοι δὲ πτολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιοσ καὶ ἐδητύοσ, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲσ αἰεί,
ϝεσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τισ ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενοσ ἰσχαναέσθω, — 234^{b} cf. η 161
ἥδε γὰρ ὀτρυντύσ· κακὸν ἔσσεται, ὅσ κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων, — ἀλλ' ἀθρόοι ὁρμηθέντεσ
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα." 237 = Δ 352
ἦ, καὶ Νέστοροσ υἷασ ὀπάσσατο κυδαλίμοιο,
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον.
'βὰν δ' ἴμεν' εἰσ κλισίην Ἀγαμέμνονοσ Ἀτρεΐδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθοσ ἔεν 'τετέλεστό τε ϝέργον· 242 cf. h. Merc. 46
ἑπτὰ μὲν ἐκ κλισίησ τρίποδασ 'φέρον, οὔσ ϝοι ὑπέστη,
αἴθωνασ δὲ λέβητασ ἐϝείκοσι, δώδεκα δ' ἵππουσ, 244 = Ι 123
ἐκ δ' ἄγον αἶψα γυναῖκασ ἀμύμονα ϝέργα ϝιδυίασ 245^{b} = Ι 128
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρηιον,
χρυσοῦ δὲ στήσασ Ὀδυσεὺσ δέκα πάντα τάλαντα 247 cf. Ω 232
ἦρχ', ἅμα δ' ἄλλοι δῶρ' ἔφερον κούρητεσ Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσηι ἀγορῆι 'θέσαν, ἂν δ' Ἀγαμέμνων

---

221. δὲ Syr.] τε Ω (ut α 392).
222. ἧσ] ἧι vHerwerden.
230. δὲ § 326] δ' ἂν (πολ.) Ω, δ' αὖ Brandreth.
235 sq. Parenthesin indicavit Cauer et post ὀτρυντύσ cum T interpunxit.
236. νηυσὶν ἔπ'] νηυσὶ παρ' C.
239. Μέγητα] Μέγην τε Zen. (cf. Ν 692).
242. ἔπειθ' ἅμα] ἔπειτά γε Plut. Mor. 782 c. — τε Passow] δὲ. Cf. ε 262.
245. ἄγον αἶψα] ἄγεν ἑπτὰ Zen. (si fides scholio Aristonici ad Ι 131). — ἀμύμονα] -νασ D (cf. Ι 128).
246. ἕπτ' ... ὀγδοάτην] ἕξ .. ἑβδομάτην Zen.; cf. Ι 130 et Ζ 319.
248. Ἀχαιῶν] -οί Strab. 467.

ἵστατο· Ταλθύβιος δὲ θεῶι ἐναλίγκιος αὐδὴν
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρεΐδης δὲ ϝερυσσάμενος χείρεσσι μάχαιραν, 252 sq. = Γ 271 sq.
ἥ ϝοι πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄορτο,
κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχὼν
ηὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόθι ἥατο σιγῆι
Ἀργέιοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρ' ἔϝειπε ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 257ᵃ cf. Π 513 257ᵇ=Γ364 [279
„ϝίστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, 258-260 cf. Ι 276-
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν 258 = ρ 155 τ 303 258ᵃ=ξ158 [υ230
ἀνθρώπους τίνυνται, ὅ τίς κ' ἐπίορκον ὀμόσσηι, 258ᵇ = Ψ 43
μὴ μὲν ἐγὼ κούρηι Βρισηΐδι χεῖρ' ἐπένεικα,
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίηισιν ἐμῆισι.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν [β 197, 223 λ 280
πολλὰ μάλ', ὅσσα διδοῦσιν ὅ τίς σφ' ἀλίτηται ὀμόσσας." 265ᵃ cf. α 278, 292
ἦ, καὶ ἀπὸ στόμαχον κάπρου 'τάμε νηλέι χαλκῶι. 266 cf. Γ 292
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς εἰς μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς 268ᵃ = Γ 378
ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
„Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα.
οὐ κεν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσι
Ἀτρεΐδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
ἦγεν ἐμεῖ' ἀϝέκοντος ἀμήχανος· ἀλλά ποθι Ζεὺς
ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα." 275 = Β 381
ὣς ἄρ' ἐφώνησεν, 'λῦσεν δ' ἀγορὴν αἰψηρήν. 276 = β 257
οἳ μὲν ἄρ' ἐσκίδναντο ϝεὴν ἐπὶ νῆα ϝέκαστος, 277=Ψ3 cf. β258 277ᵇ = Ω 1

---

262 οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τι' ἄλλου·

---

251. χερσὶ GL] χειρὶ Ω. Cf. Α 585.
253. ἄορτο DL] ἄωρτο Ω (cf. § 256).
255. ἄρα] ἅμα Syr.
— αὐτόθι Bekker] αὐτόφιν. Cf. Μ 302.
257. εὐξάμενος] εὐχόμενος l. a. ant. Cf. Ι 509.
259. αἵ] οἵ olim quidam (pro copula igitur habentes τε et Plutonem Proserpinamque invocari rati; cf. Γ 279).
260. τίνυνται] τίνυσθε Nauck.
261. ἐπένεικα DH] ἐπενεῖκαι Ω.
262. Del. Nauck; interpolatorem arguit vox πρόφασιν nonnisi h. l. et vs. 302 (ubi vid.) apud H. obvia.
265. ὅ τις] ὅ τι OT, ὅστις GH, ὅ τε la Roche, item μ 40 π 228 υ 188 χ 415 ψ 66.
266. στόμαχον] σφάραγον Pausan. V 24 § 11.
272. ὤρινε] ὤτρυνε O.
276. αἰψηρήν] sic Ar. vs. parall., λαιψ. D (ut Κ 358 al.). Certum est αἰψ. δ 103.

δῶρα δὲ Μυρμιδόνεσ μεγαλήτορεσ ἀμφεπένοντο,
'βὰν δ' ἐπὶ νῆα φέροντεσ Ἀχιλλῆοσ θείοιο·
καὶ τὰ μὲν ἐν κλισίηισ' ἔθεσαν, κάθεσαν δὲ γυναῖκασ,
ἵππουσ δ' εἰσ ἀγέλην ἔλασαν θεράποντεσ ἀγαυοί.
Βρισηῒσ δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέηι Ἀφροδίτηι, 282ᵇ cf. Ω 699
ὡσ 'ϝίδε Πάτροκλον δεδαϊγμένον ὀξέι χαλκῶι, 283ᵇ = Σ 236
ἀμφ' αὐτῶι χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε 284 cf. ϑ 527
στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
'ϝεῖπε δ' ἄρα κλαίουσα γυνὴ ϝεϝικυῖα θεῆισι· 286ᵇ = Δ 638
„Πάτροκλ', ἐμοὶ δϝειλῆι πλεῖστον κεχαρισμένε θυμῶι, 287 cf. Δ 608
ζωιὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ'· ὥσ μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί. 290 cf. Hes. Theog. 800
ἄνδρα μέν, ὧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιοσ δεδαϊγμένον ὀξέι χαλκῶι, 292ᵇ = Σ 236
τρεῖσ τε κασιγνήτουσ, τούσ μοι μία 'γείνατο μήτηρ, 293 cf. Γ 238
κηδείουσ, οἳ πάντεσ ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ' ἔασκεσ, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺσ Ἀχιλλεὺσ 295ᵃ cf. δ 805
ἔκτεινεν, 'πέρσεν δὲ πόλιν θείοιο Μύνητοσ,
κλαιέμεν', ἀλλά μ' ἔφασκεσ Ἀχιλλῆοσ θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν δ' ἐνὶ νηυσὶ
εἰσ Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
τῶι σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί." [cf. Τ 338 etc.
ὣσ ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ, 301 = Χ 515 Ω 746
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη. 301ᵃ = Χ 487 cf. Ω 760
αὐτὸν δ' ἀμφὶ γέροντεσ Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὃ δ' ἠρνέετο στοναχίζων·
„λίσσομαι, εἴ τισ ἐμοί γε φίλων ἐπιπείθεθ' ἑταίρων, 305 cf. Ρ 154
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτοσ

---

280. κάθεσαν L] κάθισαν Ω. Cf. § 220².

282—302. Postmodo additi videntur (del. Heyne); nam nisi resecentur, αὐτόν vs. 303 ad Achillem satis apte referri vix potest. Recentis dictionis sunt ἰκέλη, εἶδον, ἑκάστη neglecto ϝ vs. 282, 292, 302, Πάτρο̆κλ' vs. 287 (cf. § 25 et Dionys. Thrax § 10, Hephaest. de Metr. I 3), αὐτῶν pro αὐτάων vs. 302 (cf. § 56); praeterea vix est epicum πρόφασισ vs. 302 (cf. vs. 262), versus autem 298 ex Ι 336 male intellecto videtur fluxisse.

288. σε ἔλειπον] σ'(ε) ἔλιπον D H, σέ γ' ἔλειπον Bentley, an *κατέλειπον (coll. λ 86)?

295—300 in T Gen. obelos habent (cf. vs. 136-140): Ar. —?

298. δ' D H] τ' Ω (propter subiectum mutatum non recte).

305. ἐμοί γε] ἐμεῖο H.

ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχοσ αἰνὸν ἱκάνει,
δύντα δ' ἐσ ἠέλιον μενέω καὶ τλήσομαι ἔμπησ."
ὣσ ϝειπὼν ἄλλουσ μὲν ἀπεσκέδασεν βασιλῆασ,
δοιὼ δ' Ἀτρεΐδα 'μενέτην καὶ δῖοσ Ὀδυσσεὺσ
Νέστωρ τ' Ἰδομενεύσ τε γέρων θ' ἱππηλάτα Φοίνιξ,
τέρποντεσ πυκινῶσ ἀκαχημένον· οὐδέ τι θυμῶι
'τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντοσ.
μνησάμενοσ δ' ἀδινῶσ ἀνενείκατο 'φώνησέν τε·
„ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸσ ἐνὶ κλισίηι λαερὸν παρὰ δεῖπνον ἔθηκασ
αἶψα καὶ ὀτραλέωσ, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα. 318 = Θ 516
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένοσ, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιοσ καὶ ἐδητύοσ, ἔνδον ἐόντων,
σῆι ποθῆι. οὐ μὲν γάρ κε κακώτερον ἄλλο πάθοιμι,
οὐδέ κεν εἰ τοῦ πατρὸσ ἀποφθιμένοιο πυθοίμην,
ὅσ ποθι νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει 323b cf. Π 11
χήτεϊ τοιοῦδ' υἷοσ, — ὃ δ' ἀλλοδαπῶι ἐνὶ δήμωι 324a cf. Ζ 463
εἵνεκα ῥιγεδανῆσ Ἑλένησ Τρωσὶν πολεμίζω, —
ἠὲ τὸν ὃσ Σκύρωι μοι ἐνὶ τρέφεται φίλοσ υἱόσ,
εἴ ποθ' ἔτι ζώει γε Νεοπτόλεμοσ θεοϝειδήσ. 327a cf. δ 833 λ 458
πρὶν μὲν γάρ μοι θυμὸσ ἐνὶ στήθεσσ' ἐϝεϝόλπει 328b = ν 328 φ 96
οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεοσ ἱπποβότοιο 329 sq.a cf. Ι 246
αὐτόθ' ἐνὶ Τροίηι, σὲ δέ τε Φθίηνδε νέεσθαι·
ὡσ ἄν μοι τὸν παῖδα θοῆι ἐνὶ νηῒ μελαίνηι 331b cf. γ 61 κ 332
Σκυρόθεν ἐξαγάγοισ καί ϝοι δείξειασ ἕκαστα,

---

311. τ' L] om. Ω.
316. λαερὸν § 20] λαρὸν.
319. ἐμὸν] ἐμοὶ T.
321. κε Madvig] τι.
322. *οὐδέ κεν εἰ] οὐδ' εἴ κεν Ω, οὐδ' εἰ καὶ Duentzer.
326. τὸν] quo referatur accusativus non habet; quod interpolationis videtur esse indicium (Knight damnat vs. 326—337). Achillis filius in Iliade praeterea nonnisi Ω 467 commemoratur (*puer* utrobique dictus) et a prisca fabula, cui *iuvenis* est ipse Thetidis filius, quam maxime alienus est, cum praesertim poeta sumserit id, quod ipsa fert res: bellum nuper exarsisse (cf. Β 134 sq.). Recentem manum produnt etiam quae de Peleo annis confecto dicuntur.
327. Aristoph. Ar. —
— Νεοπτόλεμοσ θεοϝειδήσ] Πυρῆσ ἐμόσ, ὃν κατέλειπον quidam olim.
331. ὡσ ἄν] ὄφρα σύ vHerwerden.
— ἐνὶ A C] ἐν B, σὺν Ω (ut Λ 179 γ 61, 302 al., i. e. *navem secum habens*; qualibus locis *eundi* additum est verbum, non *ducendi*; solus ω 427 quadamtenus conferri potest).
332. ἕκαστα] neglecto ϝ.

κτῆσιν ἐμὴν δμῶάσ τε καὶ ὑψερεφὲσ μέγα δῶμα. 333 = η 225 τ 526
ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν
τεθνάμεν', ἤ ποθι τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι
γήραΐ τε στυγερῶι, καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται."
ὣσ ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο γέροντεσ, 338 cf. 301 Χ 429
μνησάμενοι τὰ ϝέκαστοσ ἐνὶ μεγάροισιν ἔλειπον.
μυρομένουσ δ' ἄρα τούσ γε ϝιδὼν ἐλέησε Κρονίων, 340 cf. Ρ 441
αἶψα δ' Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα· 341 = Θ 351
„τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸσ ἑῆοσ.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ 'μέμβλετ' Ἀχιλλεύσ;
κεῖνοσ ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων 344b = Σ 3
ἧσται ὀδυρόμενοσ ἕταρον φίλον· οἳ δὲ δὴ ἄλλοι
οἴχονται κατὰ δεῖπνον, ὃ δ' ἄκμηνοσ καὶ ἄπαστοσ. [353 sq.
ἀλλ' ἴθι ϝοι νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν 347 sq. cf. 33 sq.,
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸσ ἵκηται." 347 cf. h. Ap. 124
ὣσ ϝειπὼν ὤτρυνε πάροσ μεμαυῖαν Ἀθήνην· 349 = Δ 73
ἣ δ' ἅρπηι ϝεϝικυῖα τανυπτέρυγι λιγυφώνωι
οὐρανοῦ ἒκ κατέπαλτο δι' αἰθέροσ, — αὐτὰρ Ἀχαιοὶ
αὐτίκ' ἐθωρήσσοντο κατὰ στρατόν, — ἣ δ' Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν 353 sq. cf. 347 sq.
'στάξ', ἵνα μή μιν λιμὸσ ἀτερπὴσ γούναθ' ἵκοιτο,
αὐτὴ δὲ πρὸσ πατρὸσ ἐρισθενέοσ πυκινὸν δῶ
ὤιχετο.
τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡσ δ' ὅτε ταρφειαὶ νιφάδεσ Διὸσ ἐκποτάονται,
ψυχραί, ὑπὸ ῥιπῆσ αἰθρηγενέοσ Βορέαο, 358 cf. Ο 171
ὣσ τότε ταρφειαὶ κόρυθεσ λαμπρὸν γανάουσαι
νηῶν ἒκ 'φορέοντο καὶ ἀσπίδεσ ὀμφαλόεσσαι.

---

361 θώρηκέσ τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.

---

333. δμῶασ] sic Ar., δμωιάσ quidam olim (cf. η 225 τ 121).
339. ἔλειπον Harl.] -πε Ω; cf. λ 234.
342. ἑῆοσ] ἑοῖο Zen. (cf. Α 393).
346. κατὰ Cobet] μετὰ. Cf. Α 424.
351. κατέπαλτο] κατέαλτο? Cf. Θ 85.
354. ἵκοιτο] ἵκηται Ω. Cf. Ν 711.
355. δὲ] δ' αὖ l. a. in A.

357. ἐκποτάονται § 191] -τέονται.
361. Ante vs. 360 collocatum habet L (ἐκ νηῶν ἐφέροντο scribens). Recentiorem aetatem prodit thoracum mentio (cf. vs. 371 et Π 133 sq.); adi. κραταιγύαλοσ † (cf. Ο 530).
— In Bodl. Barocc. 203 additur versus: ἐκ νηῶν ἐχέοντο, βοὴ δ' ἄσβεστοσ ὀρώρει (= Π 267).

αἴγλη δ' οὐρανὸν ἷκε, 'γέλασσε δὲ πᾶσα περὶ χθὼν 362ᵇ cf. h. Ap. 118 Cer. 14ᵃ
χαλκοῦ ὑπ' ἀστεροπῆσ· ὑπὸ δὲ κτύποσ ὤρνυτο ποσσὶ 363ᵃ cf. Δ 83
ἀνδρῶν. ἐν δὲ μέσοισι 'κορύσσετο δῖοσ Ἀχιλλεύσ. [164
τοῦ καὶ ὀδόντων μὲν καναχὴ 'πέλετ' ἠδέ ϝοι ὄσσε 365ᵃ cf. Hes. Scut. 365ᵇ sq. cf. 16 sq.
'λαμπέσθην ὡσ εἴ τε πυρὸσ σέλασ, ἐν δέ ϝοι ἦτορ
'δῦν' ἄχοσ ἄτλητον· ὃ δ' ἄρα Τρωσὶν μενεαίνων
'δύσετο δῶρα θεοῦ, τά ϝοι Ἥφαιστοσ 'κάμε τεύχων.
κνημῖδασ μὲν πρῶτα περὶ κνήμισιν ἔθηκε 369 sq. = Γ 330 sq.
καλάσ, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίασ,
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφοσ ἀργυρόηλον 372 sq. = Γ 334 sq.
χάλκεον, αὐτὰρ ἔπειτα σάκοσ μέγα τε στιβαρόν τε
εἵλετο, τοῦ δ' ἀπάνευθε σέλασ 'γένετ' ἠύτε μήνησ.
ὡσ δ' ὅτε κ' ἐκ πόντοιο σέλασ ναύτηισι φανήηι
καιομένοιο πυρόσ, — τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι
σταθμῶι ἐν οἰοπόλωι, — τοὺσ δ' οὐκ ἐθέλοντασ ἄελλαι
πόντον ἔπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσι,
ὣσ ἀπ' Ἀχιλλῆοσ σάκεοσ σέλασ αἰθέρ' ἵκανε 379 cf. Σ 214
καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρασ
κρατ' ἔθετο βριαρήν· ἣ δ' ἀστὴρ ὣσ ἀπέλαμπε, 381ᵇ cf. Ζ 295ᵃ
ἵππουρισ τρυφάλεια, περισσείοντο δ' ἔθειραι 382ᵇ cf. Χ 315
χρύσεαι, ἃσ Ἥφαιστοσ ἵει λόφον ἀμφὶ θαμείασ. 383 = Χ 316
'πειρήθη δ' ἑϝέ' αὐτοῦ ἐν ἔντεσι δῖοσ Ἀχιλλεύσ,
εἴ ϝοι ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῶι δ' ἠΰτε πτέρ' ἐγίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.

---

371 δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε. 371 = Γ 332

---

363. ὑπ' ἀστεροπῆσ D] ὑπὸ στερ. Ω. Cf. Κ 154.

365—368. Ar. —, postea tamen obelos delevit teste Dionysio Sidonio. Quod ubi refert Didymus, addit in libro Ammonii „de Aristarchi editione altera" nihil legi de sententia Aristarchi ita mutata. Quapropter Lehrs suspicatus est emissa demum editione altera Aristarchum sensisse et in scholis professum esse hos versus immerito a se esse damnatos.

365. *'πέλετ' ἠδέ] πέλε τὼ δέ. Cf. § 275.

371. Cf. Π 133 sq.

374. Del. Heyne, interpolatorem prodi ratus voce μήνηι pro σελήνηι adhibita (cf. tamen Ψ 455).

379. σάκεοσ] κεφαλῆσ Syr. (ut Σ 214).

382. ἔθειραι] neglecto ϝ. Quae suam vim servavit littera in versu, unde haec sunt desumta, Χ 315 (item Π 795 h. Ven. 229 h. VI 4); quapropter Heyne del. vs. 382 sq. (cf. Π 133 sq.).

384. δ' ἑϝέ' (δὲ ϝέ') Heyne] δ' ἕο Ar. Ω, δ' ἑοῦ Zen. (cf. Β 239), δὲ οἷ Ptolemaeus Ascal. T G. Cf. § 92 sq.

385. γυῖα] δῶρα G H L.

386 ἠΰτε G H] ηὖτε A, εὖτε Ar. C D (cf. Γ 10), αὖτε libri „αἱ ἀπὸ τῶν πόλεων" T, item Ar. postmodo teste schol. A (mente supplens ὡσ, ut Ξ 499), ὥσ τε Aristophanes.

ἐκ δ' ἄρα σύριγγοσ πατρώϊον ἐσπάσατ' ἔγχοσ,
βριθύ, μέγα, στιβαρόν· τὸ μὲν οὐ'δύνατ' ἄλλοσ Ἀχαιῶν — 388-391 = Π 141 sqq.
παλλέμεν', ἀλλά μιν οἶοσ ἐπίστατο πῆλαι Ἀχιλλεύσ,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλωι 'πόρε Χίρων
Πηλίου ἐκ κορυφῆσ, φόνον ἔμμεναι ἡρώεσσι.
ἵππουσ δ' Αὐτομέδων τε καὶ Ἄλκιμοσ ἀμφιέποντεσ
'ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν, ἐν δὲ χαλινοὺσ
γαμφηλῆισ' ἔβαλον, κατὰ δ' ἡνία 'τεῖναν ὀπίσσω — 394ᵇ cf. Γ 261
κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσε,
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενοσ 'βῆ Ἀχιλλεύσ,
τεύχεσι παμφαίνων ὥσ τ' ἠλέκτωρ Ὑπερίων. — 398ᵃ = Z 513; 398ᵇ cf. h. Ap. 369
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸσ ἑϝοῖο· — 399ᵇ = Ψ 402
„Ξάνθε τε καὶ Βαλίοσ, τηλεκλυτὰ τέκνα Ποδάργησ, — 400 cf. Π 149 sq.
ἄλλωσ δὴ φράζεσθε σαωσέμεν' ἡνιοχῆα
ἂψ Δαναῶν ἐσ ὅμιλον, ἐπεί κ' ἄομεν πολέμοιο,
μηδ' ὡσ Πάτροκλον 'λίπετ' αὐτόθι τεθνηῶτα.“
τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδασ αἰόλοσ ἵπποσ
Ξάνθοσ, ἄφαρ δ' ἤμυσε καρήατι, — πᾶσα δὲ χαίτη — 405ᵇ sq. cf. P 439 sq.
ζεύγλησ ἐξεριποῦσα παρὰ ζυγὸν οὖδασ ἵκανε, —
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενοσ Ἥρη·
„καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ.
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἧμεσ
αἴτιοι, ἀλλὰ θεόσ τε μέγασ καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρηι βραδυτῆτί τε νωχελίηι τε
Τρῶεσ ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὄχ' ἄριστοσ, ὃν ἠύκομοσ 'τέκε Λητώ, — 413ᵇ = λ 318 cf. Δ 36

---

387. ἐσπάσατ' ἔγχοσ] ἔγχοσ [ϝ]ἔρυσσε Apoll. lex.

388—391. Ar. —— (cf. Π 141 sqq.).

390. (')πόρε Syr. L] τάμε Ω, Ar. utrumque (cf. Π 143).

391. ἐκ κορυφῆσ] cf. Π 144.

392. ἀμφιέποντεσ] -ντε C.

393. (')ζεύγνυον] sic Ar., -σαν G. Cf. Ω 783 et § 145.

398. παμφαίνων] λαμπόμενοσ D T.

400. Βαλιοσ § 51] Βαλίε.

401. σαωσέμεν'] si sanum (cf. I 230), aor. mixti (§ 152) est infinitivus, nimis tamen similis futuro, ut ποιησέμεν' φ 399; -σάμεν' in promptu est, sed -σάμεναι (-ν') nusquam traditus extat terminus. Cf. B 544.

402. Δαναῶν] λαῶν l. a. in A.

— κ' ἄομεν § 192[1]] χ' ἵωμεν. Cf. N 315.

407 et 416 sq. Ar ——. Cum toto loco (vs. 404—424) aut servandi videntur aut damnandi.

413. ὄχ' ἄριστοσ] cf. Δ 288.

ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδοσ ἔδωκε. 414 = Σ 456
νῶϊ δὲ καί κεν ἅμα πνοιῆι Ζεφύροιο θέοιμεν,
ἣν περ ἐλαφροτάτην φασ' ἔμμεναι. ἀλλὰ σοὶ αὐτῶι
μόρσιμόν ἐστι θεῶι τε καὶ ἀνέρι ϝῖφι δαμῆναι.“
ὣσ ἄρα φωνήσαντοσ Ἐρινύεσ ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσασ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 419 = Π 48
„Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νυ τὸ ϝοῖδα καὶ αὐτόσ, ὅ μοι μόροσ ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸσ καὶ μητέροσ· ἀλλὰ καὶ ἔμπησ
οὐ λήξω πρὶν Τρῶασ ἅδην ἐλάσαι πολέμοιο.“ 423 cf. Ν 315
ἦ ῥα, καὶ ἐν πρώτοισ' ἰάχων ἔχε μώνυχασ ἵππουσ.

θεομαχία.

Υ ὣσ οἳ μὲν παρὰ νηυσὶ κορωνίσι 'θωρήσσοντο
ἀμφὶ σέ, Πηλέοσ υἱέ, μάχησ ἀκόρητον, Ἀχαιοί,
Τρῶεσ δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωισμῶι πεδίοιο. 3 = Λ 56
Ζεὺσ δὲ Θέμιστ' ἐκέλευσε θεοὺσ ἀγορήνδε καλέσσαι 4 cf. β 69
κρατὸσ ἄπ' Οὐλύμποιο πολύπτυχοσ· ἣ δ' ἄρα πάντηι
φοιτήσασ' ἐκέλευσε Διὸσ πρὸσ δῶμα νέεσθαι.
οὔτε τισ οὖν ποταμῶν ἀπέεν, νόσφ' Ὠκεανοῖο, [97
οὔτ' ἄρα νυμφάων, αἵ τ' ἄλσεα καλὰ νέμονται 8 cf. ζ 123 h. Ven.
καὶ πηγὰσ ποταμῶν καὶ πίσεα ποιήεντα. 9 = ζ 124 h. Ven. 99
ἐλθόντεσ δ' εἰσ δῶμα Διὸσ νεφεληγερέταο
ξεστῆισ' αἰθούσηισιν ἐνίζανον, ἃσ Διὶ πατρὶ 11ᵃ cf. Ζ 243
Ἥφαιστοσ 'ποίησε ϝιδυίηισι πραπίδεσσι. 12 = Α 608
ὣσ οἳ μὲν Διὸσ ἔνδον ἀγηγέρατ', οὐδ' ἐνοσίχθων
'νηκούστησε θεᾶσ, ἀλλ' ἐξ ἁλὸσ ἦλθε μετ' αὐτούσ,

---

421. τὸ Brandreth] τοι, Hoffmann εὖ νυ καὶ αὐτὸσ ϝοῖδα coll. Θ 32.

423. ἐλάσαι] ἆσαι Cobet (in schedis). Cf. Ν 315.

424. ἰάχων] neglecto ϝ, Bentley ἐν πρώτοισιν ἰὼν (coll. Δ 341 Μ 315) Ω.

2. ἀκόρητον] -τοι H, utrumque Nicanor (et Ar.?).

3. In C manus recens addidit versum: Ἕκτορι θωρήσσοντο μετὰ πρώτοισιν ἰόντι.

5. πολύπτυχοσ § 88[10]] -πτύχου.

11. ἐνίζανον Ar. A C] ἐφίζανον Zen. D T, ἐνίδρανον (quod ne Graecum quidem) olim alii, quasi *sedilia* essent αἴθουσαι.

12. 'ποίησε ϝιδυίῃσι] sic (-σεν ἰδ.) Ar., ποίησ' εἰδυίῃσι Syr.

14. αὐτούσ] ἄλλουσ Axt, quod langueat pronomen (cf. § 98); sed et *maris* mentio aevum recentius videtur prodere (cf. Ν 12 sqq.).

ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸσ δ' ἐξείρετο βουλήν· 15^b = γ 127
„τίπτ' αὖτ', ἀργικέραυνε, θεοὺσ ἀγορήνδ' ἐκάλεσσασ;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεισ;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμόσ τε δέδηε.“
τὸν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ·
„ἔγνωσ, ἐνοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενοσ, ἔνθ' ὁράων φρένα τέρψομαι· οἳ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρα χ' ἵκησθε μετὰ Τρῶασ καὶ Ἀχαιούσ,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπηι νόοσ ἐστὶ ϝεκάστου.
εἰ γὰρ Ἀχιλλεὺσ οἶοσ ἐπὶ Τρώεσσι μάχηται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑπετρομέεσκον ὁρῶντεσ·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶσ,
δέδϝια μὴ καὶ τεῖχοσ ὑπὲρ μόρον ἐξαλαπάξηι.“
ὣσ ἔφατο Κρονίδησ, πόλεμον δ' ἀλίαστον ἔγειρε. 31^b cf. *Β* 797
'βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντεσ·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰσ Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχοσ ἠδ' ἐριούνησ 34 cf. *ϑ* 322
Ἑρμείασ, ὃσ ἐπὶ φρεσὶ πευκαλίμηισι κέκασται,
Ἥφαιστοσ δ' ἅμα τοῖσι 'ἤιε σθένεϊ βλεμεαίνων 36^b = Θ 337
χωλεύων, ὑπὸ δὲ κνῆμαι 'ρώοντο ϝαραιαί· 37 = Σ 411
εἰσ δὲ Τρῶασ Ἄρησ κορυθαιόλοσ, αὐτὰρ ἅμ' αὐτῶι
Φοῖβοσ ἀκερσεκόμησ ἠδ' Ἄρτεμισ ἰοχέαιρα
Λητώ τε Ξάνθοσ τε φιλομμειδήσ τ' Ἀφροδίτη.
ἧοσ μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τῆοσ Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺσ 42^b sq. = Σ 247 sq.

---

26. *οἶοσ ἐπὶ*] *οἴοισι* vHerwerden.
— *μάχηται* C[1]] *μαχεῖται Ω*. Cf. § 147.
28. *τε*] *τι* Ar.
30. *δέδϝια* § 168] *δείδω*.
— *ὑπὲρ μόρον*] una voce proferebant Aristoph. Ar. alii propter *ὑπέρμορα Β* 155, item *Φ* 517 *α* 34 *ε* 436. Disiunxit Heliodorus. Cf. *ὑπὲρ μοῖραν* (*Υ* 336) et *ὑπὲρ αἶσαν* (*Γ* 59 al.).
— Teste scholio T olim quidam addebant: *οὐ μέν τοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆοσ | Ἴλιον ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον | πέρσει* (*ἔπερσε* cod., corr. Spitzner) *δουράτεοσ ἵπποσ καὶ μῆτισ Ἐπειοῦ*.
35. *ἐπὶ* A Syr.] *ἐνὶ Ω* (cf. *Λ* 55).
— *κέκασται* Ar. H] *-το Ω*, cuiusmodi varietas frequens est (cf. *Ε* 789).
40. *φιλομμειδήσ*] *Διὸσ θυγάτηρ* l. a. in T (cf. *Φ* 416).
42. *τῆοσ*] *τόφρα δ'* l. a. in A.

ἐξεφάνη, δϝηρὸν δὲ μάχησ ἐπέπαυτ' ἀλεγεινῆσ·
Τρῶασ δὲ τρόμοσ αἰνὸσ ὑπήλυθε γυῖα ϝέκαστον, 44 = Η 215
δεδϝιότασ, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεσι λαμπόμενον, βροτολοιγῶι ϝῖσον Ἄρηϊ. 46ᵇ = Μ 130
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔρισ κρατερὴ λαοσσόοσ, αὖε δ' Ἀθήνη,
στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεοσ ἐκτόσ, 49ᵇ = Ι 67
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀύτει.
αὖε δ' Ἄρησ ἑτέρωθεν ἐρεμνῆι λαίλαπι ϝῖσοσ, 51ᵇ cf. Μ 375
ὀξὺ κατ' ἀκροτάτησ πόλιοσ Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνηι.
ὣσ τοὺσ ἀμφοτέρουσ μάκαρεσ θεοὶ ὀτρύνοντεσ
σύμβαλον, ἐν δ' αὐτοῖσ' ἔριδ' ἐρρήγνυντο βαρεῖαν.
δϝεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντεσ δ' ἐσσείοντο πόδεσ πολυπίδακοσ Ἴδησ
καὶ κορυφαί, Τρώων τε πόλισ καὶ νῆεσ Ἀχαιῶν.
ἔδϝεισεν δ' ὑπένερθε ϝάναξ ἐνέρων Ἀϝιδωνεύσ,
δϝείσασ δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή ϝοι ὕπερθε
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
ϝοικία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
σμερδαλέ' ἠερόεντα, τά τε στυγέουσι θεοί περ.
τόσσοσ ἄρα κτύποσ ὦρτο θεῶν ἔριδι ξυνιόντων. 66 cf. Hes. Theog. 705
ἤ τοι μὲν γὰρ ἔναντα Ποσειδάωνοσ ἄνακτοσ
ἵστατ' Ἀπόλλων Φοῖβοσ ἔχων ἰὰ πτερόεντα,

---

50. *ἄλλοτε μακρὸν ἀύτε' ἐπ' ἀκτάων ἐριδούπων? Sic in suum locum cedit ἐριδούπων, quae adiectivi ἐριγδ- forma brevior exitui hexametri est propria, vitatur pedis 4[i] conformatio durior (cf. § 3), solvi potest ἀύτει (cf. § 191).

51. αὖε] ὦρτο Strab. 597.

53. θέων] sic Herodicus (-dianus?), θεῶν Ar., pro loci nomine habens θεῶν Καλλικολώνην. Similis est controversia Ω 74. Cf. Υ 151.

54. ὀτρύνοντεσ] -αντεσ A[1].

57. ἔνερθε] νέρθε Ar. Syr. (cf. Ο 225).

59. πολυπίδακοσ] sic Ar., -δάκου D. Cf. Ξ 157.

62. ἆλτο] ὦρτο Mass.

— ἴαχε] neglecto ϝ.

65. ἠερόεντα Doederlein] εὐρώεντα. Integrum extat adiectivum Ο 191, item l. a. ψ 322, corrupta lectio redit κ 512 ψ 322 ω 10 h. Cer. 482 Hes. Oper. 153 (εὐρόεντα M[1]) Theog. 731, 739, 810, eamque Sophocles secutus esse videtur Ai. 1167 (et 1190?).

67. ἄνακτοσ] neglecto ϝ.

68. ἰὰ πτερόεντα] confluxitne ex ἰοὺσ -ντασ (Bothe) et βέλεα -ντα (Bentley)? Neutrum †.

ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπισ Ἀθήνη·
Ἥρηι δ' ἀντέστη χρυσηλάκατοσ κελαδεινὴ — 70ᵇ cf. Π 183
Ἄρτεμισ ἰοχέαιρα, κασιγνήτη ϝεκάτοιο·
Λητόι δ' ἀντέστη σῶκοσ ἐριούνιοσ Ἑρμῆσ,
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγασ ποταμὸσ βαθυδίνησ, — 73ᵇ = Φ 329
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρεσ δὲ Σκάμανδρον.

Αἰνείου καὶ Ἀχιλλέωσ μονομαχία.

ὣσ οἳ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺσ
Ἕκτοροσ ἄντα μάλιστα 'λιλαίετο δύμεν' ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ϝε θυμὸσ ἄνωγε
αἵματοσ ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν. — 78 = Ε 289
Αἰνείαν δ' ἰθὺσ λαοσσόοσ ὦρσεν Ἀπόλλων
ἀντία Πηλεΐωνοσ, ἐνῆκε δέ ϝοι μένοσ ἠΰ·
υἱέι δὲ Πριάμοιο Λυκάονι 'ϝείσατο φωνήν.
τῶι μιν ϝεισάμενοσ προσέφη Διὸσ υἱὸσ Ἀπόλλων· — 82 = Π 720
„Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, — 83ᵃ = Ε 180
ἃσ Τρώων βασιλεῦσιν ὑπίσχεο ϝοινοποτάζων, — 83ᵇ = Ν 219; 83-85 cf. Θ 229-234
Πηλεΐδα' Ἀχιλῆοσ ἐναντίβιον πολεμίξειν;“ — 85ᵇ = Φ 477 cf. Κ 451 Ο 179
τὸν δ' αὖτ' Αἰνείασ ἀπαμειβόμενοσ προσέϝειπε·
„Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεισ
ἀντία Πηλεΐωνοσ ὑπερθύμοιο μάχεσθαι; — 88 = 333
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεοσ ἄντ' Ἀχιλῆοσ
στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρ' ἐφόβησε
ἐξ Ἴδησ, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρηισι,
'πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺσ
'ρύσατο, ὅσ μοι ἐνῶρσε μένοσ λαιψηρά τε γοῦνα. — 93 cf. Χ 204
ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆοσ καὶ Ἀθήνησ,
ἥ ϝοι πρόσθεν ἰοῦσα 'τίθει φάοσ ἠδ' ἐκέλευε

---

77. (ϝ)ε Ar. B C] γε Ω. Insolito loco collocatum est pronomen (cf. § 329). — ἄνωγε § 225] ἀνώγει.

82. ϝεισάμενοσ § 212[3]] ἐεισάμενοσ.

84. ὑπίσχεο] sic Ar., ὑπέσχεο Syr. (cf. Ψ 195).

85. πολεμίξειν A D] -ζειν Ω. Cf. Ο 179 et Β 436.

89. νῦν] δή D G.

93. (')ρύσατο Knight] εἰρύσατ'. Cf. vs. 194 et § 164. — ἐνῶρσε T] ἐπῶρσε Ω (item Χ 204). Cf. ἐν μένοσ ὦρσε Θ 335 et similia Ξ 522 (ἐν φόβον ὄρσηι) Σ 218 (ἐν . . . ὦρσε κυδοιμόν) Υ 110 (ἔμπνευσε μένοσ μέγα).

ἔγχεϊ χαλκείωι Λέλεγασ καὶ Τρῶασ ἐναίρειν.
τῶι οὐκ ἔστ' Ἀχιλῆοσ ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα τίσ γε θεῶν, ὃσ λοιγὸν ἀμύνει. 98 cf. Ε 603
καὶ δ' ἄλλωσ τοῦ γ' ἰθὺ βέλοσ πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸσ ἀνδρομέοιο διελθέμεν'. εἰ δὲ θεόσ περ
ϝῖσον τείνειεν πολέμου τέλοσ, οὔ κέ με ῥεῖα
νικήσει', οὐδ' εἰ παγχάλκεοσ εὔχεται εἶναι."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ Διὸσ υἱὸσ Ἀπόλλων· 103 = Η 37
„ἥρωσ, ἀλλ' ἄγε καὶ σὺ θεοῖσ' αἰειγενέτηισι
εὔχεο· καὶ δὲ σέ φασι Διὸσ κούρησ Ἀφροδίτησ
ἐκγεγάμεν, κεῖνοσ δὲ χερείονοσ ἐκ θεοῦ ἐστί. 106 cf. Φ 190 sq.
ἡ μὲν γὰρ Διόσ ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντοσ.
ἀλλ' ἰθὺσ φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν 108ᵇ sq. cf. Φ 338 sq.
λευγαλέοισι ϝέπεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι."
ὣσ ϝειπὼν ἔμπνευσε μένοσ μέγα ποιμένι λαῶν, 110 = Ο 262
'βῆ δὲ διὰ προμάχων κεκορυθμένοσ αἴθοπι χαλκῶι. 111 = Δ 495
οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊσ λευκώλενον Ἥρην
ἀντία Πηλεΐωνοσ ἰὼν ἀνὰ ϝουλαμὸν ἀνδρῶν·
ἡ δ' ἄμυδισ καλέσασα θεοὺσ μετὰ μῦθον ἔϝειπε·
„φράζεσθον δὴ σφῶϊ, Ποσείδαον καὶ Ἀθήνη,
ἐν φρεσὶν ὑμετέρηισιν, ὅπωσ ἔσται τάδε ϝέργα· 116ᵇ = Β 252
Αἰνείασ ὅδ' ἔβη κεκορυθμένοσ αἴθοπι χαλκῶι 117ᵇ = Δ 495
ἀντία Πηλεΐωνοσ, ἀνῆκε δὲ Φοῖβοσ Ἀπόλλων.
ἀλλ' ἄγεθ', ἡμέσ πέρ μιν ἀποτροπάωμεν ὀπίσσω
αὐτόθεν, ἤ τισ ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
παρσταίη, δοίη δὲ κράτοσ μέγα, μηδέ τι θυμοῦ
δευέσθω, ἵνα ϝείδηι ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάροσ περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα

98. Om. D.
— τισ Bentley] εἷσ (item Ε 603).
99. ἰθὺ] ἰθὺσ(!) Syr. A B C G Gen.
101. με ῥεῖα Knight] μάλα ῥέα Ω (μάλα ῥεῖα G L). Cf. Μ 381 et § 8, 88[1].
102. νικήσει' Bentley] -σει vel -σηι. Cf. Ι 386.
103. Διὸσ υἱὸσ] ἑκάεργοσ Syr.[2] (ut Ρ 585; cf. Ο 253).
114. ἡ ... μετὰ μῦθον ἔϝειπε] sic (ἔειπε) Ar.· ἡ ... ῥεῖα ζώοντασ Zen. (male ἡ pro ἔφη. cf. § 306ᵇ).
— καλέσασα] sic Zen., στήσασα Ar.
119. ἀποτροπάωμεν § 251] -τρωπῶμεν.
121. θυμοῦ Koeppen] θυμῶι. Absolutum δεύομαι non est alibi (cf. Γ 294 Ν 786 η 73 al.; Α 134 Χ 492 mente supplendus est genitivus).

πάντεσ δ' Οὐλύμποιο κατήλθομεν ἀντιάοντεσ
τῆσδε μάχησ, ἵνα μή τι μετὰ Τρώεσσι πάθηισι
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἅσσα ϝοι Αἶσα 127b = η 197a
γιγνομένωι ἐπένησε λίνωι, ὅτε μιν 'τέκε μήτηρ. 128 cf. Ω 210 η 198
εἰ δ' Ἀχιλεὺσ οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆσ,
δϝείσετ' ἔπειθ', ὅτε κέν τισ ἐναντίβιον θεὸσ ἔλθηι
ἐν πολέμωι· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργέσ." 131 cf. π 161 / 131b cf. η 201
τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἥρη, μὴ χαλέπαινε παρ' ἐκ νόον· οὐδέ τί σε χρή.
οὐ κεν ἐγώ γ' ἐθέλοιμι θεοὺσ ἔριδι ξυνελάσσαι. 134 cf. Θ 210 / 134b cf. Φ 394
ἀλλ' ἦμεσ μὲν ἔπειτα καθεζώμεσθα κιόντεσ 136b = α 372
ἐκ πάτου εἰσ σκοπιήν, πόλεμοσ δ' ἄνδρεσσι μελήσει. 137b = Z 492
εἰ δέ κ' Ἄρησ ἄρχηισι μάχησ ἢ Φοῖβοσ Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ ἐάωσι μάχεσθαι,
αὐτίκ' ἔπειτα καὶ ἧμι παρ' αὐτόθι νεῖκοσ ὀρεῖται
φυλόπιδοσ· μάλα δ' ὦκα διακρινθέντασ ὀίω
ἂψ ἴμεν' Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων, 142b = h. Ap. 187 Cer. 485 cf. Merc. 332
ἡμετέρηισ' ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντασ." 143 cf. Φ 208 σ 156
ὣσ ἄρα φωνήσασ ἡγήσατο κυανοχαίτησ
τεῖχοσ ἐσ ἀμφίχυτον Ἡρακλέεοσ θείοιο,
ὑψηλόν, τό ῥά ϝοι Τρῶεσ καὶ Παλλὰσ Ἀθήνη
'ποίεον, ὄφρα τὸ κῆτοσ ὑπεκπροφυγὼν ἀλέαιτο,
ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνοσ πεδίονδε.
ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισ' ἐϝέσαντο·
οἱ δ' ἑτέρωσε καθῖζον ἐπ' ὀφρύσι Καλλικολώνησ
ἀμφὶ σέ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣσ οἳ μὲν ϝεκάτερθε καθήατο μητιάοντεσ

---

135 *ἥμασ τοὺσ ἄλλουσ, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν.* 135 cf. Θ 211 / 135b = ι 276 cf. Δ 169

125—128. Ar. —, quod discrepent a vs. 26 sq.

131. *ἐναργέσ* Fick] *-γεῖσ* Ω, item η 201 π 161. Cf. § 73 et *ἀστεμφέσ, νημερτέσ* (*-φέωσ, -τέωσ* codd. omnes aut plerique) δ 419, 459 ε 98 τ 269 h. Cer. 71. Praeterea cf. Π 792.

135. Habent Syr. A (in margine habuit eius archetypum), om. Ω.

138. *ἄρχηισι* Zen.] *ἄρχωσι* Ar. Ω (cf. Ε 774 κ 513). In schol. T affertur l. a. *εἰ δέ κεν ὣσ ἄρχωσιν Ἄρησ καὶ Φ. Ἀ.* Mirum ni et Aristarchus *καὶ* pro *ἢ* legit; *ἢ* tamen ei tribuit Aristonicus.

140. *αὐτόθι* C] *αὐτόφι* Ω. Cf. Μ 302.

143. *ἀναγκαίηφι* H] *ἀνάγκηι ἶφι* Ω (cf. Φ 208 σ 156).

147. *ἀλέαιτο*] *-οιτο* D T.

153. *μὲν* Bentley] *μέν ῥ'*.

βουλάσ· ἀρχέμεναι δὲ δυσηλεγέοσ πολέμοιο
ὄκνεον ἀμφότεροι, Ζεὺσ δ' ἥμενοσ ὕψ' ἐκέλευε.
τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῶι,
ἀνδρῶν ἠδ' ἵππων· 'κάρκαιρε δὲ γαῖα πόδεσσι
ὀρνυμένων ἄμυδισ. δύο δ' ἀνέρε ἔξοχ' ἀρίστω 158ᵇ-160 cf. Ν 499 [sqq.
εἰσ μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι, 159 = Ζ 120
Αἰνείασ τ' Ἀγχισιάδησ καὶ δῖοσ Ἀχιλλεύσ.
Αἰνείασ δὲ πρῶτοσ ἀπειλήσασ ἐβεβήκει,
νευστάζων κόρυθι βριαρῆι· ἀτὰρ ἀσπίδα θοῦριν
πρόσθεν ἔχε στέρνοιο, 'τίνασσε δὲ χάλκεον ἔγχοσ.
Πηλεΐδησ δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣσ 164 cf. Ω 572
σίντησ, ὅν τε καὶ ἄνδρεσ ἀποκτάμεναι μεμάασι 164ᵇ = Λ 129
ἀγρόμενοι, πᾶσ δῆμοσ· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τισ Ἄρηϊ θοῶν αἰζηῶν
δουρὶ βάληι, ἐϝάλη τε χανών, περί τ' ἀφρὸσ ὀδόντασ
γίγνεται, ἐν δέ τέ ϝοι κραδίηι στένει ἄλκιμον ἦτορ,
οὐρῆι δὲ πλευράσ τε καὶ ἰσχία ἀμφοτέρωθε
μαστίεται, ἑϝὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι, 171ᵇ = Π 690
γλαυκιάων δ' ἰθὺσ φέρεται μένεϊ, εἴ τινα πέφνηι
ἀνδρῶν ἢ αὐτὸσ φθίεται πρώτωι ἐν ὁμίλωι·
ὣσ Ἀχιλῆ' ὤτρυνε μένοσ καὶ θυμὸσ ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτοροσ Αἰνείαο. 175ᵃ = Ρ 67
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 176 sq. = Φ 148
τὸν πρότεροσ προσέϝειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ· 176 = Γ 15 [sq.
„Αἰνεία, τί σὺ τόσσον ὁμίλου πρόσθεν ἐπελθὼν
ἕστησ; ἦ σέ γε θυμὸσ ἐμοὶ μαχέσασθαι ἄνωγε
ϝελπόμενον Τρώεσσι ϝαναξέμεν ἱπποδάμοισι
τιμῆσ τῆσ Πριάμοι'; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξηισ,

---

158. δύο δ'] δὲ δύ' l. a. in Marc. 458. — ἀνέρε … ἀρίστω Ahrens] -ρεσ … -τοι.

159. ἀμφοτέρων] -ρω G (cf. Ζ 120).

163. 'τίνασσε δὲ] τινάσσων l. a. in Marc. 458 (ut Μ 298 Χ 311).

166. πρῶτον μὲν ἀτίζων] κρειῶν ἐρατίζων L (ut Λ 551 Ρ 660). Suspicione non vacat ἀτίζων (cf. Υ 332).

169. ἄλκιμον] ὄβριμον Syr.

170. ἀμφοτέρωθε] -σε l. a. ant.

171. μαχέσασθαι D] μαχέεσθαι A C, μάχεσθαι T (cf. Λ 272).

178. πρόσθεν Christ] πολλὸν Ω, quod post τόσσον molestum; nudus autem genitivus participio ἐπελθών sociari non potuit. Cf. Γ 22 Ψ 804.

— ἐπελθὼν] ἀπελθὼν A[2] (quod alienum hinc est verbum).

179. ἄνωγε § 225] ἀνώγει.

180—186. Ar. —

οὔ τοι τούνεκά γε Πρίαμοσ γέρασ ἐν χερὶ θήσει·
εἰσὶν γάρ ϝοι παῖδεσ, ὃ δ' ἔμπεδοσ οὐδ' ἀεσίφρων. 183ᵇ cf. Ψ 603
ἤ νύ τί τοι Τρῶεσ τέμενοσ 'τάμον ἔξοχον ἄλλων, 184ᵇ sq.ᵃ = Z 195 sq.
καλὸν φυταλιῆσ καὶ ἀρούρησ, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃσ; χαλεπῶσ δέ σ' ἔολπα τὸ ῥέξειν!
ἤδη μὴν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
οὐ μέμνησ' ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα 188ᵃ = Ο 18
'σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
καρπαλίμωσ; τότε δ' οὔ τι μετετροπαλίζεο φεύγων.
ἔνθεν δ' εἰσ Λυρνησσὸν ὑπέκφυγεσ· αὐτὰρ ἐγὼ τὴν
'πέρσα μεθορμηθεὶσ σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληϊάδασ δὲ γυναῖκασ ἐλεύθερον ἦμαρ ἀποϝρὰσ 193 cf. Π 831
ἦγον· ἀτὰρ σὲ Ζεὺσ ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν ῥύσεσθαι ὀίομαι, ὡσ ἐνὶ θυμῷ
βάλλεαι. ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω 196'-198 = Ρ 30 sqq.
εἰσ πληθὺν ἴμεναι, μηδ' ἀντίοσ ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέμεν· ϝερχθὲν δέ τε νήπιοσ ἔγνω."
τὸν δ' αὖτ' Αἰνείασ ἀπαμείβετο 'φώνησέν τε·
„Πηλεΐδη, μὴ δή με ϝέπεσσί γε νηπύτιον ὣσ 200-202 = 431 sqq.
ϝέλπεο δεδϝίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτὸσ
ἠμὲν κερτομίασ ἠδ' αἴσιμα μυθήσασθαι.
ϝίδμεν δ' ἀλλήλων γενεήν, ϝίδμεν δὲ τοκῆασ,
πρόκλυτ' ἀκούοντεσ ϝέπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω σὺ ἐμοὺσ 'ϝίδεσ οὔτ' ἄρ' ἐγὼ σούσ.
φασὶ σὲ μὲν Πηλῆοσ ἀμύμονοσ ἔκγονον εἶναι,

---

183. *ἀεσίφρων*] *ἀασίφρων* Apoll. lex., recte, si a stirpe verbi *ἀ(ϝ)άσσαι* ductum est adiectivum. Redit Ψ 603 φ 302 Hes. Oper. 335; cf. substantivum *ἀεσιφροσύνη* ο 470 Hes. Theog. 502.

185. *καλὸν*] *ἐσθλὸν* A C.

186. *δέ σ' ἔολπα τὸ ῥέξειν*] neglecto ϝ stirpis *ϝελπ* et pede 4⁰ vitiose conformato (cf. § 8); **ῥέξειν σε ϝέϝολπα*?

187. *μὴν* § 18] *μὲν*.

— *φοβῆσαι*] *φόβησα* A C T.

188. *οὐ* § 8] *ἦ οὐ*.

— *μέμνησ'* Bodl. Barocc. 203] *μέμνῃ* (cf. § 117 et Υ 188 Φ 396 ω 115).

— *ἄπο*] sic Ar., *ἔπι* Chia Rhianus Aristoph. (sic *βόεσσ' ἔπι* esse deberet; cf. Ζ 25 al.).

191. *ἔνθεν*] *κεῖθεν* Strab. 607.

195—198. Ar. —

195. *ῥύσεσθαι*] *ἐρύεσθαι* Ar., *σε ῥύεσθαι* Ω. Contextus futurum tempus flagitat potius quam praesens, propter versum 194 autem requiri videtur *ῥύεσθαι* verbum (§ 164), licet per se spectatum aptum sit *ϝερύεσθαι* *erepturum esse* (ut Ξ 422; cf. § 293).

202. *αἴσιμα* Duentzer] *αἴσυλα* Ω, item vs. 433 (quod quid sit apparet Ε 403 Φ 214 β 232 ε 10). Idem vitium correxerat Ruhnkenius h. Merc. 164 coll. codicis M lectione *ἄρμενα*. Cf. Ζ 62 Η 121 χ 46.

205—209. Ar. —

μητρὸσ δ' ἐκ Θέτιδοσ καλλιπλοκάμοι' ἁλοσύδνησ·
αὐτὰρ ἐγὼν υἱὸσ μεγαλήτοροσ Ἀγχίσαο 208 sq. cf. E 247 sq.
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἔστ' Ἀφροδίτη.
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημι ϝέπεσσί γε νηπυτίοισι
ὧδε διακρινθέντε μάχησ ἒξ ἀπονέεσθαι. 212ᵇ = Π 252
εἰ δ' ἐθέλεισ καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐῢ ϝείδηισ, — 213 = Z 150
Δάρδανον ἂρ πρῶτον 'τέκετο νεφεληγερέτα Ζεύσ,
'κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ϝίλιοσ ἱρὴ
ἐν πεδίωι 'πεπόλιστο, πόλισ μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείασ 'ϝοίκεον πολυπίδακοσ Ἴδησ.
Δάρδανοσ αὖ 'τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
ὃσ δὴ ἀφνειότατοσ 'γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλοσ κάτα 'βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῆισι.
τάων καὶ Βορέησ ἠράσσατο βοσκομενάων,
ἵππωι δ' εἰσάμενοσ παρελέξατο κυανοχαίτηι·
αἳ δ' ὑποκυσάμεναι ἔτεκον δύο καὶ δέκα πώλουσ.
αἳ δ' ὅτε μὲν σκιρτῶιεν ἐπὶ ζείδωρον ἄρουραν, 226ᵇ = Θ 486
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν 'θέον οὐδὲ κατέκλων· 227 cf. Hes. fr. 143
ἀλλ' ὅτε δὴ σκιρτῶιεν ἐπ' εὐρέα νῶτα θαλάσσησ, 228ᵇ = B 159
ἄκρον ἐπὶ ῥηγμῖνα ἁλὸσ πολιοῖ' ἐθέεσκον.
Τρῶα δ' Ἐριχθόνιοσ 'τέκετο Τρώεσσι ϝάνακτα,
Τρωὸσ δ' αὖ τρεῖσ παῖδεσ ἀμύμονεσ ἐξεγένοντο, 231 cf. Ξ 115
Ϝῖλόσ τ' Ἀσσάρακόσ τε καὶ ἀντίθεοσ Γανυμήδησ,
ὃσ δὴ κάλλιστοσ 'γένετο θνητῶν ἀνθρώπων·

214 ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρεσ ἴσασι· 214 = Z 151

207. δ'] τ' A C.
210. ἕτεροι] ἕταροι C D.
211. νηπυτίοισι] -ω ὣσ Bentley, quod ceteris locis ipsi homines dicantur νηπύτιοι (cf. vs. 200, 244, 431 al.).
213—211. Postmodo inserti videntur (Friedlaender); post versum 208 vix sunt tolerabiles
214. Cf. Z 151.
215. ἄρ A² L] αὖ Ω (cf. vs. 219).
218. 'ϝοίκεον] ναῖον Nauck (cf. Δ 18).
— πολυπίδακοσ A C¹] -δάκου Ω. Cf. Ξ 157.
220. δὴ] δ' Platt; an *ῥ'? Cf. § 8.
223. Versum ἐν μαλακῶι λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν (= Hes. Theog. 279) Cant. Harl. C rec. addunt post hunc versum aut post sequentem.
224. δ' εἰσάμενοσ] neglecto ϝ, ϝεισάμενοσ (del. δ') Heyne.
— παρελέξατο κυανοχαίτηι] ἐμίγη φιλότητι καὶ εὐνῆι l. a. in A; de equis utrumvis inepte dictum.
228. δὴ] δὲ Ar.
229. ῥηγμῖνα Ahrens] -νοσ.

τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ ϝοινοχοεύειν 234 sq. cf. h. Ven. 204 sq.
κάλλεοσ εἵνεκα ϝοῖο, ἵν' ἀθανάτοισι μετείη. 235 = ο 251
Ϝῖλοσ δ' αὖ 'τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ' ἄρα Τιθωνὸν 'τέκετο Πρίαμόν τε
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηοσ. 238 = Γ 147
Ἀσσάρακοσ δὲ Κάπυν, ὃ δ' ἄρ' Ἀγχίσην 'τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίσησ, Πρίαμοσ δ' ἔτεχ' Ἕκτορα δῖον.
ταύτησ τοι γενεῆσ τε καὶ αἵματοσ εὔχομαι εἶναι. 241 = Ζ 211
Ζεὺσ δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππωσ κεν ἐθέλῃσιν· ὃ γὰρ κάρτιστοσ ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥσ, 244 = Ν 292
ἑσταότ' ἐν μέσσηι ὑσμίνηι δηϊοτῆτοσ.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ'· οὐδέ κε νηῦσ ἑκατόνζυγοσ ἄχθοσ ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέεσ δ' ἔνι μῦθοι [403
παντοῖοι, ϝεπέων δὲ πολὺσ νομὸσ ἔνθα καὶ ἔνθα· 249 cf. Hes. Oper.
ὁπποῖον ϝείπῃσθα ϝέποσ, τοῖόν κ' ἐπακούσῃσ. 250 cf. Hes. Oper. 721
ἀλλὰ τίη ἔριδασ καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥσ τε γυναῖκασ,
αἵ τε χολωσάμεναι ἔριδοσ πέρι θυμοβόροιο 253ᵇ = Η 301
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐσ ἄγυιαν ἰοῦσαι
πόλλ', ἐτεόν τε καὶ οὐκί· χόλοσ δέ τε καὶ τὰ κελεύει.
ἀλκῆσ δ' οὔ με ϝέπεσσιν ἀποτρέψεισ μεμαῶτα
πρὶν χαλκῶι μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσι.“

---

234. *καὶ*] *μὲν* l. a. ant.

— *ἀνηρέψαντο* Doederlein] *ἀνηρείψαντο* Ar. *Ω*, item *α* 241 *δ* 727 *ξ* 371 *υ* 77 (cf. etiam l. a. *μ* 357), quasi a verbo *-ερείπω* ductum; ad *-ερέπτειν* refertur Etym. M. 107, 58; cf. *Φ* 271 et Hesych. *ἀνερειψάμενοι· ἀναρπάσαντεσ* (cf. *ϑ* 409 *ἀναρπάξασαι ἄελλαι*). A stirpe *ἀρεπ* (*ἀρέπυια, ἁρπάζω*) ducit Fick coll. Hes. Theog. 990, ubi *ἀναρειψαμένη* habent codices G K L, *ἀναρειψαμένη* D, *ἀνερειψαμένη* E F H.

248. *ὅππωσ κεν*] **πᾶσιν ὅπωσ κ'*? Ceteris locis est *ὅπωσ κ' ἐθέλῃι*, insolite autem vocula *κεν* h. l. producitur (cf. § 19).

— *κάρτιστοσ*] *κ' ὄχ' ἄριστοσ* A C (sic deleto *κ'* Heyne).

247. *ἑκατόνζυγοσ* L] *ἑκατόζυγοσ Ω*.

250. *ϝείπῃσθα* Bentley] *κ' εἴπῃσθα*.

— *ἐπακούσῃσ* Pseudo-Plut. vit. Hom. 173] *ἐπακούσαισ*.

251—255. Ar. — (coll. vs. 244).

251. *νείκεα*] *ὀνείδεα* l. a. in A.

252. *γυναῖκασ*] *-κεσ* Vrat. (cf. *Ζ* 477).

255. **πόλλ', ἐτεόν τε*] *πόλλ' ἐτεά τε Ω* (numeris suspectissimis, cf. § 19), *πολλά τ' ἐόντα* Ar. (?), *πολλὰ τά τε* A C vitiose (quae Aristarcho bis tribuitur lectio in schol. A). Cf. *Ξ* 125.

— *καὶ οὐκί*] *τὰ δ' οὐκί* l. a. in A.

256. *ἀποτρέψεισ*] *ἀποστρέψεισ* T, *μεταστρέψεισ* A C. Cf. *Μ* 249.

ἦ ῥα, καὶ ἐν δϝεινῶι σάκε' ἤλασεν ὄβριμον ἔγχοσ
σμερδαλέωι· μέγα δ' ἀμφὶ σάκοσ 'μύκε δουρὸσ ἀκωκῆι.
Πηλεΐδησ δὲ σάκοσ μὲν ἀπὸ ϝέο χειρὶ παχείηι
ἔσχετο ταρβήσασ· 'φάτο γὰρ δολιχόσκιον ἔγχοσ
ῥέα διελεύσεσθαι μεγαλήτοροσ Αἰνείαο,
νήπιοσ, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν 264a cf. Χ 445
ὡσ οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα 265 cf. Γ 65
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποϝείκει. 266a = Κ 403 Ρ 77
οὐδὲ τότ' Αἰνείαο δαΐφρονοσ ὄβριμον ἔγχοσ
'ρῆξε σάκοσ, χρυσὸσ γὰρ ἐρύκακε, δῶρα θεοῖο. 268 = Φ 165 cf. Φ 594 Hes. Scut. 415
δεύτεροσ αὖτ' Ἀχιλεὺσ προΐει δολιχόσκιον ἔγχοσ,
καὶ 'βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην, 274 cf. Γ 347
ἄντυγ' ὕπο πρώτην, ἧι λεπτότατοσ 'θέε χαλκόσ,
λεπτοτάτη δ' ἔπεεν ῥινὸσ βοόσ· ἡ δὲ διὰ πρὸ
Πηλιὰσ ἤϊξεν μελίη, 'λάκε δ' ἀσπὶσ ὑπ' αὐτῆσ.
Αἰνείασ δ' ἐϝάλη καὶ ἀπὸ ϝέθεν ἀσπίδ' ἀνέσχε
δϝείσασ· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτοι' ἐνὶ γαίηι 279b sq.a = Φ 69 sq.
ἔστη ϝιεμένη, διὰ δ' ἀμφοτέρουσ ἕλε κύκλουσ
ἀσπίδοσ ἀμφιβρότησ, ὃ δ' ἀλευάμενοσ δόρυ μακρὸν 281a = Β 389

ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχασ, αἱ δ' ἄρ' ἔτι τρεῖσ
ἦσαν, ἐπεὶ πέντε πτύχασ ἤλασε κυλλοποδίων, 270 cf. Σ 481
τὰσ δύο χαλκείασ, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην· τῆι ῥ' ἔσχετο μείλινον ἔγχοσ.

---

259. σάκε' ἤλασεν] σάκει ἔλασ' Ar. — ὄβριμον] χάλκεον D T L.

260. σμερδαλέωι] -ον G, σμερδαλέον δὲ μέγ' Heyne (coll. ι 395). — ἀκωκῆι A C D] -κή T.

261. ϝέο] οὗ Zen. (cf. Β 239).

263. ῥέα διελεύσεσθαι Ar.] ῥεῖα δ' ἐλ. A C D. Cf. Ν 144.

265. δῶρα] ἔργα l. a. ant.

266. ὑποϝείκει Duentzer] -κειν.

269—272. Ar. —— (eum qui addidisset „ζήτημα ποιεῖν" voluisse ratus, ut Κ 372), ante quem expunxerant „ἔνιοι τῶν σοφιστῶν" (schol. T). Olim in quibusdam libris defuerunt; legit Aristoteles (cf. Poet. 26). Pugnant cum versu 268, fluxerunt autem e versu Σ 481 male intellecto. Quo loco quae commemorantur πτύχασ sive corii, ut in clipeis mortalium, intellegi voluit poeta, sive aeris, id quidem certum est Vulcanum auro argento stanno, quae praeterea illic adhibet, ad clipei *superficiem* exornandam uti (Σ 474 sq.), id quod cum sana docet ratio tum patet Φ 165. Interpolator vero admodum inepte finxit quinque laminarum *mediam* fuisse auream.

269. ἔλασσε] θλάσσε Autochthon.

272. μείλινον A C] χάλκεον D T Aristot. Poet. 26.

273b sq. μελίηι ἰθυπτίωνι (μελίην ἰθυπτίωνα cod., corr. Heyne; an ἰθυκτίωνι? cf. Φ 169) | ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονοσ Αἰνείαο Zen.

276. ἔπεεν] ὑπέην (ὕπεεν) Heyne.

ἕστη, κὰδ δέ ϝ' ἄχοσ 'χύτο μυρίον ὀφθαλμοῖιν,
ταρβήσασ ὅ ϝοι ἄγχι 'πάγη βέλοσ. αὐτὰρ Ἀχιλλεὺσ 283b sq.a = 441 [sq.
ἐμμεμαὼσ ἐπόρουσε, ϝερυσσάμενοσ ξίφοσ ὀξύ, 284b = *M* 190
σμερδαλέα ϝιϝάχων. ὃ δὲ χερμάδιον 'λάβε χειρὶ 285 = *E* 302
Αἰνείασ, μέγα ϝέργον, ὅ γ' οὔ κε δύ' ἄνδρε φέροιεν, 286 cf. *E* 303
οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα 'πάλλε καὶ οἶοσ. 287 = *E* 304
ἔνθα κεν Αἰνείασ μὲν ἐπεσσυμένον 'βάλε πέτρωι 288b = *Π* 411
ἢ κόρυθ' ἠὲ σάκοσ, τό ϝοι ἤρκεσε λυγρὸν ὄλεθρον, 289b = *Ζ* 16
τὸν δέ κε Πηλεΐδησ σχεδὸν ἄορι θυμὸν ἀπέϝρα, 290b = *Φ* 179 cf. *Π* 828
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε Ποσειδάων ἐνοσίχθων· 291a = *Γ* 374
αὐτίκα δ' ἀθανάτοισι θεοῖσ μετὰ μῦθον ἔϝειπε·
„ὢ πόποι, ἦ μοι ἄχοσ μεγαλήτοροσ Αἰνείαο,
ὃσ τάχα Πηλεΐωνι δαμεὶσ Ἄϝιδόσδε κάτεισι,
πειθόμενοσ μύθοισιν Ἀπόλλωνοσ ϝεκάτοιο,
νήπιοσ, οὐδέ τί ϝοι χραισμήσει λυγρὸν ὄλεθρον. 296 cf. *B* 873
ἀλλὰ τίη νῦν οὗτοσ ἀναίτιοσ ἄλγεα πάσχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι;
ἀλλ' ἄγεθ' ἡμέσ πέρ μιν ὑπ' ἐκ θανάτοι' ἀγάγωμεν,
μή πωσ καὶ Κρονίδησ κεχολώσεται, αἴ κεν Ἀχιλλεὺσ 301 cf. *ω* 544
τόνδε κατακτείνηι· μόριμον δέ ϝοί ἐστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμοσ γενεὴ καὶ ἄφαντοσ ὄληται
Δαρδάνου, ὃν Κρονίδησ περὶ πάντων 'φίλατο παίδων
οἳ ϝέθεν ἐξεγένοντο γυναικῶν τε θνητάων. 305a cf. *E* 637
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·

---

282. **δέ ϝ' ἄχοσ*] *δ' ἄχοσ οἱ*. Cf. *P* 591 *Σ* 22 *δ* 716. Bentley *δ' ἀχλὺσ χύτο μυρίον* (*μυρίη* Cobet, quoniam neutrum non satis defenditur versu *Φ* 320), ut *E* 696 *Π* 344 *Υ* 421.

— *ὀφθαλμοῖιν* Bentley] *-μοῖσι*. Requiritur genitivus (cf. *E* 696 *Ψ* 765 al.).

284. *ἐμμεμαὼσ*] **ἐμμαπέωσ* (ut *E* 836, ubi cf. v. l., *ξ* 485 h. Ven. 181)? item infra vs. 442. Participium hic inutile, illic etiam molestum est (*ἐμμεμαὼσ ... μενεαίνων*).

286. *ὅ γ' οὔ κε δύ'*] cf. *E* 303.

288. *ἐπεσσυμένον*] *-νοσ* T.

290. *ἀπέϝρα* § 150[5]] *ἀπηύρα*.

292. *αὐτίκα μῦθον ἔϝειπε μετ' ἀθανάτοισι θεοῖσι* Graf (cf. § 60).

302. *μόριμον δέ* (*ϝ*)*οί* Harl.] *μόρσιμον δέ οἵ Ω* (metro invito), *τῶι μόρσιμον* vHerwerden. Apud H. ceteris locis *μόρσιμοσ* est, non *μόριμοσ*, qua adiectivi forma Pindarus et Aeschylus utuntur.

303. *ὄφρα ... καὶ ἄφαντοσ*] *ὣσ κε ... μετόπισθεν* Max. Tyr. XXVI 9.

— *ἄσπερμοσ γενεὴ καὶ ἄφαντοσ*] *ἄφαντοσ* (?) *γενεὴ δμηθέντοσ* Ar. secundum schol. Par.

306. *ἤχθηρε*] *ἤχθαιρε* Aristoph. (cf. *P* 270).

νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσι ϝανάξει — 307 sq. cf. h. Ven. 197 sq.
καὶ παίδων παῖδεσ, τοί κεν μετόπισθε γένωνται."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπισ πότνια Ἥρη· — 309 = Λ 551
„ἐννοσίγαι', αὐτὸσ σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν ϝε ϝερύσσεαι ἤ κεν ἐάσῃσ.
ἦ τοι μὲν γὰρ νῶϊ πολῦσ ὠμόσσαμεν ὅρκουσ
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰσ Ἀθήνη,
μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, — 315-318a = Φ 374 [sqq.; 315b cf. Ι 251
μηδ' ὁπότε Τροίη μαλερῷ πυρὶ πᾶσ' ἀπόληται
δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων, — 318 = ν 159
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων, — 319 cf. Ε 167
ἷξε δ' ὅθ' Αἰνείασ ἠδὲ κλυτὸσ ἦεν Ἀχιλλεύσ.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέε ἀχλύν, — 321b cf. Ε 696
Πηλεΐδῃ Ἀχιλῆϊ, ὃ δὲ μελίην εὔχαλκον
ἀσπίδοσ ἐκϝέρυσεν μεγαλήτοροσ Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆοσ ἔθηκε,
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸσ ὑψόσ' ἀείρασ. — 325b cf. Κ 465 θ 375
πολλὰσ δὲ στίχασ ἡρώων, πολλὰσ δὲ καὶ ἵππων
Αἰνείασ ὑπεράλτο θεοῦ ἀπὸ χειρὸσ ὀρούσασ,
ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκοσ πολέμοιο,
ἔνθα τε Καύκωνεσ πόλεμον μέτα θωρήσσοντο.

---

312 Πηλεΐδῃ Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόντα. — 312 cf. Χ 176

---

307. *Αἰνείαο βίη Τρώεσσι*] *-αο γένοσ πάντεσσιν* Strab. 608, *-ω γενεὴ πάντεσσιν* l. a. in A; quae lectiones debentur posteris ad Romanorum imperium haec referentibus (*cunctis dominabitur oris* Verg. Aen. III 97).

308. *παίδων παῖδεσ*] *παῖδεσ παίδων* D[1] T. — *γένωνται*] *λίπωνται* Syr. et olim „*αἱ ἀπὸ τῶν πόλεων*" (Verg. l. l. vs. 98 *nascentur*, legit igitur *γένωνται*).

311. *ϝε* Bekker] *μιν*.

312. Habent O[2] G, om. Syr. A C D T L. In versu 311 *ἐάσῃσ* non *permittas* significat sed *relinquas* (cf. Ε 148 Λ 148 Π 731 Υ 456 Ω 71, 569, 684 δ 744). Simili interpolationi debetur Ω 558; cf. etiam Ε 848 Ο 473 κ 444 σ 420.

313. *πολῦσ* § 83] *πολέασ*.

316 sq. Om. Syr., in margine habuit archetypum codicis A (hic enim codex versus 27 habet in hac pagina).

316. *ὁπότε* § 326] *ὁπότ' ἄν*. — *πᾶσ' ἀπόληται* Nauck] *πᾶσα δάηται* Ω (item Φ 375), quod verbum et per se suspectum est (cf. § 176) et propter versum sequentem; *πᾶσα θέρηται* Axt (cf. Ζ 331 Λ 667 ρ 23).

317. *δαιομένη, δαίωσι*] *καιομένη, καίωσι* A[2] (cf. Φ 376).

320. *ἠδὲ* L Gen.] *ἠδ' ὁ* Ω.

322—324. Ar. —, utpote cum vs. 279 pugnantes; non tamen licet resecare e contextu, quoniam iis omissis intellegi nequit *κεῖται* vs. 345 (coll. vs. 280).

329. *τε*] *δὲ* Syr. O D (cf. Θ 48).

τῶι δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Αἰνεία, τίσ σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνοσ ὑπερθύμοιο μάχεσθαι, 333 = 88
ὃσ σέ' ἅμα κρείσσων καὶ φίλτεροσ ἀθανάτοισι;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϝιδοσ εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺσ θάνατον καὶ πότμον ἐπίσπηι, 337b = Β 359
θαρσήσασ δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίσ σ' ἄλλοσ Ἀχαιῶν ἐξεναρίξει."
ὣσ ϝειπών ϝ' ἔλιπ' αὖθι, ἐπεὶ διεπέφραδε πάντα. 340b = ρ 590
αἶψα δ' ἔπειτ' Ἀχιλῆοσ ἀπ' ὀφθαλμῶν 'σκέδασ' ἀχλὺν
θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἐξέϝιδ' ὀφθαλμοῖσι,
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 343 sq. = Φ 53 sq. / 343 = Δ 403
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· 344 = Ν 99
ἔγχοσ μὲν τόδε κεῖται ἐπὶ χθονόσ, οὐδέ τι φῶτα
λεύσσω, τῶι ϝ' ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείασ φίλοσ ἀθανάτοισι θεοῖσι
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτωσ εὐχετάεσθαι.
ϝερρέτω! οὔ ϝοι θυμὸσ ἐμεῖ' ἔτι πειρηθῆναι
ἔσσεται, ὃσ καὶ νῦν 'φύγε ϝάσμενοσ ἐκ θανάτοιο. 350b cf. ι 63a
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσασ
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίοσ ἐλθών." 352 cf. Τ 70
ἦ, καὶ ἐπὶ στίχασ ἅλτο, 'κέλευε δὲ φωτὶ ϝεκάστωι·
„μηκέτι νῦν Τρώων ϝεκὰσ ἕστατε, δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸσ ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμωι περ ἐόντι 356 = Μ 410
τοσσούσδ' ἀνθρώπουσ ἐφέπειν καὶ πᾶσι μάχεσθαι·

---

331. καί μιν φωνήσασ] τὸν καὶ νεικείων Rhianus, καί μιν νεικείων Zen.

332. ἀτέοντα] sic Ar., χατέοντα, ἀπεόντα, ἀέκοντα, ἀέκητι codd. nonnulli; *ἀλύοντα? Sed cf. ἀτίζων Υ 166.

333. ἀντία Π. ὑπερθύμοιο A C] ἀντί' Ἀχιλλῆοσ πολεμίζειν ἠδὲ D T.

335. κεν] δὴ C D.

— συμβλήεαι Dindorf] -βλήσεαι. Cf. ρ 472 Ζ 260 et η 204 φ 15, ξ 122, 258.

338. πρώτοισι] Τρώεσσι Syr. T.

340. ϝ'] add. Brandreth (λίπε ϝ').

342. ἔπειτα μέγ' ἐξέϝιδ'] *ἔπειτ' ἔγχοσ 'ϝίδεν (ΕΠΕΙΤΑμΕΙ'εγΧ<Ο>ΣΙΔΕΝ)?

343. ποτὶ] πρὸσ ὃν Ω. Cf. Δ 403.

345. μὲν] *μοι? Cf. α 185.

346. ϝ'] add. Brandreth. Deest obiectum Ε 206, ceteris locis adest (Δ 51 Φ 170 al.).

350. ὃσ] ὥσ Harl.

357. τοσσούσδ'] τόσσουσ H.

νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσι ϝανάξει 307 sq. cf. h. Ven. 197 sq.
καὶ παίδων παῖδεσ, τοί κεν μετόπισθε γένωνται."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπισ πότνια Ἥρη· 309 = Λ 551
810 „ἐνοσίγαι', αὐτὸσ σὺ μετὰ φρεσὶ σῇσι νόησον
811 Αἰνείαν, ἤ κέν ϝε ϝερύσσεαι ἤ κεν ἐάσῃισ.
813 ἦ τοι μὲν γὰρ νῶϊ πολῦσ ὠμόσσαμεν ὅρκουσ
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰσ Ἀθήνη, [sqq.
815 μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, 315-318[a] = Φ 374 315[b] cf. Ι 251
μηδ' ὁπότε Τροίη μαλερῶι πυρὶ πᾶσ' ἀπόληται
δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων, 318 = ν 159
'βῆ ῥ' ἴμεν' ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων, 319 cf. Ε 167
820 ἷξε δ' ὅθ' Αἰνείασ ἠδὲ κλυτὸσ ἦεν Ἀχιλλεύσ.
αὐτίκα τῶι μὲν ἔπειτα κατ' ὀφθαλμῶν ἔχε' ἀχλύν, 321[b] cf. Ε 696
Πηλεΐδηι Ἀχιλῆϊ, ὃ δὲ μελίην εὔχαλκον
ἀσπίδοσ ἐκϝέρυσεν μεγαλήτοροσ Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆοσ ἔθηκε,
825 Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸσ ὑψόσ' ἀείρασ. 325[b] cf. Κ 465 ϑ 375
πολλὰσ δὲ στίχασ ἡρώων, πολλὰσ δὲ καὶ ἵππων
Αἰνείασ ὑπεράλτο θεοῖ' ἀπὸ χειρὸσ ὀρούσασ,
ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκοσ πολέμοιο,
ἔνθα τε Καύκωνεσ πόλεμον μέτα 'θωρήσσοντο.

---

312 Πηλεΐδηι Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόντα. 312 cf. Χ 176

---

307. *Αἰνείαο βίη Τρώεσσι*] *-αο γένοσ πάντεσσιν* Strab. 608, *-ω γενεὴ πάντεσσιν* l. a. in A; quae lectiones debentur posteris ad Romanorum imperium haec referentibus (*cunctis dominabitur oris* Verg. Aen. III 97).

308. *παίδων παῖδεσ*] *παῖδεσ παίδων* D[1] T. — *γένωνται*] *λίπωνται* Syr. et olim „*αἱ ἀπὸ τῶν πόλεων*" (Verg. l. l. vs. 98 *nascentur*, legit igitur *γένωνται*).

811. *ϝε* Bekker] *μιν*.

812. Habent C[2] G, om. Syr. A C D T L. In versu 311 *ἐάσῃισ* non *permittas* significat sed *relinquas* (cf. Ε 148 Δ 148 Π 731 Υ 456 Ω 71, 569, 684 δ 744). Simili interpolationi debetur Ω 558; cf. etiam Ε 848 Ο 478 κ 444 σ 420.

813. *πολῦσ* § 83] *πολεῖσ*.

816 sq. Om. Syr., in margine habuit archetypum codicis A (hic enim codex versus 27 habet in hac pagina).

816. *ὁπότε* § 326] *ὁπότ' ἄν*. — *πᾶσ' ἀπόληται* Nauck] *πᾶσα δάηται* Ω (item Φ 375), quod verbum et per se suspectum est (cf. § 176) et propter versum sequentem; *πᾶσα θέρηται* Axt (cf. Ζ 331 Λ 667 ρ 23).

817. *δαιομένη, δαίωσι*] *καιομένη, καίωσι* A[2] (cf. Φ 376).

820. *ἠδὲ* L Gen.] *ἠδ' ὁ* Ω.

822—324. Ar. —, utpote cum vs. 279 pugnantes; non tamen licet resecare e contextu, quoniam iis omissis intellegi nequit *κεῖται* vs. 345 (coll. vs. 280).

329. *τε*] *δὲ* Syr. C D (cf. Θ 48).

τῶι δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Αἰνεία, τίσ σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνοσ ὑπερθύμοιο μάχεσθαι, [illegible]
ὃσ σέ' ἅμα κρείσσων καὶ φίλτεροσ ἀθανάτοισι;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϝιδοσ εἰσαφίκηαι.
αὐτὰρ ἐπεὶ κ' Ἀχιλεὺσ θάνατον καὶ πότμον ἐπίσπηι, [illegible]
θαρσήσασ δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίσ σ' ἄλλοσ Ἀχαιῶν ἐξεναρίξει."
ὣσ ϝειπὼν ϝ' ἔλιπ' αὖθι, ἐπεὶ διεπέφραδε πάντα. [illegible]
αἶψα δ' ἔπειτ' Ἀχιλῆοσ ἀπ' ὀφθαλμῶν 'σκέδασ' ἀχλὺν
θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἐξέϝιδ' ὀφθαλμοῖσι,
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· [illegible]
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν [illegible]
ἔγχοσ μὲν τόδε κεῖται ἐπὶ χθονόσ, οὐδέ τι [illegible]
λεύσσω, τῶι ϝ' ἐφέηκα κατακτάμεναι [illegible]
ἦ ῥα καὶ Αἰνείασ φίλοσ ἀθανάτοισι θεοῖσι
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτωσ εὐχετάασθαι.
ϝερρέτω! οὔ ϝοι θυμὸσ ἐμεῖ' ἔτι [illegible]
ἔσσεται, ὃσ καὶ νῦν 'φύγε ϝάσμενοσ ἐκ [illegible]
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι [illegible]
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίοσ [illegible]
ἦ, καὶ ἐπὶ στίχασ ἆλτο, 'κέλευε δὲ [illegible]
„μηκέτι νῦν Τρώων ϝεκὰσ ἕστατε, [illegible]
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸσ ἴτω, [illegible]
ἀργαλέον δέ μοί ἐστι καὶ [illegible]
τοσσούσδ' ἀνθρώπουσ [illegible]

---

331. *καί μιν φωνήσασ*] *τὸν καὶ* [illegible] Rhianus, *καί μιν νεικείων* Zen. [illegible]

332. *ἀτέοντα*] sic Ar., *χατέοντα,* [illegible] *ἀέκοντα, ἀέκητι* codd. nonnulli; [illegible] Sed cf. *ἀτίζων Υ* 166. [illegible]

333. *ἀντία Π. ὑπερθύμοιο* A C; [illegible] *λῆοσ πολεμίζειν ἠδὲ* D T. [illegible] *Λ* 423).

335. *κεν*] *δὴ* O D. [illegible]

— *συμβλήεαι* Dindorf] [illegible] Ar. *Ω* [illegible] *Ζ* 260 et *η* 204 *φ* 15, § [illegible] 35 sq.

οὐδέ κ' Ἄρησ, ὅσ περ θεὸσ ἄμβροτοσ, οὐδέ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνησ ἐφέποι στόμα καὶ πονέοιτο!
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένεϊ, οὐκέτι φημὶ μεθησέμεν', οὐδ' ἠ̃ βαιόν,
ἀλλὰ μάλα στιχὸσ εἶμι διαμπερέσ· οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅσ τισ σχεδὸν ἔγχεοσ ἔλθηι."
ὣσ 'φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμοσ Ἕκτωρ 364ᵃ = Μ 442
'κέκλεθ' ὁμοκλήσασ, 'φάτο δ' ἄντ' ἴμεναι Ἀχιλῆοσ·
„Τρῶεσ ὑπέρθυμοι, μὴ δέδϝιτε Πηλεΐωνα!
καί κεν ἐγὼ ϝεπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἠ̃ πολὺ φέρτεροί εἰσι. 368ᵇ = Κ 557
οὐδ' Ἀχιλεὺσ πάντεσσι τέλοσ μύθοισ' ἐπιθήσει, 369ᵇ cf. Τ 107
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούσει.
τῶι δ' ἐγὼ ἀντίοσ εἶμι, καὶ εἰ πυρὶ χεῖρε ϝέϝοικε·
εἰ πυρὶ χεῖρε ϝέϝοικε, μένοσ δ' αἴθωνι σιδήρωι."
ὣσ 'φάτ' ἐποτρύνων, οἳ δ' ἀντίοι ἔγχε' ἄειραν 373ᵃ = Μ 442
Τρῶεσ· τῶν δ' ἄμυδισ 'μίχθη μένοσ, ὦρτο δ' ἀυτή.
καὶ τότ' ἄρ' Ἕκτορ' ἔϝειπε παραστὰσ Φοῖβοσ Ἀπόλλων·
„Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώσ σ' ἠὲ βάληι ἠὲ σχεδὸν ἄορι τύψηι." 378ᵇ cf. 462
ὣσ ἔφαθ', Ἕκτωρ δ' αὖτισ ἐδύσετο ϝουλαμὸν ἀνδρῶν
ταρβήσασ, ὅτ' ἄκουσε θεοῦ ϝόπα φωνήσαντοσ. 380ᵇ cf. Β 182

μάχη παραποτάμιοσ.

ἐν δ' Ἀχιλεὺσ Τρώεσσ' ἔθορε, φρεσὶ ϝειμένοσ ἀλκήν,
σμερδαλέα ϝιϝάχων. πρῶτον δ' ἕλε Ϝιφιτίωνα,
ἐσθλὸν 'Οτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,

---

359. τοσσῆσδ'] τόσσησ Syr.

361. οὐκέτι Par.] οὔ μ' ἔτι Ω; οὐκέτι coniecerat Naber, ad vulgatam enim defendendam parum valere Ω 134 Ν 269 ϑ 221.

362. μάλα στιχὸσ] μάλ' ἂν στίχασ Barnes. — οὐδέ τιν' οἴω] *οὔ τιν' ὀΐω (cf. § 295)?

363. ἔγχεοσ] ἀντίοσ L.

365. *ἄντ' ἴμεναι] ἴμεναι ἄντ' Ω, ἄψ ἴμεν' ἄντ' Nauck.

370. κολούσει T Gen.] κολούει Ω (cf. Β 436).

371. τῶι A C[1]] τοῦ Ω. Cf. Η 20 Ο 584 Υ 422 Φ 150.

371 sq. χεῖρε Bentley] χεῖρασ.

373. ἔγχε' ἄειραν] ἔσταν Ἀχαιῶν l. a. in A.

377. τε] *ϝε?

383 sq. Noviciae artis est 'Οτρ- syllaba correpta (cf. § 25); metro apta forent e. g.: 'Οτρυντῆοσ υἱόν et: ἀμύμονι 'Οτρυντῆϊ.

ὃν νύμφη 'τέκε Νηῒσ 'Οτρυντῆϊ πτολιπόρθωι
Τμώλωι ὕπο νιφόεντι, Ὕδησ ἐν πίονι δήμωι·
τὸν δ' ἰθὺσ μεμαῶτα 'βάλ' ἔγχεϊ δῖοσ Ἀχιλλεὺσ — 386^{a} = Δ 95
μέσσην κὰκ κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη. — 387 = Π 412
'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο δῖοσ Ἀχιλλεύσ· — 388 cf. Δ 449; 388^{b} = Χ 330
„κεῖσ', Ὀτρυντεΐδη, πάντων ἐκπαγλόταt' ἀνδρῶν· — 389^{b} = Δ 146
ἐνθάδε τοι θάνατοσ, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνηι
Γυγαίηι, ὅθι τοι τέμενοσ πατρώϊόν ἐστι,
Ὕλλωι ἔπ' ἰχθυόεντι καὶ Ἕρμωι δινήεντι."
ὣσ ἔφατ' εὐχόμενοσ, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε. — 393^{b} = Δ 461
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροισ' ἐδατεῦντο
πρώτηι ἐν ὑσμίνηι· ὃ δ' ἐπ' αὐτῶι Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχησ, Ἀντήνοροσ υἱόν,
'νύξε κατὰ κρόταφον, κυνέησ διὰ χαλκοπαρήιου. — 397^{b} = Μ 183
οὐδ' ἄρα χαλκείη κόρυσ ἔσχεθεν, ἀλλὰ δι' αὐτῆσ — 398 cf. Μ 184
αἰχμὴ ϝιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλοσ δὲ — 399 sq. = Μ 185 sq.
ἔνδον ἅπασ 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα, — 401 cf. Δ 423
πρόσθε ϝέθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί. — 402 = Ε 56
αὐτὰρ ὃ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὣσ ὅτε ταῦροσ
ἤρυγεν ἑλκόμενοσ Ϝελικώνιον ἀμφὶ ϝάνακτα
κούρων ἑλκόντων, — γάνυται δέ τε τοῖσ' ἐνοσίχθων· —
ὣσ ἄρα τόν γ' ἐρυγόντα 'λίπ' ὀστέα θυμὸσ ἀγήνωρ. — 406^{b} cf. μ 414
αὐτὰρ ὃ 'βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά ϝοι μετὰ παισὶ νεώτατοσ ἦσκε γόνοιο,
καί ϝοι φίλτατοσ ἦσκε, πόδεσσι δὲ πάντασ ἐνίκα·
δὴ τότε νηπιίηφι, ποδῶν ἀρετὴν ἀναφαίνων,
'θῦνε διὰ προμάχων, ἧοσ φίλον ὤλεσε θυμόν. — 412 = Δ 342
τὸν 'βάλε μέσσον ἄκοντι ποδάρκησ δῖοσ Ἀχιλλεὺσ — 413^{a} cf. 486
νῶτα παραΐσσοντα, ὅθι ζωστῆροσ ὀχῆεσ — 414^{b} sq. = Δ 132 sq.

---

385. Ὕδησ] sic Ar., Ὕλησ olim alii (cf. Ε 708 Η 221).

389. κεῖσ' Syr.] κεῖσαι Ω (cf. vs. 383 sq.).

393. ἔφατ' εὐχόμενοσ] φατ' ἐπευχ. Syr. L.

394. ἐπισσώτροισ' ἐδατεῦντο] ἐπισσώτροισ (ὀπ. Syr. A, cf. Ε 725) δατέοντο Ω. Cf. § 60 (7, 191) et Ψ 121 α 112.

395. Δημολέοντα] sic Ar., Δηϊλέοντα olim alii.

401. ἀΐξαντα A C] ἀΐσσοντα D T (ut Δ 423).

409. παισί] πᾶσι D G H.

411. νηπιίηφι § 46] νηπιέῃσι Ω.

414. παραΐσσοντα T H] -ντοσ Ar. Ω (ut ζ 157 al.). Cf. Δ 430 et Ι 685 sq.

χρύσειοι σύνεχον καὶ διπλόοσ ἤντετο θώρηξ·
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεοσ αἰχμή, 416^{a} = Ε 100
γνὺξ δ' ἔριπ' οἰμώξασ, νεφέλη δέ μιν ἀμφεκάλυψε 417 cf. Ε 68
κυανέη, προτὶ ϝοὶ δὲ 'λάβ' ἔντερα χερσὶ λιασθείσ.
"Εκτωρ δ' ὡσ ἐνόησε κασίγνητον Πολύδωρον
ἔντερα χερσὶν ἔχοντα λιαζόμενον προτὶ γαίηι,
κάρ ῥά ϝοι ὀφθαλμῶν 'κέχυτ' ἀχλύσ· οὐδ' ἄρ' ἔτ' ἔτλη 421^{a} cf. Ε 696^{b}
δϝηθὰ ϝεκὰσ στροφάεσθ', ἀλλ' ἀντίοσ ἦλθ' Ἀχιλῆϊ
ὀξὺ δόρυ κραδάων, φλογὶ ϝείκελοσ. αὐτὰρ Ἀχιλλεὺσ 423^{a} = Ν 583
ὡσ ἔϝιδ', ὣσ ἀνέπαλτο καὶ εὐχόμενοσ ϝέποσ ηὔδα· 424^{a} cf. Ξ 294
„ἐγγὺσ ἀνὴρ ὃσ ἐμόν γε μάλιστ' ἐπεμάσσατο θυμόν, 425^{b} cf. Ρ 564
ὅσ μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδέ κ' ἔτι δϝὴν
ἀλλήλουσ πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρασ.“ 427^{b} = Θ 378
ἦ, καὶ ὑπόδρα ϝιδὼν προσεφώνεεν "Εκτορα δῖον·
„ἆσσον ἴθ', ὥσ κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι!“ 429 = Ζ 143
τὸν δ' οὐ ταρβήσασ προσέφη κορυθαιόλοσ "Εκτωρ· 430 cf. Ε 286
„Πηλεΐδη, μὴ δή με ϝέπεσσί γε νηπύτιον ὣσ 431-433 = 200 sqq.
ϝέλπεο δεδϝίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτὸσ
ἠμὲν κερτομίασ ἠδ' αἴσιμα μυθήσασθαι.
ϝοῖδα δ' ὅτι σὺ μὲν ἐσθλόσ, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται, 435 = Ρ 514
αἴ κέ σε χειρότερόσ περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλοσ ὀξὺ πάροιθε.“
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ· καὶ τό γ' Ἀθήνη 438 cf. Γ 355
πνοιῆι Ἀχιλλῆοσ πάλιν ἔτραπε κυδαλίμοιο,
ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' "Εκτορα δῖον,
αὐτόθι δὲ προπάροιθε ποδῶν 'πέσεν. αὐτὰρ Ἀχιλλεὺσ 441^{a} = π 344
ἐμμεμαὼσ ἐπόρουσε, κατακτάμεναι μενεαίνων, 441^{b}sq.^{a} = 283 sq. 442 cf. Γ 379 Ε 436
σμερδαλέα ϝιϝάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων 443^{b} cf. Γ 380
ῥεῖα μάλ', ὥσ τε θεόσ, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῆι. 444 = Γ 381
τρὶσ μὲν ἔπειτ' ἐπόρουσε ποδάρκησ δῖοσ Ἀχιλλεὺσ 445^{a} = Ε 436

---

415. θώρηξ] *χαλκόσ? Cf. Γ 332 sq. et Δ 132 sq.

421. 'κέχυτ' ἀχλύσ] κέχυτο χλόοσ (*pallor*) Syr. L (item Apoll. Rhod.? Cf. Arg. IV 1279); quae vox neque in carminibus Hom. extat neque huic versui apta est. Nauck ἀχλὺσ χύτο (cf. § 3).

422. δϝηθὰ Bentley] δηρόν. Cf. Ξ 110. — Ἀχιλῆϊ Syr. A C] -οσ D T.

424. ἀνέπαλτο] ἀνέαλτο? Cf. Θ 85.

425. ἐπεμάσσατο Vat.] ἐσεμ. Ω. Cf. Ρ 564.

426. οὐδέ κ' § 326] οὐδ' ἂν Ar. L, οὐδ' ἄρ' Ω.

433. αἴσιμα] cf. vs. 202.

442. ἐμμεμαὼσ] cf. vs. 284.

ἔγχεϊ χαλκείωι, τρὶσ δ' ἠέρα 'τύψε βαθεῖαν. [sq.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσοσ, 447 sq.ᵃ = Ε 438
δϝεινά ϝ' ὁμοκλήσασ ϝέπεα πτερόεντα προσηύδα· 448 = Π 706
„ἐξ αὖ νῦν ἔφυγεσ θάνατον, κύον· ἦ τέ τοι ἄγχι 449-453 = Λ 362 sqq.
ἦλθε κακόν! νῦν αὖτέ σ' ἐρύσατο Φοῖβοσ Ἀπόλλων,
ὧι μέλλεισ εὔχεσθαι ἰὼν εἰσ δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσασ,
εἴ ποθί τισ καὶ ἐμοί γε θεῶν ἐπιτάρροθόσ ἐστι.
νῦν δ' ἄλλουσ Τρώων ἐπιϝίσομαι, ὅν κε κιχήω.“ 454 cf. Λ 367
ὣσ ϝειπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔασε,
Δημόχον δὲ Φιλητορίδην ἠύν τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλωι ἐξαίνυτο θυμόν.
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντοσ,
ἄμφω ἐφορμηθεὶσ ἐξ ἵππων ὦσε χαμᾶζε, 461ᵇ cf. Ε 835
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψασ. 462ᵇ cf. 378
Τρῶα δ' Ἀλαστορίδην, — ὃ μὲν ἀντίοσ ἤλυθε γούνων,
εἴ πώσ ϝευ πεφίδοιτο λαβὼν καὶ ζωιὸν ἀφείη
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσασ,
νήπιοσ, οὐδὲ τὸ 'ϝείδε' ὃ ϝ' οὐ πείσεσθαι ἔμελλε· 466 = γ 146, 466ᵃ cf. Β 38
οὐ γάρ τι γλυκύθυμοσ ἀνὴρ ἔεν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώσ. ὃ μὲν ἥπτετο χείρεσι γούνων
ϝιέμενοσ λίσσεσθ', ὃ δὲ φασγάνωι οὖτα καθ' ἧπαρ·
ἐκ δέ ϝοι ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν, τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε 471ᵇ = Δ 461
θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὖτα παραστὰσ
δούρ' οὖασ· εἶθαρ δὲ δι' οὔατοσ ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνοροσ υἱὸν Ἔχεκλον

---

447. Habent A C G, in margine D, om. Ω.
448. ϝ' Brandreth] δ'.
454. δ' ἄλλουσ Τρώων] δ' ἄλλουσ Τρῶασ L, αὖ τοὺσ ἄλλουσ l. a. in A (ut Λ 367). — ἐπιϝίσομαι § 201] ἐπιείσομαι.
464. ϝευ] οἱ L (ut I 377); novicium est ϝευ (cf. § 92), sed dativo non est locus, neque ϝεό πωσ scribi sinit ordo quo collocari solent encliticae (cf. § 329).
466. *ϝ'(οι)] addidimus.
467. τι] τισ et ἔτι l. a. in A.
468. χείρεσι γούνων] *χερσὶ γενείου? Cf. § 64.
471. ἐνέπλησεν] ἐνέπρησεν Ar. Philoxenus T H (cf. Β 415 I 242).
472. Μούλιον] cf. Λ 739.
478 *δούρ' οὖασ] δουρὶ παρ' (vel κατ') οὖσ Ω, δουρὶ κατ' οὖασ ἄφαρ Knight. Cf. § 72 et Λ 109.

μέσσην κὰκ κεφαλὴν ξίφεϊ ἤλασε κωπήεντι, 475b cf. Π 332
πᾶν δ' ὑπεθερμάνθη ξίφοσ αἵματι· τὸν δὲ κατ' ὄσσε 476 sq. = Π 333 sq.
ἔλλαβε πορφύρεοσ θάνατοσ καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντε
ἀγκῶνοσ, τῆι τόν γε φίλησ διὰ χειρὸσ ἔπειρε
αἰχμῆι χαλκείηι. ὃ δέ μιν 'μένε χεῖρα βαρυνθείσ,
πρόσθ' ὁράων θάνατον· ὃ δὲ φασγάνωι αὐχένα θείνασ
τῆλ' αὐτῆι πήληκι κάρη 'βάλε, μυελὸσ αὖτε
σφονδυλίων ἔκπαλθ', ὃ δ' ἐπὶ χθονὶ 'κεῖτο τανυσθείσ.
αὐτὰρ ὃ 'βῆ ῥ' ἴμεναι μετ' ἀμύμονα Πειρόου υἱόν, 484 cf. Κ 73
'Ρίγμον, ὃσ ἐκ Θρῄκησ ἐριβώλακοσ εἰληλούθει· 485 cf. Ε 44
τὸν 'βάλε μέσσον ἄκοντι, 'πάγη δ' ἐν νηδύι χαλκόσ, 486a cf. 413, 486b cf. Δ 528
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηΐθοον θεράποντα,
ἂψ ἵππουσ στρέψαντα, μετάφρενον ὀξέι δουρὶ
'νύξ', ἀπὸ δ' ἅρματοσ ὦσε· 'κυκήθησαν δέ ϝοι ἵπποι.
ὡσ δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲσ πῦρ
οὔρεοσ ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντηι τε κλονέων ἄνεμοσ φλόγα ϝειλυφάζει,
ὣσ ὅ γε πάντηι ἔθυνε σὺν ἔγχεϊ, δαίμονι ϝῖσοσ,
κτεινομένουσ ἐφέπων· 'ρέε δ' αἵματι γαῖα μέλαινα. 494b = Ο 715
ὡσ δ' ὅτε τισ ζεύξηι βόασ ἄρσενασ εὐρυμετώπουσ
τριβέμεναι κρῖ λευκὸν ἐυ κτιμένηι ἐν ἀλωιῆι, 496b = Φ 77 ω 226 cf. ω 336
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
ὣσ ὑπ' Ἀχιλλῆοσ μεγαθύμου μώνυχεσ ἵπποι
'στεῖβον ὁμοῦ νέκυάσ τε καὶ ἀσπίδασ· αἵματι δ' ἄξων 499b-502a = Λ 534 sqq.
νέρθεν ἅπασ 'πεπάλακτο καὶ ἄντυγεσ, αἳ περὶ δίφρον,
ἃσ ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγεσ ἔβαλλον
αἵ τ' ἀπ' ἐπισσώτρων. ὃ δ' ἐϝίετο κῦδοσ ἀρέσθαι
Πηλεΐδησ, λύθρωι δὲ 'παλάσσετο χεῖρασ ἀάπτουσ. 503 cf. Λ 169

---

478. ἔπειθ', ἵνα τε] ἔπειτα, ἵνα Nauck. — τένοντε D[1]] -ντεσ Ω. Cf. Π 587.

479. φίλησ ... ἔπειρε] μέσησ ... ἔλασσεν Syr.

480. αἰχμῆι χαλκείηι] -μὴ -η Syr.

481. πρόσθ'] Zen. „χωρὶσ τοῦ θ" (προσορόων, cf. § 21).

484. Πειρόου Brandreth] Πείρεω Ar. Ω, Πείρεωσ Zen. (invitis numeris; cf. § 2). Cf. Β 844 Δ 520, 525.

485. 'Ρίγμον] 'Ρίγμον'(α) quidam olim.

486. νηδύι] πνεύμονι Syr. A C (ut Δ 528); cf. Ν 397 sq. Υ 413 sqq.

494. κτεινομένουσ] στεινομένουσ Bothe (cf. Ξ 34), κτείνων τοὺσ Axt (cf. Λ 177 sq.).

496. ἐυ κτιμένηι] ἐυτροχάλωι Syr. (ut Hes. Op. 599).

501. ἱππείων ὁπλέων] cf. Λ 536.

502. ἐπισσώτρων] ὀπ. Syr. (cf. Ε 725).

Φ

ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖοσ ποταμοῖο, 1 sq. = Ξ 433 sq.
Ξάνθου δινήεντοσ, ὃν ἀθάνατοσ 'τέκετο Ζεύσ,
ἔνθα διατμήξασ τοὺσ μὲν πεδίονδ' ἐδίωκε 3ª = γ 291
πρὸσ πόλιν, ἧι περ Ἀχαιοὶ ἀτυζόμενοι 'φοβέοντο 4 cf. Ζ 41
ἤματι τῶι προτέρωι, ὅτ' ἐμαίνετο φαίδιμοσ Ἕκτωρ· —
τῆι ῥ' οἵ γε προχέοντο πεφυζότεσ, ἠέρα δ' Ἥρη
'πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν'· — ἡμίσεεσ δὲ
εἰσ ποταμὸν 'ϝέλλοντο βαθύρροον ἀργυροδίνην,
ἐν δ' ἔπεσον μεγάλωι πατάγωι, 'βράχε δ' αἰπὰ ῥέεθρα,
ὄχθαι δ' ἀμφὶ περὶ μέγ' ἐϝίϝαχον, οἳ δ' ἀλαλητῶι
ἔννεον ἔνθα καὶ ἔνθα, ϝελισσόμενοι κατὰ δίνασ.
ὡσ δ' ὅθ' ὑπὸ ῥιπῆσ πυρὸσ ἀκρίδεσ ἠερέθονται
φευγέμεναι ποταμόνδε, — τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνησ, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ, — 14ª = Ρ 738
ὣσ ὑπ' Ἀχιλλῆοσ Ξάνθου βαθυδινήεντοσ
'πλῆτο ῥόοσ κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν. 16ᵇ cf. Λ 525 Ψ 242
αὐτὰρ ὁ διογενὴσ δόρυ μὲν 'λίπεν αὐτόθ' ἐπ' ὄχθηι
κεκλιμένον μυρίκηισιν, ὃ δ' εἴσθορε δαίμονι ϝῖσοσ,
φάσγανον οἶον ἔχων, — κακὰ δὲ φρεσὶ 'μήδετο ϝέργα, — 19ᵇ = Ψ 176
'τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνοσ ὤρνυτ' ἀϝεικὴσ 20 sq. cf. Κ 483 sq.
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
ὡσ δ' ὑπὸ δελφῖνοσ μεγακήτεοσ ἰχθύεσ ἄλλοι
φεύγοντεσ πιμπλᾶσι μυχοὺσ λιμένοσ εὐόρμου,
δεδϝιότεσ, — μάλα γάρ τε κατεσθίει ὅν κε λάβηισι, — 24 cf. Γ 25
ὣσ Τρῶεσ ποταμοῖο κατὰ δϝεινοῖο ῥέεθρα
'πτῶσσον ὑπὸ κρημνούσ. ὃ δ' ἐπεὶ 'κάμε χεῖρασ ἐναίρων, 26ᵇ cf. φ 150
ζωιοὺσ ἐκ ποταμοῖο δυώδεκα 'λέξατο κούρουσ,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντοσ.
τοὺσ ἐξῆγε θύραζε τεθηπότασ ἠύτε νεβρούσ, 29ᵇ cf. Δ 248

1. πόρον] ῥόον Aristoph.
2. ἀθάνατοσ] -τον Zen. (item Β 741).
4. Ἀχαιοὶ Syr. A] οἱ ἄλλοι Ω (ut Ζ 41 Φ 554).
8. 'ϝέλλοντο § 265] ἐλλεῦντο.
9. αἰπὰ] αἰνὰ Nauck (cf. Θ 369).
10. μέγ' ἐϝίϝαχον] μεγάλ' ἴαχον Ω. Cf. Λ 482.
11. ἔννεον] νήχοντ' olim „ἔνιαι τῶν κατὰ πόλεισ".
— κατὰ] περὶ A C (ex Σ 372 desumtum?). Cf. Φ 353.
18. εἴσθορε] ἔνθορε D; cf. Μ 462.
22. ἄλλοι] *ἐλλοί? Cf. Soph. Ai. 1297 et fr. Titanomachiae Athen. 277 d; Hes. Scut. 212 delphini persequuntur ἔλλοπασ ἰχθῦσ. Non tamen improbanda est vulgata, nam delphinos piscibus iure suo accensent poetae; cf. etiam Ν 64.

'δῆσε δ' ὀπίσσω χεῖρασ ἐϋ τμητοῖσιν ἱμᾶσι, 30b = K 567
τοὺσ αὐτοὶ 'φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
'δῶκε δ' ἑταίροισιν κατάγειν κοίλασ ἐπὶ νῆασ. 32 cf. E 26
αὐτὰρ ὃσ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων. 33a = Γ 379

ἔνθ' υἷι Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ' αὐτὸσ
ἦγε λαβὼν ἐκ πατρὸσ ἀλωιῆσ οὐκ ἐθέλοντα,
ἐννύχιοσ προμολών. ὃ δ' ἐρινεὸν ὀξέι χαλκῶι
'τάμνε νέουσ ὄρπηκασ, ἵν' ἅρματοσ ἄντυγεσ εἶεν·
τῶι δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖοσ Ἀχιλλεύσ. 39 cf. γ 306
καὶ τότε μέν μιν Λῆμνον ἐϋ κτιμένην ἐπέρασσε
νηυσὶν ἄγων, ἀτὰρ υἱὸσ 'Ιήσονοσ ὦνον ἔδωκε· 41 cf. Ψ 746; 41b cf. ο 388, 429
κεῖθεν δὲ ξεῖνόσ μιν ἐλύσατο, πολλὰ δ' ἔδωκε,
Ἴμβριοσ 'Ηετίων, 'πέμψεν δ' εἰσ δῖαν Ἀρίσβην,
ἔνθεν ὑπεκπροφυγὼν πατρώϊον ἵκετο δῶμα.
ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο ϝοῖσι φίλοισι
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτηι δέ μιν αὖτισ
χερσὶν Ἀχιλλῆοσ θεὸσ ἔμβαλεν, ὅσ μιν ἔμελλε
πεμψέμεν' εἰσ Ἀϝίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι. 48 cf. Σ 240
τὸν δ' ὡσ οὖν ἐνόησε ποδάρκησ δῖοσ Ἀχιλλεὺσ 49a = E 95
γυμνόν, ἄτερ κόρυθόσ τε καὶ ἀσπίδοσ, οὐδ' ἔχεν ἔγχοσ,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ 'βάλε, — 'τεῖρε γὰρ ἱδρὼσ 51b cf. E 796a
φεύγοντ' ἐκ ποταμοῦ, κάματοσ δ' ὑπὸ γούνατ' ἐδάμνα, —
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 53 sq. = Υ 343 sq.
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι!
ἦ μάλα δὴ Τρῶεσ μεγαλήτορεσ, οὕσ περ ἔπεφνον,
αὖτισ ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντοσ, 56b cf. Ψ 51
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲσ ἦμαρ, 57b = ι 17
Λῆμνον ἐσ ἠγαθέην πεπρημένοσ· οὐδέ μιν ἔσχε 58a = 79 cf. B 722
πόντοσ ἁλὸσ πολιῆσ, ὃ πολῦσ ἀϝέκοντασ ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸσ ἀκωκῆσ ἡμετέροιο

33. αὐτὰρ ὃσ ἂψ] αὐτὸσ δ' αἶψ' olim quidam (cf. H 272). — ὃσ § 15] ὅ. — δαϊζέμεναι] sic Ar., κατακτάμεναι l. a. in A.
34. υἷι Z] υἱεῖ Ω. Cf. § 78 et Π 177.
37. ἐρινεὸν] -νεοῦ Bentley.
53. ποτὶ] πρὸσ ὃν Ω. Cf. Δ 403.
58. πεπρημένοσ Leskien] πεπερημένοσ. Cf. § 299.
59. πολῦσ § 83] πολεῖσ.

γεύσεται, ὄφρα ϝίδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαήω
ἦ ἄρ' ὁμῶσ καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
γῆ φυσίζοοσ, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
ὣσ ὥρμαινε μένων· ὃ δέ ϝοι σχεδὸν ἦλθε τεθηπώσ, 64 cf. Χ 131
γούνων ἅψασθαι μεμαώσ, περὶ δ' ἤθελε θυμῶι
ἐκφυγέμεν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν. 66 cf. Π 47 χ 14
ἤ τοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖοσ Ἀχιλλεὺσ
οὐτάμεναι μεμαώσ, ὃ δ' ὑπέδραμε καὶ 'λάβε γούνων 68^a = ε 449 68^b = κ 323
κύψασ· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτοι' ἐνὶ γαίηι 69^b sq.^{a} = Υ 279 sq.
ἕστη, ϝιεμένη χροὸσ ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῆι ἑτέρηι μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῆι δ' ἑτέρηι ἔχεν ἔγχοσ ἀκαχμένον οὐδὲ μεθίει·
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα· 73 sq. cf. χ 311 sq. [348 sq.
„γουνάομαί σ', Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον. 74^b cf. Χ 82
ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφέσ, αἰδοίοιο.
πὰρ γὰρ σοὶ πρώτωι 'πασάμην Δημήτεροσ ἀκτὴν 76^b cf. Ν 322
ἤματι τῶι ὅτε μ' εἷλεσ ἐϋ κτιμένηι ἐν ἀλωιῆι, 77^b = Υ 496
καί μ' ἐπέρασσασ ἄνευθεν ἄγων πατρόσ τε φίλων τε
Λῆμνον ἐσ ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον. 79^a = 58
νῦν δ' ἐλύμην τρὶσ τόσσα πορών, ἠὼσ δέ μοί ἐστι 80^b sq. cf. 155 sq.
ἥδε δυωδεκάτη ὅτε Ϝίλιον εἰλήλουθα 81^b cf. Ε 204
πολλὰ παθών· νῦν αὖ με τεῆισ' ἐν χερσὶν ἔθηκε
μοῖρ' ὀλοή. μέλλω ποθ' ἀπεχθέσθαι Διὶ πατρί,
ὅσ μέ σοι αὖτισ ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
'γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντοσ,
Ἄλτα', ὃσ Λελέγεσσι φιλοπτολέμοισι ϝανάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ' ἔχε θυγατέρα Πρίαμοσ, πολλὰσ δὲ καὶ ἄλλασ·

---

63. γῆ φυσίζοοσ] γαῖα φυσίζωοσ Brandreth (-ζω- est in A[1] C D T schol. Oxyrh.), deleto κατὰ (quod om. D H L, καὶ C); sed cf. Γ 243 λ 301 h. Ven. 125 (φῡ-). Christ γαῖα φερέσβιοσ (ut h. Ap. 341 XXIX 9).

73. Deerat in Aristarcheis, sine vitio tamen omitti nequit (nam diversi sunt Ζ 45 κ 265) et legitur locis parallelis. Similis fere est ratio versus Φ 480.

— μιν φωνήσασ Syr. A C] μιν λισσόμενοσ D T (ut est χ 311, 348), ῥ' ὀλοφυρόμενοσ H.

74. γουνάομαι § 144 et 191] γουνοῦμαι.

81. ὅτε Bentley] ὅτ' ἐσ (item vs. 156).

82. αὖ με τεῆισ'] αὖτέ με σῆισ Syr. (cf. Α 53 et 185).

86. ϝανάσσει] sic (ἀν.) Ar., ἄνασσε Syr. L et olim aliquot „τῶν κατὰ πόλεισ" (cf. Υ 92).

87. ἐπὶ Strab. 605] ὑπὸ Ω. Cf. Ζ 34 Ξ 445.

88. πολλὰσ δὲ καὶ ἄλλασ] πολλῶν τε (δὲ Nauck) καὶ ἄλλων Mass.

τῆσ δὲ δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεισ;
ἤ τοι τὸν πρώτοισι μετὰ πρυλέεσσ' ἐδάμασσασ,
ἀντίθεον Πολύδωρον, ἐπεὶ 'βάλεσ ὀξέι δουρί·
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεται, οὐ γὰρ ὀίω
σὰσ χεῖρασ φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων. 93b = O 418
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισι· 94 = Λ 297
μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριοσ Ἕκτορόσ εἰμι,
ὅσ τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε." 96 cf. Ρ 204
ὣσ ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμοσ υἱὸσ
λισσόμενοσ ϝεπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε· 98 cf. Λ 137
„νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε.
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπέμεν' αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺσ ζωοὺσ ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅσ τισ θάνατον φύγηι, ὅν κε θεόσ γε
Ϝιλίοο προπάροιθεν ἐμῆισ' ἐν χερσὶ βάληισι, 104a cf. O 66
καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλά, φίλοσ, θάνε καὶ σύ· τίη ὀλοφύρεαι αὔτωσ;
κάτθανε καὶ Πάτροκλοσ, ὅ περ σέο πολλὸν ἀμείνων. 107b = Η 114
οὐχ ὁράεισ οἷοσ καὶ ἐγὼ καλόσ τε μέγασ τε;
πατρὸσ δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με 'γείνατο μήτηρ· 109b cf. Λ 280
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατοσ καὶ μοῖρα κραταιή.
ἔσσεται ἢ ἠὼσ ἢ δείελοσ ἢ μέσον ἦμαρ,
ὁππότε τισ καὶ ἐμεῖο Ἄρη' ἐκ θυμὸν ἕληται,

---

89. *δύω 'γενόμεσθα*] *δύ' ἐκγεν.* vHerwerden (coll. Γ 199 al.).
— In fine versus signum int. scribi recte iubet schol. V.

92. *ἔσσεται*] *ἔσσεαι* L (cf. Φ 39 β 166 π 108).

95. *οὐχ ὁμογάστριοσ*] *ΟΥΚΙΟΓΑΣΤΡΙΟΣ* Zen., sive *οὐκ ἰογάστριοσ* voluit, quod improbabat Ar., non enim compositioni inservire vocem *ἴα*, sive *οὐκὶ ὀγάστριοσ* (*οὐκὶ ὑγαστριοσ* schol. A et h. l. et ad Ω 47) collatis *ὀϝέτησ*, *ὄθριξ*, *ὄπατροσ*, non recte tamen, quoniam *οὐκί* (*οὐχί*) in fine tantum enuntiati locum habet (cf. O 716).

96. In Syr. additur versus: *ὧι σὺ μάλιστα χολῶε'* (*χολωασ* cod.) *ἐνὶ φρεσίν, οἶδα καὶ αὐτόσ.*

98. *ὄπ'*] neglecto ϝ (cf. § 41[26]).

101. *τόφρα τι*] *τ. δέ* H, *τόφρ' ἔτι* Doederlein.

103. *φύγηι*] *φύγοι* Syr. A D T (cf. X 348).

104. *Ϝιλίοο* § 59] *'Ιλίου.*

105. *καὶ πάντων*] *συμπάντων* G.

106. *αὔτωσ* G] *οὕτωσ* Ar. Ω. Cf. N (447 et) 810.

108. *καὶ ἐγὼ* Syr.] *κἀγὼ* Ω. Cf. § 9.

111. *δείελοσ* Brandreth] *δείλη* Ar. C D (claudicante metro; cf. § 14), *δείλησ* Syr. A T, *δείελον* (sc. *ἦμαρ*) Nauck, ut ρ 606; quae lectio fortasse commendatur in schol. Oxyrh., nimis tamen mutilo. Cf. vs. 232; vox *δείλη* apud Hom. alibi non invenitur.

112. *Ἄρη'*] *ἀρῆι* (= *βλαβῆι*) Hermapias in schol. Oxyrh.

ἠ̃ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀιστῶι.“
ὣσ ’φάτο, τοῦ δ’ αὖθι ’λύτο γούνατα καὶ φίλον ἦτορ·
ἔγχοσ μέν ῥ’ ἀφέηκεν, ὃ δ’ ἕζετο χεῖρέ πετάσσασ
ἀμφοτέρω. Ἀχιλεὺσ δὲ ϝερυσσάμενοσ ξίφοσ ὀξὺ
’τύψε κατὰ κληῖδα παρ’ αὐχένα, πᾶν δέ ϝοι εἴσω
’δῦ ξίφοσ ἄμφηκεσ· ὃ δ’ ἄρα πρηνὴσ ἐπὶ γαίηι
’κεῖτο ταθείσ, ἐκ δ’ αἷμα μέλαν ’ρέε, ’δεῦε δὲ γαῖαν.
τὸν δ’ Ἀχιλεὺσ ποταμόνδε λαβὼν ποδὸσ ἧκε φέρεσθαι,
καί ϝοι ἐπευχόμενοσ ϝέπεα πτερόεντ’ ἀγόρευε·
„ἐνταυθοῖ νῦν κεῖσο μετ’ ἰχθύσιν, οἵ σ’ ὠτειλῆσ
αἷμ’ ἀπολιχμήσονται ἀκηδέεσ· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδροσ
οἴσει δινήεισ εἴσω ἁλὸσ εὐρέα κόλπον.
θρώισκων τισ κατὰ κῦμα μέλαιναν φρῖχ’ ὑπαΐξει
ἰχθύσ, ὅσ κε φάγηισι Λυκάονοσ ἀργέτα δημόν.
φθείρεσθ’, εἰσ ὅ κε ϝάστυ κιχήομεν Ἰλίου ἱρῆσ,
ὑμεσ μὲν φεύγοντεσ, ἐγὼ δ’ ὄπιθεν κεραΐζων.
οὐδ’ ὕμιν ποταμόσ περ ἐύρροοσ ἀργυροδίνησ
ἀρκέσει, ὧι δὴ δϝηθὰ πολῦσ ἱερεύετε ταύρουσ,
ζωιοὺσ δ’ ἐν δίνηισι καθίετε μώνυχασ ἵππουσ.
ἀλλὰ καὶ ὣσ ὀλέεσθε κακὸν μόρον, εἰσ ὅ κε πάντεσ
τίσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓσ ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνετε νόσφιν ἐμεῖο.“
ὣσ ἄρ’ ἔφη, ποταμὸσ δὲ ’χολώσατο κηρόθι μᾶλλον,
ὥρμηνεν δ’ ἀνὰ θυμόν, ὅπωσ παύσειε πόνοιο

113^b = N 585
114 = ω 345 cf. Φ 425 δ 703 χ 68 ψ 205
115^b sq.^{a} cf. ω 397
115^b = Ξ 495 [sq.
116^b = M 190
117^b sq.^{a} cf. Π 340
118^b = Π 413
119 = N 655
121 cf. Π 829
122^a cf. σ 105 υ 262 h. Ap. 363
123^b sq. cf. X 352 sq.
133 cf. α 166
[h. Ap. 138
[σ 387 χ 224 cf.
136^b = ι 480 ρ 458
137^a cf. β 156
137^b cf. 249

---

116. ἀμφοτέρω] -ρασ Ω. Dualis traditus est ω 398, vitium est simile λ 211. Cf. Γ 18.

121. πτερόεντ’ ἀγόρευε] -ντα προσηύδα l. a. in A (item vs. 427).

122. κεῖσο] ἧσο (ut σ 105 υ 262) schol. Oxyrh., Ar. utrumque.

— ὠτειλῆσ] -λὴν Ar. A D (cf. Π 667 Σ 345 ζ 224), -λὴν | αἶψ’ Naber (coll. vs. 347).

123. ἀκηδέεσ] -δέα Nauck (*neglectum*, ut Ω 554 al.). Cf. ρ 319.

124. ἀλλὰ] ἤ τὸ πάροσ περ | γείνατο κοῦρον ἐόντα <καὶ ἔτρεφεν la Roche>, ἀλλὰ C.

125. κόλπον] πόντον C (cf. vs. 59).

126. μέλαιναν] μελαίνη<ι Heyne> Chia.

— ὑπαΐξει] sic Ar., ὑπαλύξει Syr. D T, item olim Philetas et Callistratus, φρῖκα interpretati *frigus* et ὅσ κε φάγηισι vs. 127 de pisce *satiato* dici rati (*qui ederit*), hanc igitur poetae tribuentes sententiam insulsam: *piscis aliqui Lycaonis adipe bene pastus hiemem effugiet* sive proximo vere etiam vivet, *pingues* enim pisces frigoris minus impatientes esse.

127. ὅσ] sic Ar., ὧσ Aristoph. L.

128. ’Ιλίου] neglecto ϝ, Brandreth κιχήετε Ϝιλίου.

130—135. Aristoph. — referente nec contra dicente Ar.

131. πολῦσ § 83] πολέασ Ar., πολεῖσ Ω.

137. πόνοιο] φόνοιο Syr. B (cf. P 365).

δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι. 138 = 250
τόφρα δὲ Πηλέοσ υἱόσ, ἔχων δολιχόσκιον ἔγχοσ,
140 Ἀστεροπαίωι ἐπᾶλτο κατακτάμεναι μενεαίνων, 140 cf. 170
υἱέι Πηλεγόνοσ· τὸν δ' Ἀξιὸσ εὐρυρέεθροσ
'γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῆι γάρ ῥ' ἐμίγη ποταμὸσ βαθυδίνησ.
τῶι ῥ' Ἀχιλεὺσ ἐπόρουσεν, ὃ δ' ἀντίοσ ἐκ ποταμοῖο
145 ἔστη ἔχων δύο δοῦρε, μένοσ δέ ϝοι ἐν φρέσ' ἔθηκε
Ξάνθοσ, ἐπεὶ 'κεχόλωτο δαΐ κταμένων αἰζηῶν, 146ᵇ = 301
147 τοὺσ Ἀχιλεὺσ ἐδάϊζε κατὰ ῥόον οὐδ' ἐλέαιρε.
149 τὸν πρότεροσ προσέϝειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ· 149 = Υ 177
150 „τίσ πόθεν ἔσσ' ἀνδρῶν, ὅ μοι ἔτλησ ἀντίοσ ἐλθεῖν; 150ᵃ = α 170 η 238 etc.
δυστήνων δέ τε παῖδεσ ἐμῶι μένεϊ ἀντιάουσι.“ 151 = Ζ 127
τὸν δ' αὖ Πηλεγόνοσ προσεφώνεε φαίδιμοσ υἱόσ·
„Πηλεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεισ; 153 cf. Ζ 145
εἴμ' ἐκ Παιονίησ ἐριβώλου, τηλόθ' ἐούσησ,
155 Παίονασ ἄνδρασ ἄγων δολιχεγχέασ· ἧδε δέ μοι νῦν 155ᵇ sq. cf. 80 sq.
ἠὼσ ἑνδεκάτη, ὅτε Ϝίλιον εἰλήλουθα.
157 αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντοσ, 157ᵇ sq. = Β 849 sq.
159 ὃσ 'τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασι
160 γείνασθαι. νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ.“
ὣσ 'φάτ' ἀπειλήσασ, ὃ δ' ἀνέσχετο δῖοσ Ἀχιλλεὺσ
Πηλιάδα μελίην· ὃ δ' ὁμαρτῆι δούρασιν ἀμφὶσ
ἥρωσ Ἀστεροπαῖοσ, ἐπεὶ περιδέξιοσ ἦεν.
καί ῥ' ἑτέρωι μὲν δουρὶ σάκοσ 'βάλεν, οὐδὲ διὰ πρὸ
165 'ρῆξε σάκοσ, χρυσὸσ γὰρ ἐρύκακε, δῶρα θεοῖο· 165 = Υ 268
τῶι δ' ἑτέρωι μιν πῆχυν ἐπιγράβδην 'βάλε χειρὸσ
δεξιτερῆσ, —'σύτο δ' αἷμα κελαινεφέσ,— ἣ δ' ὑπὲρ αὐτοῦ
γαίηι ἐνεστήρικτο, λιλαιομένη χροὸσ ἆσαι. 168 cf. Δ 574

---

148 οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 148 = Υ 176
158 Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν, 158 cf. λ 289

---

144. ῥ'] δ' D T.
148. Om. Syr.; ex Υ insertum apparet, pugnat enim cum vs. 145.
150. *μοι] μευ (i. e. με', § 92) Ω, μου l. a. in T. Cf. Υ 371.
155. ἄγων] ἔχων A C.
156. ὅτε Bentley] ὅτ' ἐσ (item vs. 81).
158. Om. Syr. A D T. Ex Β insertus contextum divellit.
162. ὁμαρτῆι Syr.] ἁμαρτῆι Mass. Ω, ἁμαρτῇ Ar.; cf. § 819.
— ἀμφὶσ] ἄμφω Mass.; *δούραθ' ἅμ' ἄμφω?

δεύτεροσ αὖτ' Ἀχιλεὺσ μελίην ἰθυπτίωνα
Ἀστεροπαίωι ἐφῆκε κατακτάμεναι μενεαίνων. 170 cf. 140
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ὑψηλὴν ἔβαλ' ὄχθην, 171^{a} = Θ 119
μεσσοπαγὲσ δ' ἄρ' ἔθηκε κατ' ὄχθησ μείλινον ἔγχοσ.
Πηλεΐδησ δ' ἄορ ὀξὺ ϝερυσσάμενοσ παρὰ μηροῦ 173 cf. ι 300 κ 126, 294, 321, 535 λ 24, 48
ἆλτ' ἐπί ϝοι μεμαώσ· ὃ δ' ἄρα μελίην Ἀχιλῆοσ
οὐ 'δύνατ' ἐκ κρημνοῖο ϝερύσσαι χειρὶ παχείηι.
τρὶσ μέν μιν 'πελέμιξε ϝερύσσασθαι μενεαίνων, 176 sq.^{a} = φ 125 sq.
τρὶσ δὲ μεθῆκε βίησ· τὸ δὲ τέτρατον ἤθελε θυμῶι
ϝᾶξαι ἐπιγνάμψασ δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρὶν Ἀχιλεὺσ σχεδὸν ἄορι θυμὸν ἀπέϝρα. 179^{b} = Υ 290
γαστέρα γάρ μιν ἔτυψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶσαι 180^{b} sq. = Δ 525 sq.
'χύντο χαμαὶ χολάδεσ· τὸν δὲ σκότοσ ὄσσ' ἐκάλυψε
ἀσθμαίνοντ'. Ἀχιλεὺσ δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσασ
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοσ ϝέποσ ηὔδα· 183 = Ν 619
„κεῖσ' οὕτωσ· χαλεπόν τοι ἐρισθενέοσ Κρονίωνοσ
παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι.
'φῆσθα σὺ μὲν ποταμοῦ γένοσ ἔμμεναι εὐρὺ ῥέοντοσ,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸσ εὔχομαι εἶναι·
'τίκτε μ' ἀνὴρ πολλοῖσι ϝανάσσων Μυρμιδόνεσσι, 188 cf. Ν 452
Πηλεὺσ Αἰακίδησ, ὃ δ' ἄρ' Αἰακὸσ ἐκ Διὸσ ἦεν.
τῶι κρείσσων μὲν Ζεὺσ ποταμῶν ἁλιμυρηέντων, 190 sq. cf. Υ 106
κρείσσων αὖτε Διὸσ γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμόσ γε πάρα μέγασ, εἰ δύναταί τι
χραισμέμεν'· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῶι οὐδὲ κρείων Ἀχελώϊοσ ἰσοφαρίζει,
οὐδὲ βαθυρρεῖταο μέγα σθένοσ Ὠκεανοῖο, 195^{b} = Σ 607

---

169. *ἰθυπτίωνα*] *-κτίωνα* Zen. et Callistratus.

172. *μεσσοπαγὲσ*] *-λὲσ* Ar. Syr. A C, utrumvis †.

176. *(ϝ)ερύσσασθαι* D T] *ἐρύσσεσθαι* A C. Cf. versus par. et Β 544.

177. *βίησ*] *βίη(ι)* Ω. Genitivus est in versu parall. (et h. l. in saeculi XVI codicibus Ambr. E 35 Marc. 9, 2).

182. *ὀρούσασ*] *ὀρούων* A^{2} D.

183. *ἐξενάριξε*] *-ζε* l. a. ant.

185. *ἐκγεγαῶτι*] sic Ar., *-τα* L.

187. *γενεὴν*] *-ῆσ* Bentley (ut Ζ 211 Υ 241), *-ῇ* Bekker. Cf. Ξ 113 ο 225.

190. *ἁλιμυρηέντων*] sic Ar., *-μοιρ-* l. a. ant.

191. *αὖτε* Ar.] *δ' αὖτε* Ω.

192. *πάρα μέγασ*] *μέγασ πάρα* G.

194. *οὐδὲ*] *οὔτε* H L (cf. vs. 195).

— *ἰσοφαρίζει*] neglecto ϝ, *ἀντιφερίζει* Bentley. Cf. Ζ 101.

195. Omittebant Zen. et Megaclides, defenderunt Ar. et Crates (cf. schol. Oxyrh. et Gen.).

— *οὐδὲ*] *οὔτε* Ar. L.

ἐξ οὗ περ πάντεσ ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρήατα μακρὰ νάουσι·
ἀλλὰ καὶ ὃσ δέδϝοικε Διὸσ μεγάλοιο κεραυνὸν
δϝεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσηι."
ἦ ῥα, καὶ ἐκ κρημνοῖο 'ϝερύσσατο χάλκεον ἔγχοσ, 200 cf. Χ 367
τὸν δὲ κατ' αὐτόθ' ἔλειπεν, ἐπεὶ φίλον ἦτορ ἀπέϝρα, 201ᵇ = Ω 50
κείμενον ἐν ψαμάθοισι, 'δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυέσ τε καὶ ἰχθύεσ ἀμφεπένοντο, 203 cf. 353 ι 455
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντεσ·
αὐτὰρ ὃ 'βῆ ῥ' ἴμεναι μετὰ Παίονασ ἱπποκορυστάσ, 205 cf. Κ 73
οἵ ῥ' ἔτι πὰρ ποταμὸν 'πεφοβήατο δινήεντα,
ὡσ ἔϝιδον τὸν ἄριστον ἐνὶ κρατερῆι ὑσμίνηι
χέρσ' ὕπο Πηλεΐδαο καὶ ἄορι ϝῖφι δαμέντα. 208 cf. Γ 143
ἔνθ' ἕλε Θερσίλοχόν τε Μύδωνά τε Ϝαστύπυλόν τε
Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ' 'Οφελέστην.
καί νύ κ' ἔτι πλέονασ 'κτάνε Παίονασ ὠκὺσ Ἀχιλλεύσ, 211 cf. Ε 679
εἰ μὴ χωσάμενοσ προσέφη ποταμὸσ βαθυδίνησ,
ἀνέρι ϝεισάμενοσ, βαθέησ δ' ἐκ 'φθέγξατο δίνησ·
„ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεισ, περὶ δ' αἴσυλα ῥέζεισ 214ᵇ cf. Ε 403
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶασ ἔδωκε Κρόνου παῖσ πάντασ ὀλέσσαι,
ἐξ ἐμέθεν γ' ἐλάσασ πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γάρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πηι δύναμαι προχέειν ῥόον εἰσ ἅλα δῖαν
στεινόμενοσ νεκύεσσι, σὺ δὲ κτείνεισ ἀϊδήλωσ.
ἀλλ' ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„ἔσται ταῦτα, Σκάμανδρε διοτρεφέσ, ὡσ σὺ κελεύεισ. 223 cf. Ω 669
Τρῶασ δ' οὐ πρὶν λήξω ὑπερφιάλουσ ἐναρίζων,
πρὶν ϝέλσαι κατὰ ϝάστυ καὶ Ἕκτορι πειρηθῆναι

---

197. φρήατα] φρείατα Ω.
198. ὃσ] ὥσ D.
201. ἀπέϝρα § 150⁵] ἀπηύρα.
205. ῥ'] om. Ambr. A.
212. ποταμὸσ] Ξάνθοσ Syr.[1]
213. ϝεισάμενοσ] εἰδόμενοσ Ambr., Ar. utrumque.
— δ'] om. L et olim alii (Ar.?).
— ἐκφθέγξατο Ambr.] ἐφθ. Ω.
217. γ' ἐλάσασ] sic Ar., πελάσσασ Aristoph.
— ῥέζε] ῥέζειν D.
221. ἔασον] sic Ar., alii interpretabantur *satia te* (ἄασον igitur legentes); cf. schol. Oxyrh. et ABT, § 192[1], Ν 315.

ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.“
ὣσ ϝειπὼν Τρώεσσιν ἐπέσσυτο, δαίμονι ϝῖσοσ. 227b = Ε 438
καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸσ βαθυδίνησ·
„ὢ πόποι, ἀργυρότοξε, Διὸσ τέκοσ, οὐ σύ γε βουλὰσ
εἴρυσο Κρονίωνοσ, ὅ τοι μάλα πόλλ' ἐπέτελλε 230b cf. Ζ 207
Τρωσὶ παρεστάμεναι καὶ ἀμυνέμεν', εἰσ ὅ κεν ἔλθηι 231 cf. Ο 255
δείελοσ ὀψὲ δύων, σκιάσηι δ' ἐρίβωλον ἄρουραν.“
ἦ, καὶ Ἀχιλλεὺσ μὲν δουρὶ κλυτὸσ ἔνθορε μέσσωι
κρημνοῦ ἀπαΐξασ· ὃ δ' ἐπέσσυτο οἴδματι θυίων,
πάντα δ' ὄρινε ῥέεθρα κυκώμενοσ, ὦσε δὲ νεκροὺσ
πολλούσ, οἵ ῥα κατ' αὐτὸν ἔσαν ϝάλισ, οὓσ' κτάν' Ἀχιλλεύσ· 236 = 344
τοὺσ ἔκβαλλε θύραζε, μεμυκὼσ ἠύτε ταῦροσ,
χέρσονδε· ζωιοὺσ δὲ 'σάου κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνηισι βαθείηισιν μεγάληισι.
δϝεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθεε δ' ἐν σάκεϊ πίπτων ῥόοσ· οὐδὲ πόδεσσι
εἶχε στηρίξασθαι. ὃ δὲ πτελέην ἕλε χερσὶ
εὐφυέα μεγάλην, ἐκ ῥιζάων δ' ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
ὄζοισιν πυκινοῖσι, 'γεφύρωσεν δέ μιν αὐτὸν 245b cf. Ο 357
εἴσω πᾶσ' ἐριποῦσ'· ὃ δ' ἄρ' ἐκ δίνησ ἀνορούσασ
ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δϝείσασ. οὐδέ τ' ἔληγε θεὸσ μέγασ, ὦρτο δ' ἐπ' αὐτῶι
ἀκροκελαινιάων, ἵνα μιν παύσειε πόνοιο 249b cf. 137
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι. 250 = 138
Πηλεΐδησ δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸσ ἐρωή, 251b = Ο 358

---

230. εἴρυσο § 164] εἰρύσαο Ω (ἐφράσαο lemma scholii Oxyrh.).

234. θυίων A T schol. Oxyrh.] θύων Ω. Cf. § 287[10].

236. ἔσαν (ϝ)άλισ Harl.] ἅλισ ἔσαν Ω (item vs. 344).

237. ἔκβαλλε] ἐξῆγε l. a. in A.

238. (')σάου Cobet] σάω. Cf. Π 363 et § 195.

242. εἶχε] εἴα L.

243. *ἐκ ῥιζάων δ'] ἣ δ' ἐκ ῥιζῶν. Novicium est -ῶν (cf. § 56) et ἣ δέ displicet post ὃ δέ (vs. 242).

245. μιν αὐτὸν] κέλευθον l. a. in A (ut Ο 357).

246. δίνησ Ar. Syr.] λίμνησ C D T, ῥιπῆσ l. a. in T.

247. πεδίοιο] sic Ar., alii olim πεδίονδε (et sic schol. Oxyrh.).

— πέτεσθαι] φέρεσθαι l. a. ant. (cf. Ο 743).

248. θεὸσ μέγασ] μέγασ θεόσ G L.

— αὐτῶι] αὐτὸν Syr. Gen. (cf. Ε 590 = Λ 348). Dativum tuentur multi loci, ubi praepositio ἐπί tmesi aut anastrophe a verbo suo est seiuncta (Ε 629 Μ 293 Ξ 401 Ο 579, 726 Ρ 677, 725 κ 214 χ 80).

219. πόνοιο] sic Ar., φόνοιο Aristoph. Syr.; cf. Ρ 365.

251. ἐρωή] -ήν A D (cf. ι 325 κ 113 al.).

αἰετοῦ οἶματ' ἔχων μέλανοσ, τοῦ θηρητῆροσ,
ὅσ θ' ἅμα κάρτιστόσ τε καὶ ὤκιστοσ πετεηνῶν·
τῶι ϝεϝικὼσ ἤϊξεν, — ἐπὶ στήθεσφι δὲ χαλκὸσ — 254b sq.a cf. N 497 sq.
σμερδαλέον 'κονάβιζεν, — ὕπαιθα δὲ τοῖο λιασθεὶσ
'φεῦγ', ὃ δ' ὄπισθε ῥέων ἕπετο μεγάλωι ὀρυμαγδῶι.
ὡσ δ' ὅτ' ἀνὴρ ὀχετηγὸσ ἀπὸ κρήνησ μελανύδρου
ἂμ φυτὰ καὶ κήπουσ ὕδατι ῥόον ἡγεμονεύηι,
χερσὶ μάκελλαν ἔχων, ἀμάρησ ἐξ ἔχματα βάλλων· —
τοῦ μέν τε προρέοντοσ ὑπὸ ψηφῖδεσ ἅπασαι
ὀχλεῦνται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρωι ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα· —
ὣσ αἰεὶ Ἀχιλῆα 'κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα, θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ' ὁρμήσειε ποδάρκησ δῖοσ Ἀχιλλεὺσ — 265a = X 194
στήμεν' ἐναντίβιον, καὶ γνώμεναι εἴ μιν ἅπαντεσ — 266a = ξ 270 ρ 439
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα διιπετέοσ ποταμοῖο
'πλάζ' ὤμουσ καθύπερθεν· ὃ δ' ὑψόσε ποσσὶν ἐπήδα
θυμῶι ἀνιάζων, ποταμὸσ δ' ὑπὸ γούνατ' ἐδάμνα — 270a = χ 87
λάβροσ ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖιν.
Πηλεΐδησ δ' ᾤιμωξε ϝιδὼν εἰσ οὐρανὸν εὐρύν· — 272 cf. Γ 364
„Ζεῦ πάτερ, ὡσ οὔ τίσ με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι! ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλοσ δ' οὔ τίσ μοι τόσον αἴτιοσ Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγε·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖσ' ὀλέεσθαι Ἀπόλλωνοσ βελέεσσι.
ὥσ μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃσ ἐνθάδε γ' ἔτραφ' ἄριστοσ· — 279b cf. Ψ 348
τῶι κ' ἀγαθὸσ μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε.

---

252. οἶματ'] sic Ar., ὄμματ' Philetas. Cf. Π 752 (X 140, 308, 311) Θ 349.
— μέλανοσ τοῦ] μελανόσ του Ar. (?), μελανόστου (!) Aristoteles (an Democritus? cf. Porphyr. ad Ω 315), μελανόσσου alii olim (Philetas?), μελανόρσου Ahrens (cf. Aesch. Ag. 115).
254. στήθεσφι D] -σσι Ω. Cf. B 388.
258. ὕδατι] -τοσ Syr. G L.

259. μάκελλαν] δίκελλαν olim quidam (Heliodorus? an Duris? ἡδροδοῦρισ cod.) teste schol. Gen.
262. φθάνει] φθανέει Zen. et (teste schol. Gen.) Lysanias et Duris. Cf. I 506 et B 436.
265. ὁρμήσειε] sic Ar., οἰμήσειε l. a. ant. (cf. X 140 al.).
279. γ' ἔτραφ' A D] τέτραφ' Ω. Idem error Ψ 348; cf. B 661 E 555 al.

νῦν δέ με λευγαλέωι θανάτωι εἵμαρτο ϝαλῶναι 281 = ι 312 cf. ω 34
ϝερχθέντ' ἐν μεγάλωι ποταμῶι, ὣσ παῖδα συφορβόν,
ὅν ῥά τ' ἔναυλοσ ἀποϝϝέρσηι χειμῶνι περῶντα."
ὣσ 'φάτο, τῶι δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
'στήτην ἐγγὺσ ἰόντε, δέμασ δ' ἄνδρεσσ' ἐϝεϝίκτην,
χειρὶ δὲ χεῖρα λαβόντεσ ἐπιστώσαντο ϝέπεσσι. 286 cf. Z 233
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
„Πηλεΐδη, μήτ' ἄρ τι λίην τρέε μήτε τι τάρβει·
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν 289 cf. Δ 390
Ζηνὸσ ἐπαινέσσαντοσ, ἐγὼ καὶ Παλλὰσ Ἀθήνη.
ὦσ οὔ τοι ποταμῶι γε δαμήμεναι αἴσιμόν ἐστι,
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ ϝείσεαι αὐτόσ. 292^{b} cf. β 40 π 246 [ω 506
αὐτάρ τοι πυκινῶσ ὑποθησόμεθ', αἴ κε πίθηαι· 293 cf. α 279
μὴ πρὶν παύειν χεῖρασ ὁμοιίοο πτολέμοιο,
πρὶν κατὰ Ϝιλίοο κλυτὰ τείχεα λαὸν ἐϝέλσαι
Τρωϊκόν, ὅσ κε φύγηισι, σὺ δ' Ἕκτορι θυμὸν ἀποϝρὰσ
νῆασ ἔπ' ἂψ ἴμεναι· δίδομεν δέ τοι εὖχοσ ἀρέσθαι." 297^{a} = Σ 14
τὼ μὲν ἄρ' ὣσ ϝειπόντε μετ' ἀθανάτουσ ἀπεβήτην,
αὐτὰρ ὃ 'βῆ — μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμή —
εἰσ πεδίον· τὸ δὲ πᾶν 'πλῆθ' ὕδατοσ ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαΐ κταμένων αἰζηῶν 301^b = 146
'πλῶον καὶ νέκυεσ. τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
πρὸσ ῥόον ἀΐσσοντοσ ἀν' ἰθύν, οὐδέ μιν ἴσχε
εὐρὺ ῥέων ποταμόσ· μέγα γὰρ σθένοσ ἔμβαλ' Ἀθήνη.
οὐδὲ Σκάμανδροσ ἔληγεν ἑϝὸν μένοσ, ἀλλ' ἔτι μᾶλλον 305^{a} cf. N 424
'χώετο Πηλεΐωνι, 'κόρυσσε δὲ κῦμα ῥόοιο

---

282. ϝερχθέντ'] εἰρχθέντ' Mass., εἱλθέντ' Crates (a verbo ἴλλειν ducens), ἐρθέντ' Alexio (coll. ἀποέρσαι interpretatus ἀποπνιγέντα), ἑρθέντ' alii (ad ἕρσην sive δρόσον referentes).

283. ἀποϝϝέρσηι] ἀποϝρήσηι Agar, item ἀποϝρήσειε vs. 329 (cf. § 150^{5} et 254^{3}); tertiam quae hic commemoranda est formam ἀπέϝερσε Z 348 ἀπό[ϝ]ρησε scribit Agar.

286. λαβόντεσ] -ντε Ahrens.

288. τρέε] τρέμε T.

290. Ar. —, vs. 290—292 om. Cret., Seleucus —

— ἐπαινέσσαντοσ § 295] -νήσαντοσ.

291. ὦσ (ὥσ) Cauer] ὣσ. Cf. I 444.

293. ὑποθησόμεθ'] -σομαι D.

294. ὁμοιίοο § 59] -ίου.

295. Ϝιλίοο Ahrens] Ἰλιόφιν (cf. § 46).

296. Ἕκτορι] *-ρα? Cf. P 236.

— ἀποϝρὰσ § 150^{5}] ἀπούρασ.

297. νῆασ ἔπ' ἂψ ἴμεναι] ἂψ ἐπὶ νῆασ ἴμεν Ω. Cf. Σ 14 et § 126.

299. μέγα] μάλα Syr.

— ῥα] ϝε Brandreth.

303. ἶσχε (ἴσχεν) Ar. T Z] ἔσχεν Ω.

305. ἔληγεν] ἔπαυεν Nauck (cf. N 424).

— ἑϝὸν] cf. Θ 430.

ὑψόσ' ἀειρόμενοσ, Σιμόεντι δὲ 'κέκλετ' ἀύσασ·
„φίλε κασίγνητε, σθένοσ ἀνέροσ ἀμφότεροί περ 308a = Δ 155
σχῶμεν, ἐπεὶ τάχα ϝάστυ μέγα Πριάμοιο ϝάνακτοσ 309b = Η 296
ἐκπέρσει, Τρῶεσ δὲ κατὰ μόθον οὐ μενέουσι.
ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίμπληθι ῥέεθρα 311a = 333
ὕδατοσ ἐκ πηγέων, πάντασ δ' ὀρόθυνον ἐναύλουσ,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα, 314a = Μ 29
ὃσ δὴ νῦν κρατέει, μέμονεν δ' ὅ γε ϝῖσα θεοῖσι.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν' οὔτε τι ϝεῖδοσ
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνησ
κείσεθ' ὑπ' ἰλῦοσ κεκαλυμμένα. κὰδ δέ μιν αὐτὸν
ϝειλύσω ψαμάθοισι, ϝάλισ χέραδοσ περιχεύασ,
μυρίον, οὐδέ ϝοι ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην Ϝοι ἄσιν καθύπερθε καλύψω.
αὐτόθι ϝοι καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχόησ, ὅτε μιν θάπτωσιν Ἀχαιοί."
ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενοσ, ὑψόσε θυίων,
μορμύρων ἀφρῶι τε καὶ αἵματι καὶ νεκύεσσι. 325a cf. Ε 599 Σ 403
πορφύρεον δ' ἄρα κῦμα διιπετέοσ ποταμοῖο
ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλεΐωνα. 327a cf. Β 151 Ψ 366
Ἥρη δὲ μέγ' ἄυσε περιδϝείσασ' Ἀχιλῆϊ,
μή μιν ἀποϝϝέρσειε μέγασ ποταμὸσ βαθυδίνησ. 329b = Υ 73
αὐτίκα δ' Ἥφαιστον προσεφώνεε, ϝὸν φίλον υἱόν· 330 = 378
„ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκοσ! ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχηι ἐϝεϝίσκομεν εἶναι.
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν. 333a = 311

---

308. κασίγνητε] cf. Δ 155.

310. κατὰ μόθον] κακὸν θεὸν l. a. in T.

318. ἰλῦοσ] ἰλύοφιν Bentley (cf. § 75).

319. ϝειλύσω] ἰλύσω (= ἰλύϊ καλύψω) l. a. ant. Cf. § 265.

— χέραδοσ] sic Apollonius, σχέραδοσ olim quidam, in his Euphorion, qui versum fecit: τύμβοσ ὑπὸ κνημοῖσι πολυσχεράδοσ Μυκόνοιο (schol. Gen.).

321. ἀλλέξαι] ἀνλέξαι Ar. (cf. Φ 347 ϛ 150 et § 10).

322. χρεὼ] χρὴ? Cf. § 8.

323. τυμβοχόησ Crates] -χοῆσ'(αι) Ar. A. Infinitivi terminus -σαι non eliditur (cf. § 13; exc. Ar. Nub. 523 et 550, in metro Eupolideo), molesta autem verborum iunctura est μιν τυμβοχοῆσαι. Cf. Ι 607 δ 684.

324. θυίων A T] θύων Ω. Cf. 287[10].

329. ἀποϝϝέρσειε] cf. vs. 283.

331. Ar. —, vocem κυλλοπόδιον in matris ore ineptam ratus; salvo tamen contextu versus omitti nequit.

αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο
ϝίσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰσ καὶ τεύχεα κήηι,
φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθασ
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί. μηδέ σε πάμπαν 338ᵇ sq. cf. Υ 108 sq.
μειλιχίοισι ϝέπεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι·
μηδὲ πρὶν ἀπόπαυε τεὸν μένοσ, ἀλλ' ὅτε κεν δὴ 340 cf. Π 62
φθέγξομ' ἐγὼ ϝιϝάχουσα, τότε σχέμεν' ἀκάματον πῦρ."
ὣσ ἔφαθ', Ἥφαιστοσ δὲ 'τιτύσκετο θεσπιδαὲσ πῦρ.
πρῶτα μὲν ἐν πεδίωι πῦρ 'δαίετο, 'καῖε δὲ νεκρούσ.
πᾶν δ' ἐξηράνθη πεδίον, 'σχέτο δ' ἀγλαὸν ὕδωρ.
ὡσ δ' ὅτ' ὀπωρινὸσ Βορέησ νεοαρδέ' ἀλωιὴν 346ᵃ = ε 328
αἶψ' ἀγξηράνῃ, — χαίρει δέ μιν ὅσ τισ ἐθείρηι, —
ὣσ ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκροὺσ
'κῆεν, ὃ δ' εἰσ ποταμὸν 'τρέψε φλόγα παμφανάουσαν.
'καίοντο πτελέαι καὶ ϝιτέαι ἠδὲ μυρῖκαι,
'καίετο δὲ λωτόσ τε ἰδὲ θρύον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ϝάλισ ποταμοῖ' ἐπεφύκει·
'τείροντ' ἐγχέλυέσ τε καὶ ἰχθύεσ, οἳ κατὰ δίνασ, 353 cf. 203
οἳ κατὰ καλὰ ῥέεθρα 'κυβίσταον ἔνθα καὶ ἔνθα
πνοιῆι τειρόμενοι πολυμήτιοσ Ἡφαίστοιο.
'καίετο δ' ἶσ ποταμοῖο, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„Ἥφαιστ', οὔ τισ σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
οὐδέ κ' ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.

344 πολλούσ, οἵ ῥα κατ' αὐτὸν ἔσαν ϝάλισ, οὓσ 'κτάν' Ἀχιλλεύσ. 344 = 236

335. ϝίσομαι § 201] εἴσομαι.
— ὄρσουσα] ὄρσασα Zen.
336. ἥ] ἥ Zen. (verbum εἴσομαι vs. 335 interpretatus γνώσομαι).
— κήηι Nauck] κήαι.
340. ὅτε κεν § 326] ὁπότ' ἄν.
343. 'δαίετο, 'καῖε] καίετο, δαῖε Vat. Vrat. (cf. vs. 376).
344. Del. Heyne; suo loco supra est lectus, hic αὐτὸν ineptum.
— ἔσαν ϝάλισ] cf. vs. 236.
346. νεοαρδέ'] νεοαλδέ' l. a. in Apoll. lex. (cf. Ψ 599).
347. ἀγξηράνηι] ἀνξ. Ar. (cf. vs. 321 et § 10), ἐξαναίνηι Aristoph.
— δέ μιν ὅσ τισ ἐθείρηι] verbum ignotum et μιν loco insolito collocatum; δ' ὅσ τισ ϝε ϝεθείρηι Brandreth (ad ϝέθω § 218 referens).
350. καὶ L] τε καὶ Ω. Cf. κ 510.
351. κύπειρον] κύπαιρον „αἱ ἐκ τῶν πόλεων."
355. πνοιῆι] ῥιπῆι olim quidam (ηκ… schol. Oxyrh., ἡ κρητικὴ Blass).
356. ἶσ] neglecto ϝ, Heyne καίετο ϝίσ, sed gravius vitium subesse videtur; litteras traditas καὶ ἐ τόδ' ἶσ Ptolemaeus Pindarion perabsurde interpretatus esse fertur, quamquam iure ille verbum καίετο importunum videtur duxisse.
357. ἀντιφερίζειν] ἰσοφαρίζειν Harl. (cf. vs. 411).

λῆγ' ἔριδοσ, Τρῶασ δὲ καὶ αὐτίκα δῖοσ Ἀχιλλεὺσ
ϝάστεοσ ἐξελάσειε· τί μοι ἔριδοσ καὶ ἀρωγῆσ!"
'φῆ πυρὶ καιόμενοσ, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡσ δὲ λέβησ ζέει ἔνδον, ἐπειγόμενοσ πυρὶ πολλῶι,
κνίσην μελδόμενοσ ἁπαλοτρεφέοσ σιάλοιο,
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
ὣσ τοῦ καλὰ ῥέεθρα πυρ' ἐφλέγετ', ἔζεε δ' ὕδωρ·
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο, 'τεῖρε δ' ἀυτμὴ
Ἡφαίστοιο βίηφι πολύφρονοσ. αὐτὰρ ὅ γ' Ἥρην
πολλὰ λισσόμενοσ ϝέπεα πτερόεντα προσηύδα·
„Ἥρη, τίπτε σὸσ υἱὸσ ἐμὸν ῥόον ἔχραε κήδειν
ἐξ ἄλλων; οὐ μήν τοι ἐγὼ τόσον αἴτιόσ εἰμι,
ὅσσον οἱ ἄλλοι πάντεσ, ὅσοι Τρώεσσιν ἀρωγοί. 371ᵇ = 428 cf. Θ 205
ἀλλ' ἤ τοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεισ,
παυέσθω δὲ καὶ οὗτοσ. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, 374-377ᵃ = Υ 315 sqq.
μηδ' ὁπότε Τροίη μαλερῶι πυρὶ πᾶσ' ἀπόληται
δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷεσ Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενοσ Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεε, ϝὸν φίλον υἱόν· 378 = 330
„Ἥφαιστε, σχέο, τέκνον ἀγακλεέσ! οὔ τι ϝέϝοικε
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν." 380 cf. Ω 464
ὣσ ἔφαθ', Ἥφαιστοσ δὲ κατέσβεσε θεσπιδαὲσ πῦρ,
ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.

θεομαχίασ μέροσ ἕτερον.

αὐτὰρ ἐπεὶ Ξάνθοιο 'δάμη μένοσ, οἳ μὲν ἔπειτα
'παυσάσθην, — Ἥρη γὰρ ἐρύκακε χωομένη περ, —

---

360. ἀρωγῆσ] ἀυτῆσ Syr.
363. κνίσην] sic Ar. et Callistratus Comanus, κνίσηι Crates Pisistratus Ephesius (quisquis fuit) Hermogenes, κνίσησ (μελδομένησ? Heyne) olim alii, κνίση T (neutr., cf. Β 428).
— μελδόμενοσ] μελδομένου Crates Pis. Herm., priscam litteraturam, in qua -ΜΕΝΟ scriptum fuisset, vitium peperisse rati (cf. schol. Oxyrh. et Gen.).
365. (ἔ)ζεε] σχέτο l. a. in T.
370. μήν § 18] μέν.
375. ὁπότε § 326] ὁπότ' ἄν.
— πᾶσ' ἀπόληται Nauck] πᾶσα δάηται· Cf. Υ 316.
376. δαιομένη, δαίωσι C] καιομένη, καίωσι Ω; cf. Υ 317.
379. οὔ τι Nauck] οὐ γὰρ Ω, οὐδὲ Bentley (coll. vs. 486). Cf. Α 126.

ἐν δ' ἄλλοισι θεοῖσιν ἔρισ 'πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸσ ἄητο·
σὺν δ' ἔπεσον μεγάλωι πατάγωι, 'βράχε δ' εὐρεῖα χθών,
ἀμφὶ δ' ἐσάλπιγξεν μέγασ οὐρανόσ. ἄϊε δὲ Ζεὺσ
ἥμενοσ Οὐλύμπωι· ἐγέλασσε δέ ϝοι φίλον ἦτορ — 389b cf. ι 413
γηθοσύνηι, ὅ θ' ὁρᾶτο θεοὺσ ἔριδι ξυνιόντασ.
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρησ
ῥινοτόροσ, καὶ πρῶτοσ Ἀθηναίηι ἐπόρουσε
χάλκεον ἔγχοσ ἔχων, καὶ ὀνειδέιον 'φάτο μῦθον· — 393b = 471
„τίπτ' αὖτ', ὦ κυνόμυια, θεοὺσ ἔριδι ξυνελαύνεισ — 394b cf. Υ 134
θάρσοσ ἄητον ἔχουσα, μέγασ δέ σε θυμὸσ ἀνῆκε; — 395b = Η 25
οὐ μέμνησ' ὅτε Τυδεΐδην Διομήδε' ἀνῆκασ — 396 cf. Ε 856; 396a = Ο 18
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχοσ ἑλοῦσα
ἰθὺσ ἐμεῦ ὦσασ, διὰ δὲ χρόα καλὸν ἔδαψασ; — 398b cf. Ε 858
τῶι σ' αὖ νῦν ὀίω ἀποτισέμεν' ὅσσα ϝέϝοργασ."
ὣσ ϝειπὼν ϝ' οὔτασσε κατ' αἰγίδα θυσανόεσσαν — 400 cf. Δ 434
σμερδαλέην, ἣν οὐδὲ Διὸσ δάμνησι κεραυνόσ·
τῆι μιν Ἄρησ οὔτασσε μιαιφόνοσ ἔγχεϊ μακρῶι.
ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείηι — 403 cf. Η 264
κείμενον ἐν πεδίωι, μέλανα, τρηχύν τε μέγαν τε, — 404 = Η 265
τόν ῥ' ἄνδρεσ πρότεροι 'θέσαν ἔμμεναι οὖρον ἀρούρησ.
τῶι 'βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, 'λῦσε δὲ γυῖα.
ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτασ, — 407a cf. λ 577b
τεύχεα δ' ἀμφ' ἀράβησε· 'γέλασσε δὲ Παλλὰσ Ἀθήνη,
καί ϝοι ἐπευχομένη ϝέπεα πτερόεντα προσηύδα· — 409 cf. Π 829

---

387. πατάγωι] ὁμάδωι D T.

390. ὅ θ'] voculas disiunxit la Roche (cf. θ 78 λ 540).

391. δηρὸν] neglecto ϝ, πάμπαν Porphyr. (p. 298 Schr.).

394. κυνόμυια L] κυνάμυ(ι)α Ω, item vs. 421; κινάμυια Neoptolemus Parianus (in schol. Gen.).

395. ἀνῆκε] ἀνώγει Syr.

396. οὐ § 8] ἦ οὐ.

— μέμνησ' § 117] μέμνηι.

— Τυδεΐδην Διομήδε' ἀνῆκασ] -δηι -δει ἄνωγασ pap. Bodl. b 3.

397. πανόψιον] sic Ar., ὑπονόσφιον Antimachus et superscriptum in pap. Bodl. b 3 (cf. νοσφίδιοσ Hesiod. fr. 187), πανίψιον Bentley.

398. διὰ] ἐμὲ pap. Bodl. b 3 (cf. Ν 331).

399. ὅσσα Ambr.[1]] ὅσσα μ' Ω. Cf. Γ 57 Χ 347.

400. *ϝ'] addidimus (ut Δ 434).

400 et 402. οὔτασσε § 150[9]] οὔτησε (οὔτασε O[1] vs. 402).

400. αἰγίδα Ar. Ambr. G H L] ἀσπίδα A D T (ut Δ 434 Ρ 43).

403. χειρὶ παχείηι] Παλλὰσ Ἀθήνη Ambr.; χειρὶ βαρείηι potius de dea dicendum fuisse ait schol. Gen. (item vs. 424); sic quidam olim? (Ar.?). Cf. v. l. Ζ 494 Φ 590 σ 56 φ 6.

405. ῥ' ... πρότεροι] δ' ... -ρον Apoll. lex.

408. δ' Ambr.] τ' Ω.

409. ϝοι] μιν A.

„νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσα' ὅσσον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένοσ ἀντιφερίζεισ; 411b = 488
οὕτω κεν τῆσ μητρὸσ Ἐρινύασ ἐξαποτίνοισ,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺσ
κάλλιπεσ, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεισ."
ὣσ ἄρα φωνήσασα πάλιν 'τρέπεν ὄσσε φαεινώ. 415b = N 3
τὸν δ' ἄγε χειρὸσ ἑλοῦσα Διὸσ θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα στενάχοντα, μόγισ δ' ἐσαγείρετο θυμόν. 417a cf. Σ 318 417b cf. Ο 240
τὴν δ' ὡσ οὖν ἐνόησε θεὰ λευκώλενοσ Ἥρη, 418 cf. Ε 711 418a cf. Γ 21
αὐτίκ' Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα· 419sq.=Ε 718 sq.
„ὢ πόποι, αἰγιόχοιο Διὸσ τέκοσ, ἀτρυτώνη,
καὶ δ' αὖθ' ἡ κυνόμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε."
ὣσ 'φάτ', Ἀθηναίη δὲ μετέσσυτο, 'χαῖρε δὲ θυμῶι,
καί ϝ' ἐπιϝισαμένη πρὸσ στήθεα χειρὶ παχείηι
ἤλασε· τῆσ δ' αὖθι 'λύτο γούνατα καὶ φίλον ἦτορ. 425 cf. Φ 114
τὼ μὲν ἄρ' ἄμφω ἐκείατ' ἐπὶ χθονὶ πολυβοτείρηι,
ἡ δ' ἄρ' ἐπευχομένη ϝέπεα πτερόεντ' ἀγόρευε·
„τοιοῦτοι νῦν πάντεσ, ὅσοι Τρώεσσιν ἀρωγοί, 428b = 371
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῆισι,
ὧδέ τε θαρσαλέοι καὶ τλήμονεσ, ὡσ Ἀφροδίτη
ἦλθεν Ἄρη' ἐπίκουροσ, ἐμῶι μένε' ἀντιάουσα· 431b cf. Ζ 127
τῶι κεν δὴ πάλαι ἥμεσ ἐπαυσάμεθα πτολέμοιο,
Ϝίλιον ἐκπέρσαντεσ ἐϋ κτίμενον πτολίεθρον." 433 cf. Δ 164
ὣσ 'φάτ', ἐμείδησεν δὲ θεὰ λευκώλενοσ Ἥρη. 434 = Δ 595

---

411. ἀντιφερίζεισ] ἰσοφαρίζεισ A (cf. vs. 357).
412. τῆσ] *σῆσ?
414. ἀμύνεισ] ἀρήγεισ l. a. in A.
415. 'τρέπεν] τράπεν C T.
416. Διὸσ θυγάτηρ] φιλομμειδὴσ l. a. in A (cf. Υ 40).
417. ἐσαγείρετο Ar. A] -ρατο Ω.
421. „γρ. τὴν κυνάμυιαν" A; quae nihili est lectio; fuitne l. a. αὖ τῆι (κυνάμυια)?
— κυνόμυια] cf. vs. 394.
424. ϝ' Brandreth] ῥ'.
— ἐπιϝισαμένη § 201] ἐπιεισαμένη Ω, ἐπερεισαμένη Demetrius Ixion (in schol. Gen.).
426. (ἐ)κείατ' § 119] κεῖντο Ω, πλῆντο (ποτὶ) Bentley.
— ἐπὶ A] ποτὶ C D T.
427. πτερόεντ' ἀγόρευε] -ντα προσηύδα L (cf. vs. 121).
431. ἐπίκουροσ] ἐπίουροσ l. a. in A (cf. N 450).
432 sq. ἥμεσ . . . ἐκπέρσαντεσ] *ἥμε . . . -ντε (ut de se ipsa et Iunone Minerva loquatur solis)? Cf. quae ad vs. 434 adnotavimus (et νῶϊ vs. 436).
433. (Ϝ)ίλιον L] Ἰλίου Ω. Cf. B 133.
434. Om. A B C D H, quo omisso durus ad sequentia fit transitus; sed nisi vs. 432 sq. *dualis* numerus adhibetur, non potest non suspectus videri.
— 'φάτ', ἐμείδησεν δὲ] ἔφαθ', ἡ δ' ἐγέλασσε T.

αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων·
„Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ϝέϝοικε
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητὶ
ἴομεν Οὔλυμπόνδε, Διὸσ ποτὶ χαλκοβατὲσ δῶ. 438ᵇ = Α 426
ἄρχε, σὺ γὰρ γενεῆφι νεώτεροσ· οὐ γὰρ ἐμοί γε
καλόν, ἐπεὶ πρότεροσ 'γενόμην καὶ πλείονα ϝοῖδα. 440 cf. Τ 219
νηπύτι', ὡσ ἄνοον κραδίην ἔχεσ· οὐδέ νυ τῶν περ
μέμνησαι, ὅσα δὴ 'πάθομεν κακὰ Ϝίλιον ἀμφὶ
μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
πὰρ Διὸσ ἐλθόντεσ 'θητεύσαμεν εἰσ ἐνιαυτὸν
μισθῶι ἔπι ῥητῶι· ὃ δὲ σημαίνων ἐπέτελλε.
ἤ τοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχοσ ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτοσ πόλισ εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδασ ϝέλικασ βοῦσ 'βουκολέεσκεσ
Ἴδησ ἐν κνημοῖσι πολύπτυχοσ ὑλήεσσησ. 449 cf. Χ 171
ἀλλ' ὅτε δὴ μισθοῖο τέλοσ πολυγηθέεσ ὧραι
ἐξέφερον, τότε νῶϊ 'βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλοσ, ἀπειλήσασ δ' ἀπέπεμπε.
σὺν μὲν ὅ γ' ἠπείλησε πόδασ καὶ χεῖρασ ὕπερθε 453ᵇ = Ε 122
δήσειν, καὶ περάειν νήσων ἔπι τηλεδαπάων· 454ᵇ = Χ 45
'στεῦτο δ' ὅ γ' ἀμφοτέρων ἀπολεψέμεν' οὔατα χαλκῶι.
νῶϊ δέ τ' ἄψορροι 'κίομεν κεκοτηότι θυμῶι,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰσ οὐκ ἐτέλεσσε. 457ᵇ cf. γ 99 δ 329
τοῦ δὴ νῦν λαοῖσι φέρεισ χάριν, οὐδὲ μεθ' ἥμων
πειράε', ὥσ κε Τρῶεσ ὑπερφίαλοι ἀπόλωνται 459ᵃ cf. Δ 66
πρόχνυ κακῶσ σὺν παισὶ καὶ αἰδοίηισ' ἀλόχοισι."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ϝεκάϝεργοσ Ἀπόλλων·

---

442. *μέμνησαι*] *μέμνηαι* Ar. Ω; cf. § 117 et Ψ 648.

446. *ἤ τοι μὲν γὰρ ἐγὼ πόλεωσ περὶ τεῖχοσ ἔδειμα* Aridices grammaticus in schol. Gen. (cf. vs. 474).

— *πόλιν*] *πόλει* Aristoph. H (cf. § 74).

447. *καλόν*] *μακρόν* Zoilus in schol. Gen.

449. *κνημοῖσι*] *κρημνοῖσι* Par. 2767. Eadem varietas est Φ 559 Ψ 117 δ 337 ϱ 128 (cf. etiam Χ 171).

— *πολύπτυχοσ* § 83[10]] *-πτύχου*.

452. *ἀπέπεμπε*] *ἀπέβλεψε* (immo *ἀπέπεμψε*, sic Vrat.) l. a. in Gen.

454. *τηλεδαπάων*] sic Ar. et Ptolemaeus, *θηλυτεράων* „*αἱ ἀπὸ τῶν πόλεων*." Cf. Χ 45.

455. *ἀπολεψέμεν(')* Ar. L] *ἀποκοψέμεν* (vel *-ειν*) Ω, *ἀπολουσέμεν* (*γε κολουσέμεν'*?) l. a. apud Eust.

458. *ἥμων*] **ἧμιν*? Cf. § 316[4].

459. *πειράε'* § 14 et 117] *πειρᾷ̈ι* (*πειρᾷισ* L; cf. Δ 66 et Ω 390).

461. *ϝεκάϝεργοσ*] *Διὸσ υἱὸσ* C (cf. Ο 253).

„ἐνοσίγαι᾿, οὔ κέν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω [149
δϝειλῶν, οἳ φύλλοισι ϝεϝοικότεσ ἄλλοτε μέν τε, 464-466 cf. Z 146-
ζαφλεγέεσ τελέθουσιν, ἀρούρησ καρπὸν ἔδοντεσ, 465^{b} cf. Z 142
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυώμεσθα μάχησ· οἳ δ᾿ αὐτοὶ δηριαέσθων."
ὣσ ἄρα φωνήσασ πάλιν ἐτράπετ᾿· ἥιδετο γάρ ῥα 468^{a} cf. Σ 138 [sq.^{a} 468^{b} sq. cf. ν 341
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμηισι. 468^{b} sq.^{a} cf. ζ 329 sq.
τὸν δὲ κασιγνήτη μάλ᾿ ἐνείκεσε, πότνια θηρῶν,
Ἄρτεμισ ἀγροτέρη, καὶ ὀνειδέιον ᾿φάτο μῦθον· 471^{b} = 393
„φεύγεισ δή, ϝεκάϝεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψασ, μέλεον δέ ϝοι εὖχοσ ἔδωκασ.
νηπύτιοσ, τί νυ τόξον ἔχεισ ἀνεμώλιον αὔτωσ;
μή σεο νῦν ἔτι πατρὸσ ἐνὶ μεγάροισιν ἀκούσω 475 sq.^{a} cf. Λ 396 sq.
εὐχομένοι᾿, ὠσ τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσι,
ἄντα Ποσειδάωνοσ ἐναντίβιον πολεμίξειν." 477^{b} = Υ 85
ὣσ ᾿φάτο, τὴν δ᾿ οὔ τι προσέφη ϝεκάϝεργοσ Ἀπόλλων. 478 cf. Α 511
ἀλλὰ χολωσαμένη Διὸσ αἰδοίη παράκοιτισ
᾿νείκεσεν ἰοχέαιραν ὀνειδείοισι ϝέπεσσι· 480 cf. Β 277
„πῶσ δὲ σὺ νῦν μέμονασ, κύον ἀδϝεέσ, ἀντί᾿ ἐμεῖο
στήσασθαι; χαλεπή τοι ἐγὼ μένοσ ἀντιφέρεσθαι
τοξοφόρωι περ ἐούσηι, ἐπεὶ σε λέοντα γυναιξὶ
Ζεὺσ ᾿θῆκεν καὶ ἔδωκε κατακτάμεν᾿ ἥν κ᾿ ἐθέληισθα.
ἦ τοι βέλτερόν ἐστι κατ᾿ οὔρεα θῆρασ ἐναίρειν
ἀγροτέρασ τ᾿ ἐλάφουσ ἢ κρείσσοσι ϝῖφι μάχεσθαι.
εἰ δ᾿ ἐθέλεισ πολέμοιο δαήμεναι, ὄφρ᾿ ἐὺ ϝείδηισ 487 cf. Z 150 [sq. 487^{b} sq.^{a} cf. Λ 185
ὅσσον φερτέρη εἴμ᾿, ὅτι μοι μένοσ ἀντιφερίζεισ —" 488^{b} = 411
ἦ ῥα, καὶ ἀμφοτέρασ ἐπὶ καρπῶι χεῖρασ ἔμαρπτε

---

463. πτολεμίξω] -ζω G (cf. Ο 179 et Β 436).
466. δὲ] δ᾿ αὖ D T.
— ἀλλὰ τάχιστα] οὐδέ τισ ἀλκή (omisso vs. 467) Plut. Mor. 104 *f* Stob. Flor. 98, 52.
469. μιγήμεναι] δαμήμεναι l. a. ant.
471. Ar. —
474. νηπύτιοσ § 51] -ε.
— ἀνεμώλιον αὔτωσ] καὶ τειρέασ οἰστούσ Aridices (cf. vs. 446), reiecta lectione καὶ ἀτειρέασ οἰστούσ.
475—477. Ar. —
477. π(τ)ολεμίξειν A D] -ζειν Ω (cf. Ο 179 et Β 436).
480. Add. G H; ignorarunt Ar. (qui conferebat Α 448, damnato versu Α 444) et Aristonicus, sed necessarius potius est quam molestus. Cf. Φ 78.
482. στήσασθαι] -σεσθαι Ω. Cf. Β 544.
— ἀντιφέρεσθαι] ἀντιφερίζειν l. a. apud Eust. (ut vs. 411, 488).

σκαιῆι, δεξιτερῆι δέ ϝ' ἀπ' ὤμων ἥινυτο τόξα, 490ᵃ = Λ 501
αὐτοῖσιν δ' ἄρ' ἔϑεινε παρ' οὔατα μειδιάουσα
ἐντροπαλιζομένην· ταχέεσ δ' ἔκπιπτον ὀιστοί.
δακρυόεσσα δ' ὕπαιϑα ϑεὰ 'φύγεν ὥσ τε πέλεια,
ἥ ῥά ϑ' ὑφ' ἴρηκοσ κοίλην εἰσέπτατο πέτρην,
χηραμόν, οὐδ' ἄρα τῆι γε ϝαλώμεναι αἴσιμον ἦεν·
ὣσ ἡ δακρυόεσσ' ἔφυγεν, 'λίπε δ' αὐτόϑι τόξα.
Λητόα δὲ προσέϝειπε διάκτοροσ Ἀργεϊφόντησ·
„Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχέσσομαι, ἀργαλέον γὰρ
πληκτίζεσϑ' ἀλόχοισι Διὸσ νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφρασσα μετ' ἀϑανάτοισι ϑεοῖσι
εὔχεσϑαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφι." 501ᵇ = ι 476 μ 210
ὣσ ἄρ' ἔφη, Λητὼ δὲ συνήινυτο καμπύλα τόξα
πεπτεότ' ἄλλυδισ ἄλλα μετὰ στροφάλιγγι κονίησ. 503ᵇ cf. Π 775
ἡ μὲν τόξα λαβοῦσα πάλιν 'κίε ϑυγατέροσ ϝῆσ,
ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸσ ποτὶ χαλκοβατὲσ δῶ, 505ᵇ = Α 426
δακρυόεσσα δὲ πατρὸσ ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ' ἄρ' ἀμβρόσιοσ ϝεανὸσ 'τρέμε. τὴν δὲ ποτὶ ϝοὶ
εἷλε πατὴρ Κρονίδησ, καὶ ἀνείρετο ϝηδὺ γελάσσασ·
„τίσ νύ σε τοιάδ' ἔρεξε, φίλον τέκοσ, Οὐρανιώνων;" 509 = Ε 373
τὸν δ' αὖτε προσέϝειπεν ἐυστέφανοσ κελαδεινή·
„σή μ' ἄλοχοσ 'στυφέλιξε, πάτερ, λευκώλενοσ Ἥρη,
ἐξ ἧσ ἀϑανάτοισιν ἔρισ καὶ νεῖκοσ ἐφῆπται."
ὣσ οἳ μὲν τοιαῦτα πρὸσ ἀλλήλουσ ἀγόρευον,
αὐτὰρ Ἀπόλλων Φοῖβοσ ἐδύσετο Ϝίλιον ἱρήν·
'μέμβλετο γάρ ϝοι τεῖχοσ ἐυδμήτοιο πόληοσ,
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνωι.

---

510 *μαψιδίωσ, ὥσ εἴ τι κακὸν ῥέζουσαν ἐνωπῆι.* 510 = Ε 374

---

490. **δέ ϝ'*] *δ' ἄρ'* (item Λ 501).

492. *ἐντροπαλιζομένην*] sic Ar. (et Ptolemaeus Ascal.?), *-νη* Syr. T, *-νησ* Chia et Cypria? (*πολλὰ λισσομένησ* in illis libris fuisse e scholio Gen. corrupto efficit Nicole coll. Ε 358).

493. *ὕπαιϑα*] *ἔπειτα* L. Cf. Ο 520 Χ 141.

498. *γὰρ* A Syr.] *δὲ* Ω.

501. *νικῆσαι*] *-σειν* C.

503. *πεπτεότ'* C] *πεπτ(ε)ῶτ'* Ω; cf. (Κ 200) χ 384.

510. Addunt T G Gen.

513. *τεῖχοσ*] *νεῖκε'* (*ἐτύχϑη*?) Ar., *νεῖκε' ἐτύχϑη* l. a. in T. Singulari favent Μ 348 υ 267, pluralem suadet Β 15 (cf. etiam Ε 891).

515. *Φοῖβοσ*] *οἶοσ* Ammonius quidam in schol. Oxyrh. ad Φ 232.

οἳ δ' ἄλλοι πρὸσ Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντεσ, 518b = Λ 494
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιάοντεσ·
κὰδ δ' ἷζον παρὰ πατρὶ κελαινεφέ'. αὐτὰρ Ἀχιλλεὺσ
Τρῶασ ὁμῶσ αὐτούσ τ' ὄλεκεν καὶ μώνυχασ ἵππουσ.
ὡσ δ' ὅτε καπνὸσ ἰὼν εἰσ οὐρανὸν εὐρὺν ἱκάνηι 522 cf. Σ 207
ϝάστεοσ αἰθομένοιο, θεῶν δέ ϝε μῆνισ ἀνῆκε,
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκε,
ὣσ Ἀχιλεὺσ Τρώεσσι πόνον καὶ κήδε' ἔθηκε. 525b cf. Χ 488

Ἕκτοροσ ἀναίρεσισ.

εἱστήκει δ' ὁ γέρων Πρίαμοσ θείοι' ἐπὶ πύργου,
εἰσ δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶεσ ἄφαρ 'κλονέοντο πεφυζότεσ, οὐδέ τισ ἀλκὰ
'γίγνεθ'· ὃ δ' οἰμώξασ ἀπὸ πύργου 'βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχοσ ἀγακλειτοὺσ πυλαουρούσ·
„πεπταμένασ ἐν χερσὶ πύλασ ἔχετ', εἰσ ὅ κε λαοὶ 531 sq. cf. Μ 122 sq.
ἔλθωσιν προτὶ ϝάστυ πεφυζότεσ· ἦ γὰρ Ἀχιλλεὺσ
ἐγγὺσ ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι. 533b cf. Ψ 310
αὐτὰρ ἐπεί κ' εἰσ τεῖχοσ ἀναπνεύσωσι ϝαλέντεσ,
αὖτισ ἐπανθέμεναι σανίδασ πυκινῶσ ἀραρυίασ· 535b cf. β 344
δέδϝια γὰρ μὴ οὖλοσ ἀνὴρ εἰσ τεῖχοσ ἅληται.“
ὣσ ἔφαθ', οἳ δ' ἄνεσάν τε πύλασ καὶ ἀπῶσαν ὀχῆασ· 537b cf. Ω 446
αἳ δὲ πετασθεῖσαι 'τεῦξαν φάοσ. αὐτὰρ Ἀπόλλων
ἀντίοσ ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
οἳ δ' ἰθὺσ πόλιοσ καὶ τείχεοσ ὑψηλοῖο, 540b = Π 397
δίψηι καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο

---

520. *παρὰ πατρὶ*] sic Ar., *παρ Ζηνὶ* A.
522. *ἱκάνηι*] *ἱκάνει* Ω, *ἵκηται* l. a. in A (ut Σ 207).
524 sq. Priorem om. L, posteriorem om. T[1], post 526 habet Syr.; quarum turbarum causa fuit *τὸ ὁμοιοτέλευτον*.
525. *πόνον καὶ*] *φόνον καὶ* A (cf. *P* 365), *πολύστονα* L.
— *ἔθηκε*] *ἔτευξεν* l. a. in A.
530. *ὀτρύνων* Ar. A D] *ὀτρυνέων* Ω (cf. *K* 38 et *B* 436).
— *πυλαουρούσ*] -*ωρούσ* Ω. Cf. Ω 681.
533. *κλονέων*] *κλονέει* C.
— *νῦν οἴω*] **ὀΐω νῦν*? Cf. § 292* et Ψ 310.
535. *ἐπανθέμεναι* Ar.] *ἐπ' ἂψ θέμεναι* Ω et „*τινὲσ τῶν κατὰ πόλεισ*" (cf. Σ 14).
536. *μὴ οὖλοσ*] vitium metricum (cf. Σ 193 et § 14).
538 sq. Zen. — (vocem *φάοσ* *lucem* interpretatus).
539. *ἀλάλκοι*] *ἀμύναι* C T (cf. *M* 334 *O* 736).
541. *καρχαλέοι*] *καρφαλέοι* G (cf. *ν* 398, 430).

'φεῦγον· ὃ δὲ σφεδανὸν ἕφεπ' ἔγχεϊ, λύσσα δέ ϝοι κῆρ
αἰὲν ἔχε κρατερή, 'μενέαινε δὲ κῦδοσ ἀρέσθαι.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷεσ Ἀχαιῶν, 544 = Π 698
εἰ μὴ Ἀπόλλων Φοῖβοσ Ἀγήνορα δῖον ἀνῆκε, 545ᵃ = Π 700
φῶτ' Ἀντήνοροσ υἱὸν ἀμύμονά τε κρατερόν τε. 546 cf. Δ 194 546ᵇ = Δ 89
ἐν μέν ϝοι κραδίηι θάρσοσ 'βάλε, πὰρ δέ ϝοι αὐτὸσ
ἔστη, ὅπωσ θανάτοιο βαρείασ κῆρασ ἀλάλκοι,
φηγῶι κεκλιμένοσ, 'κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῆι.
αὐτὰρ ὅ γ' ὡσ ἐνόησεν Ἀχιλλῆα πτολίπορθον, [ϰ 309
ἔστη, πολλὰ δέ ϝοι κραδίη 'πόρφυρε μένοντι· 551 cf. δ 427, 572
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 552 = Δ 403
„ὤ μοι ἐγών! εἰ μέν κεν ὑπὸ κρατεροῖ' Ἀχιλῆοσ 553ᵃ = Ρ 91
φεύγω, τῆι περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται, 554 cf. Ζ 41
αἱρήσει με καὶ ὧσ καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δέ κ' ἐγὼ τούτουσ μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδηι Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεοσ ἄλληι
φεύγω πρὸσ πεδίον λεῖον, ὄφρ' ἄγκε' ἵκωμαι
Ἴδησ τε κνημοὺσ κατά τε ῥωπήϊα δύω,
ϝεσπέριοσ δέ κ' ἔπειτα λοεσσάμενοσ ποταμοῖο,
ϝιδρό' ἀποψυχθείσ, προτὶ Ϝίλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλοσ διελέξατο θυμόσ; 562 = Δ 407
μή μ' ἀπαειρόμενον πόλιοσ πεδίονδε νοήσηι
καί με μεταΐξασ μάρψηι ταχέεσσι πόδεσσι.
οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρασ ἀλύξαι·
λίην γὰρ κρατερὸσ περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέ ϝοι πρόσθεν πόλιοσ κατεναντίον ἔλθω . . . .,
καὶ γάρ θην τούτωι τρωτὸσ χρὼσ ὀξέι χαλκῶι,

---

542. *σφεδανὸν*] -*νῶν* Ar. (pro participio habens) Syr. A T; cf. *Λ* 165 *Π* 372.

548. *κῆρασ* Eust.] *χεῖρασ* *Ω* (cf. *Α* 97).

550. *Ἀχιλλῆα πτολίπορθον*] sic Ar., *Ἀχιλλέα Πηλείωνα* olim quidam.

552. *ποτὶ*] *πρὸσ ὃν* *Ω*. Cf. *Λ* 403.

554. *κλονέονται* Syr. A] *φοβέονται* *Ω* (ut *Ζ* 41 *Φ* 4).

559. **λεῖον, ὄφρ' ἄγκε'*] *'Ιλήϊον, ὄφρ' ἂν* Ar. *Ω*, quale a nomine *Ἴλιοσ* vel *Ἶλοσ* duci non potuit adiectivum; *'Ιδήϊον, ὄφρ' ἂν* Crates, at sequitur Idae nomen; *εὐλήϊον* Bothe. Coniecturae nostrae favet *Ψ* 359, cf. praeterea *Δ* 484 *Ψ* 330 al.; *ἄγκεα* commemorari solent ubi fit persecutio (cf. *Σ* 321 *Χ* 190 *δ* 337 = *ρ* 128), et sic demum apparet particulae *τε* vs. 559 quae sit utilitas; *ὄφρα* *donec* (non addito *κε*) est etiam *Α* 82 *Μ* 281. Abiit *ἄγκε'* in *ἄν κε*, dein in *ἄν*, et e litteris *ΛΕΙΟΝ* natum est adiectivum *'Ιλήϊον*.

559. *κνημοὺσ*] *κρημνοὺσ* Gen. (cf. vs. 449).

567. *πρόσθεν* Menrad] *προπάροιθε*. Cf. *Χ* 464 *θ* 524 (*Β* 811 *Ζ* 307).

ἓν δὲ μία ψυχή, θνητὸν δέ ϝέ φασ' ἄνθρωποι."
ὣσ ϝειπὼν Ἀχιλῆα ϝαλεὶσ ἔμεν', ἐν δέ ϝοι ἦτορ
ἄλκιμον ὡρμάετο πτολεμιζέμεν' ἠδὲ μάχεσθαι.
ἠΰτε πάρδαλισ εἶσι βαθείησ ἐκ ξυλόχοιο 573ᵇ = Λ 415
ἀνδρὸσ θηρητῆροσ ἐναντίον, οὐδέ τι θυμῶι 574ᵇsq.ᵃcf. η 50 sq. σ 330 sq. 390 sq.
ταρβέει οὐδὲ φοβεῖται, ἐπεὶ κυνυλαγμὸν ἀκούσηι· 575ᵃ = Μ 46
εἴ περ γὰρ φθάμενόσ ϝ' ἠ' οὐτάσηι ἠὲ βάληισι,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆσ, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
ὣσ Ἀντήνοροσ υἱὸσ ἀγαυοῦ, δῖοσ Ἀγήνωρ,
οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆοσ.
ἀλλ' ὅ γ' ἄρ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐϝίσην, 581ᵇ = Μ 294
ἐγχείηι δ' αὐτοῖο 'τιτύσκετο, καὶ μέγ' ἀΰτει·
„ἦ δή που μάλα ϝέλπε' ἐνὶ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
ἤματι τῶιδε πόλιν πέρσειν Τρώων ἀγερώχων, 584 cf. Π 708
νηπύτι'! ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῆι.
ἐν γάρ ϝοι πολέεσ τε καὶ ἄλκιμοι ἀνέρεσ εἰμέν,
οἳ καὶ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ϝίλιον εἰρύμεσθα· σὺ δ' ἐνθάδε πότμον ἐφέψεισ,
ὧδ' ἔκπαγλοσ ἐὼν καὶ θαρσαλέοσ πολεμιστήσ."
ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείησ χειρὸσ ἀφῆκε, 590ᵇ = Ν 410
καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατοσ οὐδ' ἀφάμαρτε.
ἀμφὶ δέ ϝοι κνημὶσ νεοτεύκτου κασσιτέροιο
σμερδαλέον 'κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸσ ὄρουσε 593ᵃ = Ο 648

570 ἔμμεναι· αὐτάρ ϝοι Κρονίδησ Ζεὺσ κῦδοσ ὀπάζει. 570 cf. Θ 141

569. μία Heyne] ἴα Ω, Bentley τ' ἴα (cf. Δ 174), Agar ϝ'(οι) ἴα, an *ἓν δὲ ψυχὴ ἴα? Idem est hiatus Ι 319; Heynii coniecturae favet Υ 272.

570. Ar. —

573. πάρδαλισ Ar. L] πόρδαλισ Ω (cf. Ν 103).

575. κυνυλαγμὸν Zen.] κεν ὑλαγμὸν Ar. Ω. Cf. § 3 et Stesichori fr. 85: ἀπειρέσιοι κυνυλαγμοί.

576. *ϝ'] τισ L et olim „αἱ ἀπὸ τῶν πόλεων", μιν Ω. Cf. § 16. Leaf φθάμενοσ ἤ', insolito enim loco collocatum esse pronomen (cf. § 329).

580. φεύγειν] φυγέειν O (i. e. φυγέμεν, § 125).

583. μάλα ϝέλπε'(αι) Hoffmann] μάλ' ἔολπασ Ω, μάλ' ἐϝέλπε'(ο) Bentley, σὺ ϝέϝολπασ Brandreth, ἦ μάλα δή τι ϝέϝολπασ Cobet.

585. τ' ἔτι] μάλα A.

586. (ϝ)οι A D¹] ῥ' οἱ C, τοι D² T. — ἀνέρεσ εἰμέν] ἄνδρεσ ἔνειμεν l. a. ant. Cf. Β 131 Ε 477.

587. οἳ καὶ Ar.] οἵ κε(ν) Ω (cf. Ε 894).

588. εἰρύμεσθα Heyne] εἰρυ(σ)όμεσθα. Cf. § 164.

590. βαρείησ] παχείησ C D (cf. vs. 403).

591. ῥ'] cf. Ν 651.

592. (ϝ)οι H] μιν Ω. Cf. Μ 396 Ν 805 al.

593. 'κονάβησε] -βιζε D (ut Β 466 al.).

βλημένου, οὐδ᾽ ἐπέρησε, θεοῦ δ᾽ ἠρύκακε δῶρα. 594 cf. Υ 268
Πηλεΐδησ δ᾽ ὡρμήσατ᾽ Ἀγήνοροσ ἀντιθέοιο
δεύτεροσ· οὐδέ ϝ᾽ ἔασεν Ἀπόλλων κῦδοσ ἀρέσθαι,
ἀλλά μιν ἐξήρπαξε, ᾽κάλυψε δ᾽ ἄρ᾽ ἠέρι πολλῆι, 597^{b} = Γ 381
ἡσύχιον δ᾽ ἄρα μιν πολέμοι᾽ ἔκ ᾽πέμπε νέεσθαι.
αὐτὰρ ὃ Πηλεΐωνα δόλωι ἀπεϝέργαθε λαοῦ·
αὐτῶι γὰρ ϝεκάϝεργοσ Ἀγήνορι πάντα ϝεϝοικὼσ
ἔστη πρόσθε ποδῶν, ὃ δ᾽ ἐπέσσυτο ποσσὶ διώκειν.
ἧοσ ὃ τὸν πεδίοιο ᾽διώκετο πυροφόροιο,
τρέψασ πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα, — δόλωι δέ ϝε᾽θέλγεν Ἀπόλλων,
ὡσ αἰεὶ ϝέλποιτο κιχήσεσθαι ποσὶ ϝοῖσι, —
τόφρ᾽ ἄλλοι Τρῶεσ πεφοβημένοι ἦλθον ὁμίλωι
ἀσπάσιοι προτὶ ϝάστυ, πόλισ δ᾽ ἔμπλητο ϝαλέντων.
οὐδ᾽ ἄρα τοί γ᾽ ἔτλαν πόλιοσ καὶ τείχεοσ ἐκτὸσ
μεῖναι ἔτ᾽ ἀλλήλουσ, καὶ γνώμεναι ὅσ τε πεφεύγοι
ὅσ τ᾽ ἔθαν᾽ ἐν πολέμωι· ἀλλ᾽ ἐσσυμένωσ ἐσέχυντο
εἰσ πόλιν, ὅν τινα τῶν γε πόδεσ καὶ γοῦν᾽ ἐσάωσαν.

Χ

ὣσ οἳ μὲν κατὰ ϝάστυ, πεφυζότεσ ἠύτε νεβροί,
ϝιδρό᾽ ἀπεψύχοντο ᾽πίον τ᾽ ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῆισιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
τείχεοσ ἆσσον ἴσαν σάκε᾽ ὤμοισι κλίναντεσ. 4^{b} = Λ 593
῞Εκτορα δ᾽ αὐτόθι μεῖναι ὀλοιὴ μοῖρ᾽ ἐπέδησε,
Ϝιλίοο προπάροιθε πυλάων τε Σκαιάων. 6^{a} = Ο 66
αὐτὰρ Πηλεΐωνα προσηύδα Φοῖβοσ Ἀπόλλων·
„τίπτε με, Πηλέοσ υἱέ, ποσὶν ταχέεσσι διώκεισ, 8^{b} cf. Θ 339

---

594. In margine habet A prima manu suppletum (593^{b} est in litura, unde apparet librarium prius scripsisse *σμερδαλέον κονάβησε, θεοῦ δ᾽ ἠρύκακε δῶρα*, cum eius oculi a litteris *-βησε* ad *-ρησε* aberrassent).

596. *ϝ᾽* Brandreth] *τ᾽*.
— *Ἀπόλλων κῦδοσ ἀρέσθαι*] *ἄναξ Διὸσ υἱὸσ Ἀπόλλων* l. a. in A.

600. *γὰρ*] sic Ar., *γάρ ῥ᾽* G H.

604. *δέ ϝε ᾽θέλγεν* (*ϝ᾽ ἔθελγεν*) Brandreth] *δ᾽ ἄρ᾽ ἔθελγεν* Ω (vitio metrico, cf. § 3).

606. *Τρῶεσ*] *πάντεσ* C.

607. *πόλισ δ᾽ ἔμπλητο*] *πύλαι δ᾽ ἔμπληντο* Antimachus et Rhianus (cf. § 119).

609. *τε*] *κε* pap. Bodl. b 3.
— *πεφεύγοι*] *-γει* D (cf. Θ 270 et § 159).

610. *ἐσσυμένωσ* A] *ἀσπασίωσ* Ω.

611. *γοῦν᾽ ἐσάωσαν*] *γοῦνα σαῶσαι* Ar.

2. *ἀπεψύχοντο*] sic et *ἀνεψ.* Ar.; cf. Λ 621 Φ 561. Ipsi *homines ἀναψύχονται* (δ 568 Ε 795 Κ 575 Ν 84).

6. *Ϝιλίοο* § 59] *᾽Ιλίου*.

7. *αὐτὰρ*] *αὐτὰρ ὁ* Ambr. Syr.; cf. Λ 660 Π 25.

αὐτὸσ θνητὸσ ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνωσ ὡσ θεόσ εἰμι, σὺ δ' ἀσπερχὲσ μενεαίνεισ. 10b cf. Δ 32
ἦ νύ τοι οὔ τι μέλει Τρώων φόνοσ, οὓσ ἐφόβησασ,
οἳ δή τοι εἰσ ϝάστυ 'ϝάλεν, σὺ δὲ δεῦρ' ἐλιάσθησ;
οὐ μέν με κτενέεισ, ἐπεὶ οὔ τοι μόρσιμόσ εἰμι."
τὸν δὲ μέγ' ὀχθήσασ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 14 = Π 48
„'βλάψασ με, ϝεκάϝεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψασ ἀπὸ τείχεοσ· ἦ κ' ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ϝίλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδοσ ἀφείλεο, τοὺσ δ' ἐσάωσασ
ῥηϊδίωσ, ἐπεὶ οὔ τι τίσιν γ' ἔδϝεισασ ὀπίσσω. 19 cf. Λ 515
ἦ σέ κε τισαίμην, εἴ μοι δύναμίσ γε παρείη." 20 cf. β 62
ὣσ ϝειπὼν προτὶ ϝάστυ μέγα φρονέων ἐβεβήκει, 21b = Λ 296
σευάμενοσ ὥσ θ' ἵπποσ ἀεθλοφόροσ σὺν ὄχεσφι,
ὅσ ῥά τε ῥεῖα θέησι τιταινόμενοσ πεδίοιο·
ὣσ Ἀχιλεὺσ λαιψηρὰ πόδασ καὶ γούνατ' ἐνώμα. 24 cf. Ο 269
τὸν δ' ὁ γέρων Πρίαμοσ πρῶτοσ 'ϝίδεν ὀφθαλμοῖσι,
παμφαίνονθ' ὥσ τ' ἀστέρ' ἐπεσσυμένον πεδίοιο, 26 sq. cf. Ε 5 sq. [Λ 62 sq.
ὅσ ῥά τ' ὀπώρησ εἶσιν, ἀρίζηλοι δέ ϝοι αὐγαὶ 27b = Ν 244
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸσ ἀμολγῷ, 28b = 317
ὅν τε κύν' Ὀαρίωνοσ ἐπίκλησιν καλέουσι· 29b = Σ 487
λαμπρότατοσ μὲν ὅ γ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δϝειλοῖσι βροτοῖσι·
ὣσ τοῦ χαλκὸσ ἔλαμπε περὶ στήθεσσι θέοντοσ. 32 = Ν 245
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε 'κόψατο χερσὶ
ὑψόσ' ἀνασχόμενοσ, μέγα δ' οἰμώξασ ἐγέγωνε 34a cf. Μ 138 34b cf. μ 370
λισσόμενοσ φίλον υἱόν· ὃ δὲ προπάροιθε πυλάων
εἱστήκειν, ἄμοτον μεμαὼσ Ἀχιλῆϊ μάχεσθαι.
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα χεῖρασ ὀρεγνύσ· 37b cf. Λ 351
„Ἕκτορ, μή μοι μίμνε, φίλον τέκοσ, ἀνέρα τοῦτον

---

10. In Syr. additur versus: 'Ιλίου ἐξαλαπάξαι ἐὺ κτίμενον πτολίεθρον (= Δ 33).

11. φόνοσ Bothe] πόνοσ Ar. Ω („τὸ περὶ τοὺσ Τρῶασ πονεῖν καὶ ἐνεργεῖν" Ariston.). Cf. Ρ 365.

15. (')βλάψασ με Bentley] ἔβλαψάσ μ' Ω, ἔβλαψασ et in vs. 16 τρέψασ μ' Hoffmann. — ὀλοώτατε] δολιώτατε quidam olim (sic Heyne pro scholii lectione δολοώτατε coll. Φ 604).

29. Ὀαρίωνοσ] Ὠρίωνοσ Ω. Cf. Σ 486.

30. ὅ γ'] ὅδ' A.

33. 'κόψατο] λάζετο L (ut Ε 365 al.).

34. ἐγέγωνε § 260] ἐγεγώνει.

οἷοσ ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπηισ
Πηλεΐωνι δαμείσ, ἐπεὶ ἦ πολὺ φέρτερόσ ἐστι, 40a cf. Y 294 40b = Θ 144, 211
σχέτλιοσ. αἴθε θεοῖσι φίλοσ τοσσόνδε γένοιτο cf. Δ 169
ὅσσον ἐμοί! τάχα κέν ϝε κύνεσ καὶ γῦπεσ ἔδοιεν 42b cf. Σ 271
κείμενον. ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχοσ ἔλθοι· 43 cf. Θ 147 Ω 514
ὅσ μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὔνιν ἔθηκε
κτείνων καὶ περνὰσ νήσων ἔπι τηλεδαπάων. 45b = Φ 454
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ϝιδέμεν Τρώων εἰσ ϝάστυ ϝαλέντων,
τούσ μοι Λαοθόη 'τέκετο, κρείουσα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῶι, ἦ κεν ἔπειτα
χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ', ἔστι γὰρ ἔνδον· [υ 208 ω 264
εἰ δ' ἤδη τεθνᾶσι καὶ ἐν Ἀϝίδαο δόμοισι, 52 cf. δ 834 ο 350 52b = Ψ 19
ἄλγοσ ἐμῶι θυμῶι καὶ μητέρι, τοὶ 'τεκόμεσθα,
λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγοσ
ἔσσεται, εἰ μὴ καὶ σὺ θάνηισ Ἀχιλῆϊ δαμασθείσ.
ἀλλ' εἰσέρχεο τεῖχοσ, ἐμὸν τέκοσ, ὄφρα σαώσηισ
Τρῶασ καὶ Τρωΐασ, μηδὲ μέγα κῦδοσ ὀρέξηισ
Πηλεΐδηι, αὐτὸσ δὲ φίλησ αἰῶνοσ ἀμερθῆισ.
πρὸσ δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδησ ἐπὶ γήραοσ οὐδῶι 60b = Ω 487
αἴσηι ἐν ἀργαλέηι φθίσει, κακὰ πολλὰ ϝιδόντα,
υἷάσ τ' ὀλλυμένουσ ἑλκηθείσασ τε θύγατρασ,
καὶ θαλάμουσ κεραϊζομένουσ, καὶ νήπια τέκνα

51 πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὄνομα κλυτὸσ Ἄλτησ.

42. ἔδοιεν Ar.] ἔδονται Ω (cf. § 122).

45. τηλεδαπάων] θηλυτεράων l. a. ant. (cf. Φ 454).

49. ἦ] εὖ pap. Bodl. b 3.

— κεν § 326] τ' ἄν.

50. ἀπολυσόμεθ'] ἀπολύσομεν (an -μαι?) l. a. in A.

51. *Delevimus. Priamo uxoris vel concubinae peculio (cf. *Ι* 147 *α* 278 *β* 197) opus non erat ad redimendos filios. Totum locum damnavit Hoffmann (vs. 46—55, Naber vs. 46—53).

— γέρων] φίληι (φίλωι schol. A) „αἱ ἀπὸ τῶν πόλεων" (cf. *α* 278 *β* 197); in scholii T verbis „Ἀριστοφάνησ πολλά" quid lateat incertum est.

53. ἐμῶι] *ἐμοί? Aptius enim sibi opponuntur: *mihi et matri* quam: *meo animo et matri*.

55. εἰ § 326] ἤν.

56. τέκοσ] θάλοσ l. a. ant. (cf. vs. 87).

58. δὲ ... ἀμερθῆισ] *γε ... ἀμερθείσ? Cf. § 122.

59. φρονέοντ'] φρονέων L, ζώοντ' l. a. in T.

— ἐλέησον] ἐλέαιρε C L.

61. αἴσηι] νούσωι [Plut.] vit. Hom. 67, δύηι Stob. Flor. 104, 1 (cf. *ξ* 215 al.).

— πολλὰ ϝιδόντα Bentley] πόλλ' ἐπιδόντα.

βαλλόμενα προτὶ γαίηι ἐν αἰνῆι δηϊοτῆτι·
αὐτὸν δ' ἂρ πύματόν με κύνεσ πρώτηισι θύρηισι
ὠμεσταὶ ϝερύουσιν, ἐπεί κέ τισ ὀξέι χαλκῶι 67a = Δ 454
τύψασ ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓσ 'τρέφον ἐν μεγάροισι τραπεζῆασ θυραουρούσ,
οἵ τ' ἐμὸν αἷμα πιόντεσ, ἀλύσσοντεσ περὶ θυμῶι,
κείσοντ' ἐν προθύροισι. νέωι δέ τε πάντα ϝέϝοικε,
Ἄρηϊ κταμένωι, δεδαϊγμένωι ὀξέι χαλκῶι, 72b cf. Σ 236
κεῖσθαι, πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανήηι·
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον 74 cf. Ω 516
αἰδόα τ' αἰσχύνωσι κύνεσ κταμένοιο γέροντοσ,
τοῦτο δὴ οἴκτιστον πέλεται δϝειλοῖσι βροτοῖσι."
ἦ ῥ' ὁ γέρων, πολιὰσ δὲ ἀνὰ τρίχασ εἵλκετο χερσὶ
τίλλων ἐκ κεφαλῆσ· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε. 78b cf. 91
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα, 79 cf. Σ 32
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε·
καί μιν δάκρυ χέουσ' ἔπεα πτερόεντα προσηύδα·
„Ἕκτορ, τέκνον ἐμόν, τάδε τ' αἴδεο καί μ' ἐλέησον 82b cf. Φ 74
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον·
τῶν μνῆσαι, φίλε τέκνον, ἄμυνε δὲ δήϊον ἄνδρα
τείχεοσ ἐντὸσ ἐών, μηδὲ πρόμοσ ἵστασο τούτωι,
σχέτλιοσ! εἴ περ γάρ σε κατακτάνηι, οὔ σ' ἔτ' ἐγώ γε
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλοσ, ὃν 'τέκον αὐτή,
οὐδ' ἄλοχοσ πολύδωροσ, ἄνευθε δέ σε μέγα νῶϊν 88a = ω 294
Ἀργείων παρὰ νηυσὶ κύνεσ ταχέεσ κατέδονται."
ὣσ τώ γε κλαίοντε προσηυδήτην φίλον υἱόν, 90a = Λ 136
πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον, 91b cf. 78
ἀλλ' ὅ γ' ἔμιμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.

65 ἑλκομένασ τε νυοὺσ ὀλοῆισ' ὑπὸ χερσὶν Ἀχαιῶν.

65. Del. Duentzer.
66. *ἄρ] ἂν Ω, αὖ Heyne. Cf. § 122 et 326.
67. ὠμεσταὶ] cf. Λ 454.
68. ἕληται] ἕλοιτο l. a. in A.
69—76. Postmodo videntur additi.
69. θυραουρούσ] θυραωρούσ Ar. Syr., πυλαωρούσ Ω. De termino -ουρούσ cf. Ω 681.
70. *τ'] κ'. Cf. § 122.
71. πάντα ϝέϝοικε Bentley] πάντ' ἐπέοικε.
77. δὲ (δ') C H] δ' ἄρ' Ω.
81. ἔπεα] neglecto ϝ (cf. O 85).
83. τοι] sic Ar., σοι olim alii.
85. ἐών Ar. A C] ἰών Ω (cf. Δ 277).
86. οὔ σ' ἔτ'] οὔτε σ' Par. 1805 (non male, si etiam vs. 88 legatur οὔτ').
87 θάλοσ] τέκοσ A T (cf. vs. 56).

ὡσ δὲ δράκων ἐπὶ χειῆι ὀρέστερος ἄνδρα μένηισι
βεβρωκὼσ κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλοσ αἰνόσ,
σμερδαλέον δὲ δέδορκε ϝελισσόμενοσ περὶ χειῆι·
ὡσ Ἕκτωρ ἄσβεστον ἔχων μένοσ οὐχ ὑπεχώρει,
πύργωι ἔπι προέχοντι φαεινὴν ἀσπίδ' ἐρείσασ.
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 98 = *Λ* 408
„ὤ μοι ἐγών! εἰ μέν κε πύλασ καὶ τείχεα δύω, 99 = *P* 91
Πουλυδάμασ μοι πρῶτοσ ἐλεγχείην ἀναθήσει,
ὅσ μ' ἐκέλευεν Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ' ὕπο τήνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖοσ Ἀχιλλεύσ.
ἀλλ' ἐγὼ οὐ 'πιθόμην· ἦ κεν πολὺ κέρδιον ἦεν! 103 = *E* 201
νῦν δ', ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίηισιν ἐμῆισι, 104 cf. *η* 60 *ψ* 68
αἰδέομαι Τρῶασ καὶ Τρωιάδασ ἑλκεσιπέπλουσ, 105 = *Z* 442
μή ποτέ τισ ϝείπηισι κακώτεροσ ἄλλοσ ἐμεῖο· 106 cf. *ζ* 275 *φ* 324 106[a] = *Ψ* 575
‚Ἕκτωρ ϝῆφι βίηφι πιθήσασ ὤλεσε λαόν.' 107[a] cf. *φ* 315[b]
ὡσ ϝερέουσιν· ἐμοὶ δὲ τό κεν πολὺ κέρδιον εἴη, 108[b] = *H* 28
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι
ἠὲ καὶ αὐτόθ' ὀλέσθαι ἐυκλεέωσ πρὸ πόληοσ.
εἰ δέ κεν ἀσπίδα μὲν καταθήομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸσ τεῖχοσ ἐρείσασ 112[a] = *Λ* 375
αὐτὸσ ἰὼν Ἀχιλῆοσ ἀμύμονοσ ἀντίοσ ἔλθω
καί ϝοι ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῆι 114[b] = *Γ* 458
πάντα μάλ', ὅσσα τ' Ἀλέξανδροσ κοίληισ' ἐνὶ νηυσὶ 115 sq.[a] cf. *H* 389 sq.
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεοσ ἀρχή,
δωσέμεν' Ἀτρεΐδηισιν ἄγειν, ἅμα δ' ἀμφὶσ Ἀχαιοῖσ 117[a] cf. *H* 351
ἄλλ' ἀποδάσσεσθαι, ὅσσα πτόλισ ἥδε κέκευθε·

---

93. *ὀρέστεροσ ... μένηισι*] *ὀρέστερον ... δοκεύηι* „*τινὲσ τῶν κατὰ πόλεισ*." Cf. *κ* 212.

98. *ποτὶ*] *πρὸσ ὃν* *Ω*. Cf. *Λ* 403.

101. *μ' ἐκέλευεν Τρωσὶ*] **με Τρώσ' ἐκέλευε* (Nauck *Τρωσὶν μ' ἐκέλευε*)? Cf. § 24 (et 329).

102. *τήνδ' ὀλοήν*] *λυγαίην* (= *σκοτεινὴν*) Etym. M. 571, 22.

103. *κεν* § 326] *τ' ἂν* *Ω*.

108. *τό κεν* Brandreth] *τότ' ἄν*. Cf. *H* 28 *P* 417 et § 326.

— *κέρδιον*] *κάλλιον* „*αἱ κατ' ἄνδρα*." Cf. *O* 197, 226.

109. *κατακτείναντα*] sic et *-ντι* Ar.

110. *καὶ* Brandreth] *κεν* Ar. *Ω* (cf. *E* 894).

— *αὐτόθ'* (*-οῦ*) Heyne] *αὐτῶι* Ar. *Ω* (*αὐτὸν* L).

111. *ὀμφαλόεσσαν*] *ὅπλα τε πάντα* Syr. (quem qui finxit versus exitum, thoracis desiderabat mentionem; cf. *Γ* 332 sq.).

113. *ἀντίοσ*] *-ον* C (cf. *Z* 54).

115. *ἐνὶ*] *ἐπὶ* A[1] D (cf. *Λ* 55).

116. *Τροίηνδ'*] *Τροίην* L.

117. *δ'*] *τ'* D.

— *ἀμφὶσ Ἀχαιοῖσ*] *Ἀργείοισιν* Nauck (cf. § 60).

118. *ἀποδάσσεσθαι* Ar.] *-σσασθαι* plerique (cf. vs. 120).

— *ὅσσα*] *ὅσα τε* D.

Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
120 μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσεσθαι . . . ., 120b cf. Σ 511
122 ἀλλὰ τίη μοι ταῦτα φίλοσ διελέξατο θυμόσ; 122 = Δ 407
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὃ δέ μ' οὐκ ἐλεήσει 123b sq.a cf. Ω 207 sq.
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
125 αὔτωσ ὥσ τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πωσ νῦν ἔστιν ἀπὸ δρυὸσ οὐδ' ἀπὸ πέτρησ 126 cf. τ 163
127 τῶι ὀαριζέμεναι, ἅ τε παρθένοσ ἠΐθεόσ τε·
129 βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν', ὅττι τάχιστα
130 ϝείδομεν ὁπποτέρωι κεν Ὀλύμπιοσ εὖχοσ ὀρέξηι."
ὣσ ὥρμαινε μένων· ὃ δέ ϝοι σχεδὸν ἦλθεν Ἀχιλλεὺσ 131 cf. Φ 64
ϝῖσοσ Ἐνυαλίωι κορυθάϊκι πτολεμιστῆι,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δϝεινήν· ἀμφὶ δὲ χαλκὸσ ἐλάμπετο ϝείκελοσ αὐγῆι
135 ἢ πυρὸσ αἰθομένοι' ἢ' ἠελίοι' ἀνιόντοσ. 135b = Θ 538a
῞Εκτορα δ', ὡσ ἐνόησεν, ἕλε τρόμοσ· οὐδ' ἄρ' ἔτ' ἔτλη 136b cf. Τ 14
αὖθι μένειν, ὀπίσω δὲ πύλασ 'λίπε, 'βῆ δὲ φοβηθείσ.
Πηλεΐδησ δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώσ· 138b = Ζ 505
ἠύτε κίρκοσ ὄρεσφιν, ἐλαφρότατοσ πετεηνῶν, 139 cf. ν 87
140 ῥηϊδίωσ ὤιμησε μετὰ τρήρωνα πέλειαν, —
ἣ δέ θ' ὕπαιθα φοβεῖται, ὃ δ' ἐγγύθεν ὀξὺ λεληκὼσ
ταρφέ' ἐπαΐσσει, ἑλέμεν τέ ϝε θυμὸσ ἀνώγει, —
ὣσ ἄρ' ὅ γ' ἐμμεμαὼσ ἰθὺσ 'πέτετ', ἔτρεσε δ' ῞Εκτωρ
τεῖχοσ ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα. 144a cf. Ρ 404 144b = Κ 358
145 οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεοσ αἰὲν ὑπ' ἐκ καθ' ἁμαξιτὸν ἐσσεύοντο,

---

121 κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸσ ἐϝέργει, 121 cf. Σ 512
128 παρθένοσ ἠΐθεόσ τ' ὀαρίζετον ἀλλήλοιιν.

---

119. ἕλωμαι] ὀμοῦμαι l. a. in A.
120. δάσεσθαι (schol. T)] δάσασθαι Ω. Cf. vs. 118 (et Σ 511).
121. Versum ex Σ insertum, qui propter versum 118 ferri nequit, om. A D.
122. τίη] sic Ar., quidam olim τί δή.
124. κτενέει] κτανέει Apoll. lex. (cf. § 269).
128. Del. Heyne.
129. ὅττι] ὄφρα l. a. in A (ut Ν 326). Lectionem vulgatam tuentur Χ 450 Ψ 71 (γ 18). — Non post τάχιστα esse interpungendum docent numeri Ψ 71; Δ 193 res omnino est certa.
132. In pap. Bodl. b 3 sequebatur versus, cuius litterae mediae ναμ vel ναν solae supersunt.
144. τεῖχοσ] τείχει A[2] C.
145. ἠνεμόεντα] -εσσαν A[2].

κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα τε πηγαὶ
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντοσ.
ἣ μὲν γάρ θ' ὕδατι λιαρῶι ῥέει, ἀμφὶ δὲ καπνὸσ
γίγνεται ἐξ αὐτῆσ ὡσ εἰ πυρὸσ αἰθομένοιο· 150^{b} = ι 89
ἣ δ' ἑτέρη θέρεϊ προρέει ϝεϝικυῖα χαλάζηι
ἢ χιόνι ψυχρῆι ἤ' ἐξ ὕδατοσ κρυστάλλωι.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέεσ ἐγγὺσ ἔασι
καλοὶ λαΐνεοι, ὅθι ϝείματα σιγαλόεντα
'πλύνεσκον Τ̣ρώων ἄλοχοι καλαί τε θύγατρεσ
τὸ πρὶν ἐπ' εἰρήνησ, πρὶν ἐλθέμεν' υἷασ Ἀχαιῶν. 156 = Ι 403
τῆι ῥα παρεδραμέτην, φεύγων, ὃ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸσ ἔφευγε, 'δίωκε δέ μιν μέγ' ἀμείνων
καρπαλίμωσ, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην
ἠρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆσ 'θέον Ἕκτοροσ ἱπποδάμοιο.
  ὡσ δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχεσ ἵπποι
ῥίμφα μάλα τροχάωσι, τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίποσ ἠὲ γυνή, ἀνδρὸσ κατατεθνηῶτοσ,
ὣσ τὼ τρὶσ Πριάμοιο πόλιν πέρι 'δινηθήτην
καρπαλίμοισι πόδεσσι.

θεοὶ δ' εἰσ πάντεσ ὁρῶντο,
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε· 167 = Ω 103 α 28
„ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχοσ
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ 169^{b} cf. Π 450
Ἕκτοροσ, ὅσ μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηε
Ἴδησ ἐν κορυφῆισι πολύπτυχοσ, ἄλλοτε δ' αὖτε 171 cf. Φ 449
ἐν πόλι' ἀκροτάτηι· νῦν αὖτέ ϝε δῖοσ Ἀχιλλεὺσ
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει. 173 cf. 230
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάεσθε, 173^{b} cf. Θ 339 174-176 cf. Π 435
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη sqq.

---

147. τε Hermann] δὲ. Cf. Θ 48.
154. ὅθι] τόθι pap. Bodl. b 3.
158. Olim quidam addebant versum: φεῦγ' υἱὸσ Πριάμοιο, δίωκε δὲ δῖοσ Ἀχιλλεύσ. Ipsum versum 158 (e Φ 280 natum?) del. Bekker.
162. τέρματα] -σι C.
163. τροχάωσι § 191 et 310] τρωχῶσι. — κεῖται] *κεῖετ'? Cf. Ω 554 et § 169.
166. δ' ἐ(ι)σ A] δὲ D, δέ τε Ω.
168. τεῖχοσ] ἄστυ Plat. Rep. 388 c.
171. κόρυφῆισι] κνημοῖσι D (ut Φ 449 al.). — πολύπτυχοσ § 83[10]] -πτύχου.

Πηλεΐδηι Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα." 176 cf. Υ 312
τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπισ Ἀθήνη·
„ὦ πάτερ ἀργικέραυνε κελαινεφέσ, οἷον ἔϝειπεσ!
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι, 179-181 = Π 441 sqq.
ἂψ ἐθέλεισ θανάτοιο δυσηχέοσ ἐξαναλῦσαι;
ϝέρδ'· ἀτὰρ οὔ τοι πάντεσ ἐπαινέομεν θεοὶ ἄλλοι."
τὴν δ' ἀπαμειβόμενοσ προσέφη νεφεληγερέτα Ζεύσ· 182ᵇ-184 = Θ 38 sqq.
„θάρσεε, Τριτογένεια, φίλον τέκοσ· οὔ νύ τι θυμῶι
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιοσ εἶναι.
ϝέρξον ὅπηι δή τοι νόοσ ἔπλετο, μηδέ τ' ἐρώει."
ὣσ ϝειπὼν ὄτρυνε πάροσ μεμαυῖαν Ἀθήνην· 186 sq. = Δ 73 sq.
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
"Εκτορα δ' ἀσπερχὲσ κλονέων ἔφεπ' ὠκὺσ Ἀχιλλεύσ. 188 cf. Δ 496ᵃ
ὡσ δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
ὄρσασ ἐξ εὐνῆσ, διά τ' ἄγκεα καὶ διὰ βήσσασ·
τὸν δ' εἴ πέρ τε λάθηισι καταπτήξασ ὑπὸ θάμνωι,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρηι·
ὣσ "Εκτωρ οὐ 'λῆθε ποδώκεα Πηλεΐωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων 194ᵃ = Φ 265
ἀντίον ἀΐξασθαι, ἐὺ δμητοὺσ ὑπὸ πύργουσ, 195ᵇ cf. Μ 154
εἴ πώσ ϝοι καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀπετρέψασκε παραφθὰσ
πρὸσ πεδίον· αὐτὸσ δὲ ποτὶ πτόλιοσ 'πέτετ' αἰεί.
ὡσ δ' ἐν ὀνείρωι οὐ δύναται φεύγοντα διώκειν,
οὔτ' ἄρ' ὃ τὸν δύναται ὑποφευγέμεν' οὔθ' ὃ διώκειν,
ὣσ ὃ τὸν οὐ 'δύνατο μάρψαι ποσὶν οὐδ' ὃσ ἀλύξαι.
πῶσ δέ κεν "Εκτωρ κῆρασ ὑπεξέφυγεν θανάτοιο,
εἰ μή ϝοι πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων

---

180. *θανάτοιο δυσηχέοσ*] cf. Β 686.
195. *ἀΐξασθαι*] *ἀΐξεσθαι* D Gen. (cf. Β 544). — *ὑπὸ* Syr. A D] *ἐπὶ* C T (cf. Π 700).
197. *ἀπετρέψασκε* (*ἀποτρ.*) Syr. H] *ἀποστρέψασκε* Ω (cf. λ 597), sic et *παρατρέψασκε* Ar. sec. schol. T (*ἀποστρ.* et *παραστρ.* Bekker, nobis *ἀποτρ.* et *παρατρ.* Ar. dedisse videtur). — *παραφθὰσ*] sic Ar., *παραστὰσ* L. Cf. Κ 346 Ψ 515.
199—201. Ar. —
199. Locus vix integer; nam in verbis *ὀνείρωι οὐ* est vitium metricum (cf. § 14), dein desideratur *τισ* (cf. Ν 287 υ 88 ω 108). Christ audacius *ὡσ δ' ὄναρ οὐ δύναται μάρψαι φεύγοντα διώκων*, deleto vs. 200.
201. *δ*] *ῥα* Syr. A C.
202. *ὑπεξέφυγεν*] *ὑπεξέφερεν* Ar. (?) Syr. (cf. Ο 628 Ψ 376 sq. γ 496).

ἐγγύθεν, ὅσ ϝοι ἐνῶρσε μένοσ λαιψηρά τε γοῦνα; 204 cf. Υ 93
λαοῖσιν δ' ἀνένευε καρήατι δῖοσ Ἀχιλλεύσ,
οὐδ' ἔα' ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τισ κῦδοσ ἄροιτο βαλών, ὃ δὲ δεύτεροσ ἔλθοι. 207ᵇ = Κ 368
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺσ ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, 209 sq. = Θ 69 sq.
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέοσ θανάτοιο,
τὴν μὲν Ἀχιλλῆοσ, τὴν δ' Ἕκτοροσ ἱπποδάμοιο,
εἷλκε δὲ μέσσα λαβών· 'ρέπε δ' Ἕκτοροσ αἴσιμον ἦμαρ, 212 cf. Θ 72
ὤιχετο δ' εἰσ Ἀϝίδαο, 'λίπεν δέ ϝε Φοῖβοσ Ἀπόλλων.
Πηλεΐωνα δ' ἵκανε θεὰ γλαυκῶπισ Ἀθήνη,
ἀγχόθι δ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 215 = Δ 92
„νῦν δὴ νῶϊ ϝέϝολπα, Διὶ φίλε φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδοσ Ἀχαιοῖσι προτὶ νῆασ,
Ἕκτορα δηιώσαντε μάχησ ἄατόν περ ἐόντα.
οὔ ϝοι νῦν ἔτι γ' ἔστι πεφυγμένον ἦμε γενέσθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθηι ϝεκάϝεργοσ Ἀπόλλων
προπροκυλινδόμενοσ πατρὸσ Διὸσ αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυο, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι."
ὣσ 'φάτ' Ἀθηναίη, ὃ δ' ἐπείθετο, 'χαῖρε δὲ θυμῶι, 224 = ω 515
'στῆ δ' ἄρ' ἐπὶ μελίησ χαλκογλώχινοσ ἐρεισθείσ.
ἣ δ' ἄρα τὸν μὲν ἔλειπε, 'κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβωι ϝεϝικυῖα δέμασ καὶ ἀτειρέα φωνήν, 227 cf. Ν 45
ἀγχόθι δ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 228 = Δ 92
„ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺσ Ἀχιλλεύσ, 229ᵃ = Ζ 518
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων. 230 cf. 173; 230ᵇ cf. Θ 339
ἀλλ' ἄγε δὴ στάομεν καὶ ἀλεξώμεσθα μένοντεσ." 231 = Δ 348
τὴν δ' αὖτε προσέϝειπε μέγασ κορυθαιόλοσ Ἕκτωρ· 232 = Ζ 440
„Δηΐφοβ', ἦ μέν μοι τὸ πάροσ πολὺ φίλτατοσ ἦσθα

---

204. ἐνῶρσε] ἐπῶρσε Ω. Cf. Υ 93.
205. λαοῖσιν] ἄλλοισιν Syr. A D.
206. ἐπὶ Ἕκτορι] vitium metricum; τιν' ἐφ' Ἕ. Fick, an *οὐδέ τιν' ἱέμεν' εἶα' ἐφ' Ἕ.?
212. μέσσα] ῥῦμα Chrysippus (τὴν ῥοπὴν τοῦ ζυγοῦ intellegens).
215 et 228. ἀγχόθι δ'] cf. Β 172.
216. νῶϊ Bentley] νῶϊν Zen., νῶϊ γ' Ω.
220. πάθηι D] πάθοι Ω, κάμηι Naber (coll. Θ 22).
221. προπροκυλινδόμενοσ] πρόχνυ κυλινδόμενοσ l. a. ρ 525, idque utrobique mavult Nauck.
222. ἄμπνυο Cobet] ἄμπνυε. Cf. § 186. — δ'] τ' Syr. D.
231. στάομεν § 122] στέωμεν vel στέομεν.

γνωτῶν, οὓσ Ϝεκάβη ἠδὲ Πρίαμοσ ᾿τέκε παῖδασ·
νῦν δ᾿ ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃσ ᾿τλῆσ εἵνεκ᾿ ἐμεῖο, ἐπεὶ ᾿ϝίδεσ ὀφθαλμοῖσι,
τείχεοσ ἐξελθεῖν, ἄλλοι δ᾿ ἔντοσθε μένουσι.“
τὸν δ᾿ αὖτε προσέϝειπε θεὰ γλαυκῶπισ Ἀθήνη·
„ἠθεῖ᾿, ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
᾿λίσσονθ᾿ ἑξείησ γουνώμενοι, ἀμφὶ δ᾿ εταῖροι,
αὖθι μένειν, τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντεσ·
ἀλλ᾿ ἐμὸσ ἔνδοθι θυμὸσ ἐτείρετο πένθεϊ λυγρῶι.
νῦν δ᾿ ἰθὺσ μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα ϝείδομεν ἤ κεν Ἀχιλλεὺσ
νῶϊ κατακτείνασ ἔναρα βροτόεντα φέρηται 245ª cf. *P* 505, 245ᵇ cf. *Θ* 534
νῆασ ἔπι γλαφυράσ, ἦ κεν σῶι δουρὶ δαμήηι.“
ὣσ φαμένη καὶ κερδοσύνηι ἡγήσατ᾿ Ἀθήνη.
οἳ δ᾿ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾿ ἀλλήλοισιν ἰόντεσ, 248 = *Γ* 15
τὸν πρότεροσ προσέϝειπε μέγασ κορυθαιόλοσ ῞Εκτωρ·
„οὔ σ᾿ ἔτι, Πηλέοσ υἱέ, φοβήσομαι, ὡσ τὸ πάροσ περ.
τρὶσ περὶ ϝάστυ μέγα Πριάμου ᾿δίον, οὐδέ ποτ᾿ ἔτλην 251ᵇsq.ª cf. *Δ* 584 sq.
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸσ ἀνῆκε
στήμεναι ἀντία σεῖο, ϝέλοιμί κεν ἦ κε ϝαλοίην.
ἀλλ᾿ ἄγε δεῦρο θεοὺσ ἐπιβωσόμεθ᾿· οἳ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων.
οὐ γὰρ ἐγώ σ᾿ ἔκπαγλον ἀϝεικίσσω, αἴ κεν ἐμοὶ Ζεὺσ
δώηι καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι· 257ª = *Ψ* 661
ἀλλ᾿ ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε᾿, Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν, ὣσ δὲ σὺ ῥέξειν.“
τὸν δ᾿ ἄρ᾿ ὑπόδρα ϝιδὼν προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·

---

236. *ὃσ*] *ὠσ* C T (cf. *Ξ* 45). — *᾿τλῆσ εἵνεκ᾿ ἐμεῖο* criticus apud Bekkerum] *ἔτλησ ἐμεῦ εἵνεκ᾿*. Cf. *ἀντία σεῖο* vs. 253 et § 22.

240. *γουνώμενοι* § 144] *-ούμενοι.*

244. *ἤ* § 327] *εἴ.*

247. *κερδοσύνηι*] *-νῃισ* l. a. ant.

251. *᾿δίον*] *δῖεσ* olim „*αἱ χαριέστεραι*“ (Did.); *᾿δίε᾿ (= ἐδίεο)? Cf. § 199.

254. *ἐπιβωσόμεθ᾿· οἳ* H²] *ἐπιδωσόμεθ᾿· οἳ* H¹ Vrat., *ἐπιδώμεθα· τοὶ* *Ω*, quae lectio sensu carens in scholiis B repetitur a verbo *ἰδεῖν* collato prisco vocabulo Attico *ἰδύουσ* (nam sic legendum pro „*Ἀττικοὶ δήουσ*“) = *μάρτυρασ* (Aristoph. fr. 222 Hesych. s. v. Eust. 1158, 20). Veri indicium servant ultima verba scholii B: „*οἱ δέ, ἐπικαλεσώμεθα αὐτούσ*“ (item T). Cf. *K* 463 et § 192.

255. *μάρτυροι*] sic Ar. (cf. *B* 302 et § 68).

256. *ἀϝεικίσσω* § 147 et 210] *ἀεικιῶ.*

260. In pap. Bodl. b 3 qui praecedit versus (259?) in litteras *ωσιθ* . . . *α* desinit.

„῞Εκτορ, μή μοι, ἀλαστέ, συνημοσύνασ ἀγόρευε.
ὼσ οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνεσ ὁμόφρονα θυμὸν ἔχουσι,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲσ ἀλλήλοισι,
ὣσ οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκιά γ' ἔσσονται, πρὶν ἢ ἕτερόν γε πεσόντα — 266b sq. = E 288 sq.
αἵματοσ ἆσαι ῎Αρηα ταλαύρινον πολεμιστήν.
παντοίησ ἀρετῆσ μιμνήσκεο· νῦν σε μάλα χρὴ — 268b sq. = Π 492 sq.
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξισ, ἄφαρ δέ σε Παλλὰσ Ἀθήνη
ἔγχε' ἐμῶι δαμάει· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεισ — 271b cf. α 43
κήδε' ἐμῶν ἑτάρων, οὓσ ἔκτανεσ ἔγχεϊ θυίων."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχοσ. — 273 = Γ 355
καὶ τὸ μὲν ἄντα ϝιδὼν ἠλεύατο φαίδιμοσ ῞Εκτωρ· — 274 cf. N 184
ἕζετο γὰρ προϝιδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχοσ, — 275b = N 408
ἐν γαίηι δ' ἐπάγη. ἀνὰ δ' ἥρπασε Παλλὰσ Ἀθήνη,
ἂψ δ' Ἀχιλῆ' ἐδίδου, 'λάθε δ' ῞Εκτορα ποιμένα λαῶν.
῞Εκτωρ δὲ προσέϝειπεν ἀμύμονα Πηλεΐωνα·
„ἤμβροτεσ, οὐδ' ἄρα πώ τι, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,
ἐκ Διὸσ ἠείδεισ τὸν ἐμὸν μόρον, — ἦ τοι ἔφησ γε! —
ἀλλά τισ ἀρτιϝεπὴσ καὶ ἐπίκλοποσ ἔπλεο μύθων, — 281b cf. φ 397
ὄφρα σ' ὑποδϝείσασ μένεοσ ἀλκῆσ τε λάθωμαι. — 282b cf. Z 265
οὐ μέν μοι φεύγοντι μεταφρένωι ἐν δόρυ πήξεισ, — 283 cf. Θ 95
ἀλλ' ἰθὺσ μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεόσ. νῦν αὖτ' ἐμὸν ἔγχοσ ἄλευαι
χάλκεον· ὡσ δή μιν τεῶι ἐν χροῒ πᾶν κομίσαιο
καί κεν ἐλαφρότεροσ πόλεμοσ Τρώεσσι γένοιτο

---

262. ἀνδράσιν] ἀρνάσιν schol. Plat. Phaedr. 241 d (vitio manifesto).

— In pap. Bodl. b 3 sequitur versus, cuius exitus fuit [ἐξ]οχο[σ ἄλλ]οσ.

263. Postmodo additus videtur; quapropter recentis originis indicium ducimus neglectum ϝ vocis ϝάρνεσ (λύκοι καὶ ϝάρνεσ Heyne).

— ἄρνεσ] ἄνδρεσ C[1] et schol. Aristoph. Pac. 1076.

265. οὐδέ A[2] D] οὔτε Ω. Cf. ι 147 λ 483.

266. γ' D] om. Ω.

— πρὶν Syr.[1]] πρίν γ' Ω. Cf. § 18.

270. ἔτ'] om. C L.

272. θυίων A] θύων Ω. Cf. 287[10].

275. χάλκεον] μείλινον l. a. in A.

280. ἠείδεισ τὸν] non integra; εὐείδησθα Naber (cf. τ 93 et Λ 185), sed εὐ- vel ἠ- augmenti syllaba cum sit suspectissima, εὖ 'ϝείδησθα potius videtur scribendum, nisi aliud latet vitium; *ἐκ Ζηνὸσ 'ϝείδησθα?

282. λάθωμαι] λαθοίμην Syr. C.

286. *τεῶι] σῶι. Cf. § 14 et π 438 Λ 185.

287. κεν] σφιν l. a. in A.

σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.“
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχοσ, 289 = Γ 355
καὶ ʼβάλε Πηλεΐδαο μέσον σάκοσ οὐδʼ ἀφάμαρτε·
τῆλε δʼ ἀπεπλάγχθη σάκεοσ δόρυ. ʼχώσατο δʼ Ἕκτωρ, 291^b sq. = Ξ 406 sq.
ὅττι ῥά ϝοι βέλοσ ὠκὺ ἐτώσιον ἔκφυγε χειρόσ,
ʼστῆ δὲ κατηφήσασ, οὐδʼ ἄλλʼ ἔχε μείλινον ἔγχοσ.
Δηΐφοβον δʼ ἐκάλει λευκάσπιδα, μακρὸν ἀύσασ·
ἤιτεέ μιν δόρυ μακρόν. ὃ δʼ οὔ τί ϝοι ἐγγύθεν ἦεν.
Ἕκτωρ δʼ ἔγνω ϝῇσιν ἐνὶ φρεσὶ ʼφώνησέν τε· 296 cf. Λ 333
„ὢ πόποι, ἦ μάλα δή με θεοὶ θανατόνδʼ ἐκάλεσσαν. 297 cf. Π 693
Δηΐφοβον γὰρ ἐγώ γʼ ἐφάμην ἥρωα παρεῖναι·
ἀλλʼ ὃ μὲν ἐν τείχει, ἐμὲ δʼ ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατοσ κακὸσ οὐδʼ ἔτʼ ἄνευθε,
οὐδʼ ἀλέη. ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸσ υἷι ϝεκηβόλωι, οἵ με πάροσ περ
πρόφρονεσ ἐρρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει. 303^b cf. Ρ 478
μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλεέωσ ἀπολοίμην, 304^a = Θ 512
ἀλλὰ μέγα ῥέξασ τι καὶ ἐσσομένοισι πυθέσθαι.“ 305^b = Β 119
ὣσ ἄρα φωνήσασ ἐϝερύσσατο φάσγανον ὀξύ, 306 = χ 79
τό ϝοι ὑπὸ λαπάρην ʼτέτατο μέγα τε στιβαρόν τε,
ὤιμησεν δὲ ϝαλεὶσ ὥσ τʼ αἰετὸσ ὑψιπετήεισ, 308 = ω 538
ὅσ τʼ εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων ἢ ϝάρνʼ ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣσ Ἕκτωρ ὤιμησε τινάσσων φάσγανον ὀξύ.
ὡρμήθη δʼ Ἀχιλεύσ, μένεοσ δʼ ἐμπλήσατο θυμὸν
ἀγρίοο, πρόσθεν δὲ σάκοσ στέρνοιʼ ἐκάλυψε
καλὸν δαιδάλεον, κόρυθι δʼ ἐπένευε φαεινῆι
τετραφάλωι· καλαὶ δὲ περισσείοντο ϝέθειραι. 315^b cf. Τ 382
οἷοσ δʼ ἀστὴρ εἶσι μετʼ ἀστράσι νυκτὸσ ἀμολγῶι 317^b = 28

316 χρύσεαι, ἃσ Ἥφαιστοσ ἵει λόφον ἀμφὶ θαμειάσ. 316 = Τ 383

294. ἐκάλει] ἐβόα „αἱ ἀπὸ τῶν πόλεων.“

299. τείχει] τείχεσσʼ Boehl, nos *πόλι aut *πύργωι. Cf. § 71.

302. υἷι C T] υἱεῖ Ω (cf. § 78 et Π 177). — περ C] γε Ω (cf. Ν 465).

303. ἐρρύατο § 164] εἰρύατο vel -ται.

309. διὰ] ἀπὸ l. a. in T.

310. ἁρπάξων Syr. A] -ζων Ω (cf. Β 436).

315. καλαὶ] δειναὶ „αἱ πλείουσ“ (schol. A); *δϝεινὸν (ut Γ 337 Ζ 470)?

316. Om. A D H neque habuit codicis A archetypum, nam A in hac pagina solitum habet versuum numerum. In margine A D est additus (cf. Π 183 sq.).

ϝέσπεροσ, ὃσ κάλλιστοσ ἐν οὐρανῶι ἵσταται ἀστήρ,
ὣσ αἰχμῆσ ἀπέλαμπ' εὐήκεοσ, ἣν ἄρ' Ἀχιλλεὺσ
'πάλλεν δεξιτερῆι φρονέων κακὸν Ἕκτορι δίωι,
εἰσοράων χρόα καλόν, ὅπηι ϝείξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάσ, 323 cf. P 187
'φαίνετο δ', ἧι κληῖδεσ ἀπ' ὤμων αὐχέν' ἔχουσι,
λαυκανίη, ἵνα τε ψυχῆσ ὤκιστοσ ὄλεθροσ·
τῆι ῥ' ἐπὶ ϝοὶ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖοσ Ἀχιλλεύσ. 326ᵃ cf. Θ 327
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένοσ ἤλυθ' ἀκωκή, 327 = P 49
ἤριπε δ' ἐν κονίηισ'· ὃ δ' ἐπηύξατο δῖοσ Ἀχιλλεύσ· 330ᵃ cf. E 75 Δ 743 330ᵇ = Υ 388
„Ἕκτορ, ἀτάρ ποθ' ἔφησ Πατροκλέε' ἐξεναρίζων
ζωιὸσ ἔσεσθ', ἐμὲ δ' οὔ τι ὀπίζεο νόσφιν ἐόντα,
νήπιε! τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγὼ μετόπισθ' ἐλελείμμην,
ὅσ τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνεσ ἠδ' οἰωνοὶ
ἑλκήσουσ' ἀϊκῶσ, τὸν δὲ κτερίσουσιν Ἀχαιοί." 336ᵇ cf. Δ 455
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαιόλοσ Ἕκτωρ· 337 = O 246
„λίσσομ' ὑπὲρ ψυχῆσ καὶ γούνων σῶν τε τοκήων,
μή μ' ἐάειν παρὰ νηυσὶ κύνασ καταδάψαι Ἀχαιῶν·
ἀλλὰ σὺ μὲν χαλκόν τε ϝάλισ χρυσόν τε δέδεξο,
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,

---

328 οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη 'τάμε χαλκοβάρεια,
ὄφρα τί μιν προτιϝείποι ἀμειβόμενοσ ϝεπέεσσι.

---

322 sq. Postmodo inserti videntur; posterior e *P* 187 (et ipso recenti, cf. *Π* 133 sq.) est repetitus. Molestum est *καί* (Halbertsma *τοῦ τὸ μὲν ἄλλο τόσον κάτεχε* coll. *Ψ* 454 *Γ* 419 al.; an **τοῦ δ' ἄλλον τόσσον μὲν ἔχε?*), novicium autem est *τεύχη* (cf. § 71).

324. *'φαίνετο*] *φαῖνεν* aut *φαῖνον* l. a. in Ar. commentariis (*arma apertum relinquebant*).

325. *λαυκανίη* Nauck] *λαυκανίην* Syr. A T, *λαυκανίησ* (vel *λευκ.*) *Ω* (ut *Ω* 642).

326. *μεμαῶτ'*] *μεμαὼσ* T.

— *ἔγχεϊ*] *῞Εκτορα* D.

328 sq. Postmodo insertos sensit Duentzer; vs. 329 Ar. ——. Interpres respondet ad quaestionem quomodo ita vulneratus loqui etiam potuerit Hector.

328. *ἀπ' ἀσφάραγον*] *ἀπὸ σφάραγον* l. a. apud Eust. (vox †; cf. *ἀστεροπή-στερ.* *K* 154 al.).

332. **ζωιὸσ ἔσεσθ'*] *σῶσ ἔ(σ)σεσθ'* *Ω*, *ζὼσ ἔσσεσθ'* Nauck (coll. *E* 887), *σάοσ ἔσεσθ'* Knight (cf. § 22).

— *οὔ τι* § 100] *οὐδὲν*.

336. *ἑλκήσουσ' ἀϊκῶσ*] *-σι κακῶσ* Antimachus; *ἀϊκῶσ* (*αἰκῶσ*) pro *ἀϝεικέωσ* est novicium (cf. § 319).

— *ἑλκήσουσ'*] *ἑλκύσουσ'* C (cf. *P* 558).

— *κτερίσουσιν*] *-ιοῦσιν* *Ω*. Cf. § 147 et 210.

339. *μ' ἐάειν* (*ἐάαν*) Nauck] *με ἔα* *Ω*, *μ' ἐάα(-ε)* Bentley, sed sonus finalis ita produci non potuit (cf. § 19).

340. *χαλκόν … χρυσόν*] *χρυσόν … χαλκόν* Syr.

341. In pap. Bodl. b 3 est [*πο*]*λλα*.... (cf. *Γ* 242), [*τἄ*]*λλα* [*θ' ἅ*....] Grenfell-Hunt.

σῶμα δὲ ϝοίκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρόσ με 342 sq. = H 79 sq.
Τρῶεσ καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.“
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων.
αἴ γάρ πωσ αὐτόν με μένοσ καὶ θυμὸσ ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷα ϝέϝοργασ!
ὠσ οὐκ ἔσθ' ὃσ σῆσ γε κύνασ κεφαλῆσ ἀπαλάλκηι,
οὐδ' εἴ κεν δεκάκισ τε καὶ εἰκοσινήριτ' ἄποινα 349 cf. I 379
στήσωσ' ἐνθάδ' ἄγοντεσ, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῶι ϝερύσασθαι ἀνώγηι
Δαρδανίδησ Πρίαμοσ· οὐδ' ὧσ σέ γε πότνια μήτηρ 352b sq. cf. Φ 123 sq.
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν 'τέκεν αὐτή,
ἀλλὰ κύνεσ τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.“
τὸν δὲ καταθνήισκων προσέφη κορυθαιόλοσ Ἕκτωρ·
„ἦ σ' ἐὺ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πεισέμεν· ἦ γάρ σοί γε σιδήρεοσ ἐν φρεσὶ θυμόσ. 357 cf. ψ 172
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι 358 cf. λ 73
ἤματι τῶι ὅτε κέν σε Πάρισ καὶ Φοῖβοσ Ἀπόλλων 359a cf. Θ 475
ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῆισι πύληισι.“
ὧσ ἄρα μιν ϝειπόντα τέλοσ θανάτοι' ἐκάλυψε· 361-364a = Π 855 sqq.
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϝιδόσδ' ἐβεβήκει,
ϝὸν πότμον γοάουσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖοσ Ἀχιλλεύσ·
„τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 365 cf. Σ 115
Ζεὺσ ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.“ 366 = Σ 116

---

344. ἄρ' ὑπόδρα ϝιδὼν] ἀπαμειβόμενοσ l. a. in A.

346. πωσ] τὼσ Hoffmann (coll. Γ 415 Θ 538 sqq. N 825 sqq.) speciose; aptior tamen vulgata.

347. ϝέϝοργασ Bentley] μ' ἔοργασ. Cf. Φ 399.

347 sq. ,|ὡσ] sic Ar., .|ὧσ Nicanor (ut I 444). Cf. Θ 541 N 828 ι 525 etc.

348. *ἀπαλάλκηι] -κοι. Cf. Φ 103 π 437 sq.

349. δεκάκισ τε καὶ εἰκοσινήριτ'] verba vitiosa. Compositum (= *vicies innumeros*) aptum sensum omnino non praebet, si vero εἴκοσι νήριτ' duabus vocibus scribatur (sic olim quidam), sententia ne decurrat quidem. Leniora remedia nihil prosunt, sed videntur numeri molesti e simili loco I 379 huc irrepsisse, suspicamur autem primitus fuisse: *οὐδ' εἰ νήριτ' ἄποινα πατὴρ καὶ πότνια μήτηρ. Adiectivum νήριτοσ (= ἀνάριθμοσ) extat Hes. Op. 511, cf. etiam montis nomen Νήριτον (B 632 al.).

351. ἀνώγηι L] -γοι Ω.

357. ἐν φρεσὶ] ἔνδοθι T (ut A 243 X 242 β 315 ϑ 577 τ 377).

360. ἐνὶ] ἐπὶ schol. Pind. Nem. VII 58 (cf. A 55).

363. Om. D.

— ἀνδροτῆτα] cf. Π 857 et § 28.

ἦ ῥα, καὶ ἐκ νεκροῖο ’ϝερύσσατο χάλκεον ἔγχος, 367 cf. Φ 200
καὶ τό γ’ ἄνευθεν ἔθηχ’, ὃ δ’ ἀπ’ ὤμων τεύχε’ ἐσύλα 368b = O 524
αἱματόεντ’· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ ἐθηήσαντο φυὴν καὶ ϝεῖδος ἀγητὸν 370b cf. Ω 376 ξ 177
Ἕκτορος· οὐδ’ ἄρα ϝοί τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις ’ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 372 = B 271
„ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάεσθαι
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ!“ 374 cf. Θ 235
ὣς ἄρα τις ’ϝείπεσκε καὶ οὐτάσσασκε παραστάς.
τὸν δ’ ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ϝέπεα πτερόεντ’ ἀγόρευε· 377 cf. Ψ 535
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 378 = B 79
ἐπεὶ δὴ τόνδ’ ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ’ ἔρρεξεν, ὅσ’ οὐ σύμπαντες οἳ ἄλλοι, 380a cf. I 540
εἶ δ’ ἄγετ’ ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν, 381b cf. E 220
ὄφρα κ’ ἔτι γνῶμεν Τρώων νόον, ὅν τιν’ ἔχουσι,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἠὲ μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ’ ἐόντος.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός! 385 = Λ 407
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος, 386b cf. λ 54a, 72a
Πάτροκλος! τοῦ δ’ οὐκ ἐπιλήσομαι, ὄφρα κ’ ἐγώ γε
ζωιοῖσιν μετέω καί μοι φίλα γούνατ’ ὀρώρῃ. 388b = I 610
εἰ δὲ θανόντων περ καταλήθοντ’ ἐν Ἀϝίδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ’ ἑταίρου.
νῦν δ’ ἄγ’ ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν, 391 cf. Λ 473
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ’ ἄγωμεν.
ἠρόμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ϝάστυ θεῷ ὣς ηὐχετάοντο.“ 394b cf. ϑ 467 ο 181
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀϝεικέα ’μήδετο ϝέργα. 395 = Ψ 24; 395b cf. λ 429

---

371. Ἕκτορος] -ρα Hermann (cf. E 787). — ἀνουτητί] *-ταστί? Cf. § 150[9].

374. ἐνέπρησεν] -θεν A[2].

375. οὐτάσσασκε § 150[9]] οὐτήσασκε.

378. ὦ φίλοι—μέδοντες] Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν Zen. (= Ψ 236; cf. Ψ 272, 658), ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος C.

380. ἔρρεξεν A] ἔρδεσκεν (neglecto ϝ) Ω.

381. εἶ δ’] cf. Λ 802.

386. ἄκλαυτος A D] -στος Ω; eadem varietas δ 494 λ 54, 72. Cf. β 175.

388. ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω C (cf. Ψ 47 κ 52 ξ 487).

393 sq. Ar. —

393. ἠρόμεθα § 284] ἤ(ι)ράμεθα.

ἀμφοτέρων μετόπισθε ποδῶν 'τέτρηνε τένοντε
εἰσ σφυρὸν ἐκ πτέρνησ, βοέουσ δ' ἐξῆπτεν ἱμάντασ,
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασε·
εἰσ δίφρον δ' ἀναβάσ, ἀνά τε κλυτὰ τεύχε' ἀείρασ, 399ᵃ = Π 657
'μάστιξέν ῥ' ἐλάειν, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην. 400 cf. Ε 366
τοῦ δ' ἔεν ἑλκομένοιο κονίσαλοσ, ἀμφὶ δὲ χαῖται
κυάνεαι 'πίτναντο, κάρη δ' ἅπαν ἐν κονίηισι
'κεῖτο πάροσ χαρίεν, τότε δὲ Ζεὺσ δυσμενέεσσι
'δῶκεν ἀϝεικίσσασθαι ἑϝῆι ἐν πατρίδι γαίηι.

ὣσ τοῦ μὲν 'κεκόνιτο κάρη ἅπαν. ἣ δέ νυ μήτηρ
'τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσ', ἐκώκυσεν δὲ μάλα μέγα παῖδα ϝιδοῦσα.
ὤιμωξεν δ' ἐλεεινὰ πατὴρ φίλοσ, ἀμφὶ δὲ λαοὶ
κωκυτῶι τ' εἴχοντο καὶ οἰμωγῆι κατὰ ϝάστυ.
τῶι δὲ μάλιστ' ἄρ' ἔεν ἐναλίγκιον, ὡσ εἰ ἅπασα
Ϝίλιοσ ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρησ.
λαοὶ μέν ῥα γέροντα μόγισ ἔχον ἀσχαλόοντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντασ δ' ἐλλιτάνευε κυλινδόμενοσ κατὰ κόπρον, 414ᵇ = Ω 640
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ϝέκαστον· 415ᵇ = Κ 68
„σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε κηδόμενοί περ 416 cf. β 70
ἐξελθόντα πόληοσ ἱκέσθ' ἐπὶ νῆασ Ἀχαιῶν,
λίσσομαι ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοϝεργόν,
αἴ κέ ποθ' ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσηι
γῆρασ. καὶ δέ νυ τῶι γε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύσ, ὅσ μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε.
τόσσουσ γάρ μοι παῖδασ ἀπέκτανε τηλεθάοντασ·

---

402. (')*πίτναντο* Ar. T L] *πίλναντο* (cf. *Τ* 93 *Ψ* 368) vel *πίμπλαντο* Ω, *χαίτασ* | *κυανέασ* (Nauck *-τη -νέη*) *πεπάλακτο* Valckenaer.

403. *δυσμενέεσσι*] *τερπικέραυνοσ* l. a. in A.

407. *παῖδα ϝιδοῦσα* Bentley] *παῖδ' ἐσιδοῦσα* (cf. v. l. *ϑ* 526).

410. *εἰ*] ? olim legebant quidam *αὐτή* interpretati (cf. Apoll. Pron. 70 *b* Soph. fr. 418 et § 92), quos iure vituperat Herodianus (coll. *κ* 420). Etiam *Ζ* 367 *λ* 317 corripitur *εἰ*.

412. *μόγισ* A] *μόλισ* Ω; cf. *Ι* 355 *Φ* 417.

416. *κηδόμενοι*] sic Ar., *-νον* A C D; cf. *Σ* 273 et v. l. *π* 147 *σ* 178.

418. *λίσσομαι* T] *λίσσωμ'* Ω; *aoristi* subiunctivus praeferendus videtur (cf. vs. 130, 450 et § 108).

419. **αἴ κέ ποθ'*] *ἤν πωσ*. Cf. § 326.

420. *τῶι γε* A D] *τῶιδε* Ω (cf. *Τ* 38).

τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, 424 sq.ª = δ 104 424 cf. ξ 142 sq.
ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϝιδος εἴσω,
῞Εκτορος. ὡς ὄφελεν θανέμεν ἐν χερσὶν ἐμῆισι!
τῶι κ' ἐκορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός." 428 cf. 485 Ω 727
ὡς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο πολῖται. 429 cf. Τ 301, 338
Τρωιῆισιν δ' Ἑκάβη ἁδινοῖ' ἐξῆρχε γόοιο· 430 cf. Σ 316 Ω 747
„τέκνον! ἐγὼ δϝειλή! τί νυ βίομαι, αἰνὰ παθοῦσα,
σεῖ' ἄπο τεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ 432ᵇ = Ε 490
εὐχωλὴ κατὰ ϝάστυ 'πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωῆισι κατὰ πτόλιν, οἵ σε θεὸν ὡς
'δειδϝέχατ'· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἔεσθα
ζωιὸς ἐών! νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει." 436 = Ρ 478
ὡς ἔφατο κλαίουσ'. ἄλοχος δ' οὔ πώ τι 'πέπυστο 437ª = Τ 301
῞Εκτορος. οὐ γάρ ϝοί τις ἐτήτυμος ἄγγελος ἐλθὼν 438ᵇ cf. h. Cer. 46
ἤγγειλ' ὅττι ῥά ϝοι πόσις ἔκτοθι 'μίμνε πυλάων,
ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῶι δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε. 441 cf. Γ 126
'κέκλετο δ' ἀμφιπόλοισιν ἐυπλοκάμοισ' ἀνὰ δῶμα
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο 443 cf. Σ 344
῞Εκτορι θερμὰ λοετρὰ μάχης ἒκ νοστήσαντι, — 444ᵇ = Ρ 207
νηπίη· οὐδ' ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν 445ª cf. Υ 264
χερσὶν Ἀχιλλῆος 'δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
τῆς δ' ἐϝελίχθη γυῖα, χαμαὶ δέ ϝοι ἔκπεσε κερκίς.
ἡ δ' αὖτις δμωιῆισιν ἐυπλοκάμοισι μετηύδα·
„δεῦτε, δύω μοι ἕπεσθε, ϝίδω τίνα ϝέργα τέτυκται.
αἰδοίης ϝεκυρῆς ϝοπὸς ἔκλυον, ἐν δ' ἐμοὶ αὐτῆι
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα 452ᵇ cf. Η 212

---

429. πολῖται] γυναῖκες D, γέροντες l. a. in T.

430. Ἑκάβη] neglecto ϝ, **τοῖσιν δ' αὖ Ϝεκάβη? vHerwerden Τρωιάσι δ' αὖ Ϝεκάβη (cf. Ζ 442 Ω 704 al.).

431. βίομαι § 194] βείομαι Ar. Ω. — παθοῦσα] τεκοῦσα Ar. (cf. Α 414 Σ 54).

432. *ἄπο τεθνηῶτος] ἀποτεθν. Ω. Cf. Β 292 Δ 242 α 49 al.; recentioris aetatis est ἀποθανεῖν (λ 424 μ 393 φ 33).

435. καί D] κε Ω (cf. Ε 394).

441. πορφυρέην] μαρμαρέην G H; cf. Γ 126. — θρόνα] θρόα C L (vox †).

442. ἀνὰ Nauck] κατά. Cf. § 60 et Ο 101 Ω 166 α 365 al.

448. ἐϝελίχθη § 41[24]] ἐλελίχθη.

450. ἕπεσθε Bentley] ἕπεσθον. — ϝίδω τίνα Hoffmann] ἴδωμ' ὅτιν' Ω (ὅτι L, ἅτιν' Gen.).

πήγνυται· ἐγγὺσ δή τι κακὸν Πριάμοιο τέκεσσι.
αἲ γὰρ ἀπ' οὔατοσ εἴη ἐμοὶ ϝέποσ! ἀλλὰ μάλ' αἰνῶσ 454 cf. Σ 272 [sq. 454[b] sq.[a] = K 38
δέδϝια μὴ δή μοι θρασὺν Ἕκτορα δῖοσ Ἀχιλλεὺσ
μοῦνον ἀποτμήξασ πόλιοσ πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσηι ἀγηνορίησ ἀλεγεινῆσ,
ἥ μιν ἔχεσκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ 'μένεν ἀνδρῶν, 458[b] = ι 514[a]
ἀλλὰ πολὺ προθέεσκεν, ἑϝὸν μένοσ οὔ τινι ϝείκων.“ 459 = ι 515
ὣσ φαμένη μεγάροιο διέσσυτο μαινάδι ϝίση,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι 'κίον αὐτῆι. 461[b] cf. Z 399
αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
ἔστη παπτήνασ' ἐπὶ τείχεϊ, τὸν δ' ἐνόησε
ἑλκόμενον πρόσθεν πόλιοσ· ταχέεσ δέ μιν ἵπποι
εἷλκον ἀκηδέστωσ κοίλασ ἐπὶ νῆασ Ἀχαιῶν. 465[a] cf. Ω 417
τὴν δὲ κατ' ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε, 466 cf. E 659
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε,
τῆλε δ' ἀπὸ κρατὸσ 'βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην
κρήδεμνόν θ', ὅ ῥά ϝοι 'δῶκε χρυσέη Ἀφροδίτη
ἤματι τῶι, ὅτε μιν κορυθαιόλοσ ἠγάγεθ' Ἕκτωρ
ἐκ δόμου 'Ηετίωνοσ, ἐπεὶ 'πόρε μυρία ϝέδνα. 472[b] = Π 190
ἀμφὶ δέ μιν γάλοοί τε καὶ ἐνατέρεσ ϝάλισ ἔσταν, 473 cf. Z 378
αἵ ϝε μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο καὶ εἰσ φρένα θυμὸσ ἀγέρθη, 475 cf. ε 458 ω 349
ἀμβλήδην γοάουσα μετὰ. Τρωΐηισιν ἔϝειπε·
„Ἕκτορ! ἐγὼ δύστηνοσ! ἰῆι ἄρα 'γιγνόμεθ' αἴσηι
ἀμφότεροι, σὺ μὲν ἐν Τροίηι Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβηισιν ὑπὸ Πλάκωι ὑληέσσηι 479 cf. Z 396
ἐν δόμωι 'Ηετίωνοσ, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν, 480[b] cf. Θ 283
δύσμοροσ αἰνόμορον. ὣσ μή μ' ὤφειλε τεκέσθαι!
νῦν δὲ σὺ μέν ῥ' Ἀϝίδαο δόμουσ ὑπὸ κεύθεσι γαίησ 482 cf. ω 204
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῶι ἐνὶ πένθεϊ λείπεισ 483[b]-485 cf. Ω 725 sqq.

---

454. *ἐμοὶ* Menrad] *ἐμεῦ*. Cf. Σ 272 et § 92.
455. *δέδϝια* § 168] *δείδω*.
459. *ἑϝὸν*] cf. Θ 480.
— *οὔ τινι* § 100] *οὐδένι*.
466. **ὀφθαλμὼ*] *-μῶν*. Cf. E 659.
473. *ἔσταν*] *ἦσαν* l. a. in A.
475. *ἄμπνυτο*] *ἔμπνυτο* Ar. (cf. E 697).
476. *Τρωΐηισιν*] *δμωῇισιν* D L.
478. *κατὰ δῶμα*] sic Ar., *ἐνὶ οἴκωι* l. a. ant.
481. **μ'*] supplevimus.
— *ὤφειλε* Par.] *ὤφε(λ)λε* Ω. Cf. § 273.
482. *ῥ'*] om. D L (cf. § 19).

χήρην ἐν μεγάροισι. πάϊσ δ' ἔτι νήπιοσ αὔτωσ,
ὃν 'τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτωι — 485 cf. 428
ἔσσεαι, ῞Εκτορ, ὄνειαρ, ἐπεὶ 'θάνεσ, οὔτε σοὶ οὗτοσ.
εἴ περ γὰρ πόλεμόν γε φύγηι πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτωι γε πόνοσ καὶ κήδε' ὀπίσσω — 488ᵇ cf. Δ 270 Φ 525
ἔσσοντ'· ἄλλοι γάρ ϝοι ἀποϝρήσουσιν ἀρούρασ.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
πάντα δ' ὑπεμνήμυκε, δεδακρύαται δὲ παρειαί. — 491ᵇ = υ 353
δευόμενοσ δέ τ' ἄνεισι πάϊσ εἰσ πατρὸσ ἑταίρουσ,
ἄλλον μὲν χλαίνησ ϝερύων, ἄλλον δὲ χιτῶνοσ·
τῶν δ' ἐλεησάντων κοτύλην τισ τυτθὸν ἐπέσχε,
χείλεα μέν τ' ἐδίην', ὑπερώιην δ' οὐκ ἐδίηνε.
τὸν δὲ καὶ ἀμφιθαλὴσ ἐκ δαιτύοσ ἐστυφέλιξε,
χερσὶν πεπληγὼσ καὶ ὀνειδείοισιν ἐνίσσων·
‚ϝέρρ' οὕτωσ· οὐ σόσ γε πατὴρ μετὰ δαίνυται ἧμιν.'
δακρυόεισ δέ τ' ἄνεισι πάϊσ εἰσ μητέρα χήρην,
Fαστυϝάναξ, ὃσ πρὶν μὲν ἑϝοῖ' ἐπὶ γούνασι πατρὸσ
μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν,
αὐτὰρ ὅθ' ὕπνοσ ἕλοι, παύσαιτό τε νηπιαχεύων,
ηὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνησ,
εὐνῆι ἔνι μαλακῆι, θαλέων ἐμπλησάμενοσ κῆρ·
νῦν δέ κε πολλὰ πάθηισι, φίλοι' ἀπὸ πατρὸσ ἁμαρτών,
Fαστυϝάναξ, ὃν Τρῶεσ ἐπίκλησιν καλέουσι, — 506 sq. cf. Z 402 [sq.
οἶοσ γάρ σφιν ἔρυσο πύλασ καὶ τείχεα μακρά. — 506ᵇ = Σ 487
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνεσ κορέσωνται,

487—499. Ar. —, etiam vs. 500—505 damnat Lehrs (505 sq. damnaverat DHeinsius, vs. 506 Bentley), vs. 487—507 Niese.

487. εἴ § 326] ἤν.

— περ γὰρ] γὰρ δὴ A.

488. αἰεί τοι] ἀλλ' ἤτοι l. a. in A.

489. ἀποϝρήσουσιν § 150⁵] ἀπουρήσουσιν vel ἀπουρίσσουσιν (sic Ar.) Ω; quod a verbo οὐρίζειν repetebant veteres (cf. Apoll. Rh. II 794 sq.).

491. ὑπεμνήμυκε] sic Ar., ὑπομνήμυκε Harl., ὑπ' ὄμμ' ἤμυκε vLennep (coll. Coluth. 331 ὑπημύουσι παρειαί).

— δεδακρύαται § 119] -υνται Ω, item υ 204, 353.

— παρειαί] -ά Ar. C; neutrum id habebat Ar. coll. πλευρᾶ—πλευραί et πυρᾶ—πυραί (cf. Γ 35).

497. ἐνίσσων] -σπων D², -πτων l. a. in T. Cf. § 243 et 246.

498. οὕτωσ] οὗτοσ C D (qui Atticus pronominis usus apud H. non invenitur alibi). Cf. ζ 218 ρ 447.

501. ἔδεσκε καὶ οἰῶν] ἔδεσκ' ὀίων καὶ Roehl (cf. § 74).

507. πύλασ] πόλιν Plat. Cratyl. 392 e.

γυμνόν· ἀτάρ τοι ϝείματ' ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν. 511ᵃ = κ 223 cf. ε 231
ἀλλ' ἤ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδὲν σοί γ' ὄφελοσ, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτόσ,
ἀλλὰ πρὸσ Τρώων καὶ Τρωϊάδων κλέοσ εἶναι." 514 cf. Ω 215
ὣσ ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ. 515 = Τ 301

τάφοσ Πατρόκλου.

Ψ ὣσ οἳ μὲν 'στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοί,
ἐπεὶ δὴ νῆάσ τε καὶ Ἑλλήσποντον ἵκοντο, 2 cf. Ο 233
οἳ μὲν ἄρ' ἐσκίδναντο ἑϝὴν ἐπὶ νῆα ϝέκαστοσ, 3 = Τ 277 cf. β 258
Μυρμιδόνασ δ' οὐκ εἶα' ἀποσκίδνασθαι Ἀχιλλεύσ,
ἀλλ' ὅ γε ϝοῖσ' ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
„Μυρμιδόνεσ ταχύπωλοι, ἐμοὶ ἐρίϝηρεσ ἑταῖροι, 6ᵇ = ι 172, 555 μ 199, 397 ξ 249
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχασ ἵππουσ;
ἀλλ' αὐτοῖσ' ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντεσ [323 Π 457
Πάτροκλον κλαίωμεν, ὃ γὰρ γέρασ ἐστὶ θανόντων. 9ᵇ = ω 190 cf. Δ
αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο, 10 cf. 98
ἵππουσ λυσάμενοι δορπήσομεν ἐνθάδε πάντεσ." 10ᵇ = λ 212
ὣσ ἔφαθ', οἳ δ' ᾤμωξαν ἀϝολλέεσ, ἦρχε δ' Ἀχιλλεύσ.
οἳ δὲ τρὶσ περὶ νεκρὸν ἐΰτριχασ ἤλασαν ἵππουσ
μυρόμενοι· μετὰ δέ σφι Θέτισ γόου ἵμερον ὦρσε. 14ᵃ = Σ 284
'δεύοντο ψάμαθοι, 'δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ 'πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλεΐδησ ἁδινοῖ' ἐξῆρχε γόοιο, 17 sq. = Σ 316 sq.
χεῖρασ ἐπ' ἀνδροφόνουσ θέμενοσ στήθεσφιν ἑταίρου·
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἀϝίδαο δόμοισι· 19 = 179 19ᵇ = Χ 52
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην." 20 cf. 180

21 Ἕκτορα δεῦρ' ἐρύσασ δώσειν κυσὶν ὠμὰ δάσασθαι, 21 cf. σ 87 χ 476
δώδεκα δὲ προπάροιθε πυρῆσ ἀποδειροτομήσειν 22 cf. Σ 336
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείσ. 23 = Σ 337

513. οὐδὲν] *οὐ μὲν? an *οὔ τι τεῒν γ'? Cf. § 100 et 92.
— αὐτόσ Hoogvliet] αὐτοῖσ. Cf. Ψ 277 Ω 499, § 60 et 98.
9. ὃ γὰρ] cf. § 101 et Κ 127.
18. ἀνδροφόνουσ] cf. Σ 317.
— στήθεσφιν] -σσιν Ω. Cf. Β 388.
21–23. Del. Knight. In versu 21 neglectum est ϝ stirpis ϝερυσ-, et neutrum ὠμά (quod σ 87 χ 476 optime habet) satis aptum non praebet sensum; vs. 22 et 23 ex Σ sunt repetiti.

ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀϝεικέα ’μήδετο ϝέργα, 24 = X 395
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσασ
ἐν κονίηισ’. οἳ δ’ ἐντὲ ἀφωπλίζοντο ϝέκαστοσ
χάλκεα μαρμαίροντα, ’λύον δ’ ὑψαύχενασ ἵππουσ, 27ª = Π 664
κὰδ δ’ ἷζον παρὰ νηΐ ποδώκεοσ Αἰακίδαο
μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοϝεικέ’ ἐδαίνυ.
πολλοὶ μὲν βόεσ ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρωι
σφαζόμενοι, πολλοὶ δ’ ὄιεσ καὶ μηκάδεσ αἶγεσ,
πολλοὶ δ’ ἀργιόδοντεσ ὕεσ θαλέθοντεσ ἀλοιφῆι 32ᵇ sq. = I 467 sq.
εὑόμενοι ’τανύοντο διὰ φλογὸσ Ἡφαίστοιο·
πάντηι δ’ ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
αὐτὰρ τόν γε ϝάνακτα ποδώκεα Πηλεΐωνα
εἰσ Ἀγαμέμνονα δῖον ἄγον βασιλῆεσ Ἀχαιῶν, 36ª = H 312
σπουδῆι παρπεπιθόντεσ, ἑταίρου χωόμενον κῆρ. 37ª = ω 119
οἳ δ’ ὅτε δὴ κλισίην Ἀγαμέμνονοσ ἷξον ἰόντεσ,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισ’ ἐκέλευσαν 39 cf. B 50
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν 40 sq. cf. Σ 344 sq.
Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ’ ἠρνέετο στερεῶσ, ἐπὶ δ’ ὅρκον ὄμοσσε·
„οὐ μὰ Ζῆν’, ὅσ τίσ τε θεῶν ὕπατοσ καὶ ἄριστοσ, 43ᵇ = T 258
οὐ θέμισ ἐστὶ λοετρὰ καρήατοσ ἆσσον ἱκέσθαι,
πρίν γ’ ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ’ ἔτι δεύτερον ὧδε 46ª = δ 198
ἵξετ’ ἄχοσ κραδίην, ὄφρα ζωιοῖσι μετείω.
ἀλλ’ ἦ τοι νῦν μὲν στυγερῆι πειθώμεθα δαιτί,
ἠῶθεν δ’ ὄτρυνε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ’ ἀξέμεναι παρά τε σχέμεν’ ὅσσ’ ἐπιϝεικὲσ
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα, 51ᵇ = λ 57, 155 cf. Φ 56
ὄφρ’ ἦ τοι τοῦτον μὲν ἐπιφλέγηι ἀκάματον πῦρ
θᾶσσον ἀπ’ ὀφθαλμῶν, λαοὶ δ’ ἐπὶ ϝέργα τράπωνται.“

26. ϝέκαστοσ] ἕκαστοι B T.
27. ὑψαύχενασ vHerwerden] ὑψηχέασ (λύοντο δὲ μώνυχασ T G).
30 sq. Olim fuerunt qui damnarent (cf. Δ 128).
39. ἐκέλευσαν] sic (κελ.) Ar., κέλευσεν D.
42. ὅ γ’] ὁ pap. 128 D, ὅσ (§ 15)?
43. τίσ τε] τ’ ἐστὶ Grashof (coll. h. Ven 37).
46. μ’ ἔτι] τί με l. a. in A.
48. ἦ τοι] ἄγε δὴ D.
— πειθώμεθα] sic Ar., τερπώμεθα pap. 128².
— δαιτί] νυκτί Heyne (cf. Θ 502 H 282), γαστρί Peppmueller (cf. η 216 ο 344 σ 53).
49. ὄτρυνε Bentley] ὄτρυνον. Cf. Δ 268 Π 501 P 559 ο 14.
50. ὅσσ’ C] ὡσ Ω.

ὣσ ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 54 = Η 379
ἐσσυμένωσ δ' ἄρα δόρπον ἐφωπλίσσαντο ϝέκαστοσ.

αὐτὰρ ἐπεὶ πόσιοσ καὶ ἐδητύοσ ἐξ ἔρον εἷντο, 57 = Α 469
οἳ μὲν κακκείοντεσ ἔβαν κλισίηνδε ϝέκαστοσ, 58 cf. Α 606
Πηλεΐδησ δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσησ
'κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσι,
ἐν καθαρῶι, ὅθι κύματ' ἐπ' ἠϊόνοσ 'κλύζεσκον. 61^a cf. Θ 491
εὖτε τὸν ὕπνοσ ἔμαρπτε, λύων μελεδήματα θυμοῦ, 62 = υ 56, 62^b = ψ 343
ϝήδυμοσ ἀμφιχυθείσ, — μάλα γὰρ 'κάμε φαίδιμα γυῖα 63^a = Ξ 253
Ἕκτορ' ἐπαΐσσων προτὶ Ϝίλιον ἠνεμόεσσαν, —
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλέεοσ δϝειλοῖο. 65^a = λ 84, 90, 387, 467 cf. ω 20
πάντ' αὐτῶι μέγεθόσ τε καὶ ὄμματα κάλ' ἐϝέϝικτο
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ ϝείματ' ἔϝεστο· 67^b = ρ 203, 338 τ 218 ω 158
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆσ καί μιν πρὸσ μῦθον ἔϝειπε· 68 = Ω 682 δ 803 ζ 21 υ 32 ψ 4 cf. Β 59
„εὕδεισ, αὐτὰρ ἐμεῖο λελασμένοσ ἔπλε', Ἀχιλλεῦ· 68^a = Β 20
οὐ μέν μευ ζώοντοσ ἀκήδεεσ, ἀλλὰ θανόντοσ.
θάπτε με, ὅττι τάχιστα πύλασ Ἀϝίδαο περήσω. 71^b cf. Ε 646
τῆλέ με ϝέργουσι ψυχαί, ϝείδωλα καμόντων, 72 cf. ω 14, 72^b = λ 476
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖ' ἐάουσι,
ἀλλ' αὔτωσ ἀλάλημαι ἀν' εὐρυπυλὲσ Ἄϝιδοσ δῶ. 74^b cf. λ 571
καί μοι δὸσ τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτισ
νίσσομαι ἐξ Ἀϝίδαο, ἐπεί με πυρὸσ λελάχητε.

---

56 'δαίνυντ', οὐδέ τι θυμὸσ ἐδεύετο δαιτὸσ ἐϝίσησ. 56 = Α 468

---

55. ἐφωπλίσσαντο (ἐφοπλίσαντο) D Eust.] ἐφοπλίσσαντεσ Ω; mediam verbi formam requiri apparet coll. Θ 503 Ι 66, activum significat *aliis cenam apparare* (etiam τ 419 ω 360).

— (ϝ)έκαστοσ Barberinius I 161] ἕκαστοι Ω. Cf. Ψ 26 et Η 100.

56. Del. Bentley.

61. ἐπ'] ἀπ' pap. 128.

— ἠϊόνοσ] -νασ pap. 128.

— 'κλύζεσκον] -σκεν C, Ar. utrumque.

63. ϝήδυμοσ § 41[3]] νήδυμοσ Ar. Ω.

66. ἐϝέϝικτο Fick] εἰκυῖα (ut in versu spurio ε 337). Cf. § 160[6] et Ψ 107.

70. μευ ζώοντοσ] *ζώοντόσ γε? Cf. § 92.

71. Post με interpungendum esse (sic Clarke) docent numeri; cf. § 15 et Χ 129. Coniecturis locus esse non videtur (Barnes θάπτε με, ὄφρα τάχιστα, Heyne θαπτέμεν' ὅττι τάχιστα, Cobet θάπτε μ', ὅπωσ ὤκιστα coll. χ 77, 133 Theogn. 427, vHerwerden θάπτε μ', ἵν' ὅττι τάχιστα).

72. ϝέργουσι § 230] εἴργουσι.

74. εὐρυπυλὲσ] -λον (item λ 571)? Sed expectatur potius ἀνὰ ζόφον ἠερόεντα vel eiusmodi quid.

76. νίσσομαι] νείομαι pap. 128.

— ἐπεί Vrat.] ἐπήν Ω. Cf. § 326.

— με πυρὸσ] caesura suspecta (cf. § 3); *ἐπεὶ λελάχητε τάφοιο?

οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰσ ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ 'λάχε γιγνόμενόν περ,
καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,
τείχεϊ ὕπο Τρώων ἐυηφενέων ἀπολέσθαι. 81a = Ρ 404
ἄλλο δέ τοι ϝερέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι.
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡσ 'τράφομέν περ ἐν ὑμετέροισι δόμοισι,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιοσ ἐξ Ὀπόεντοσ
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίησ ὕπο λυγρῆσ,
ἤματι τῶι ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντοσ,
νήπιοσ, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείσ·
ἔνθα με δεξάμενοσ ἐν δώμασιν ἱππότα Πηλεὺσ
ἔτρεφέ τ' ἐνδυκέωσ καὶ σὸν θεράποντ' ὀνόμηνε·
ὡσ δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸσ ἀμφικαλύπτοι."
τὸν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ' εἰλήλουθασ 94 cf. ε 87
καί μοι ταῦτα ϝέκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡσ σὺ κελεύεισ.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλω ὀλοοῖο τεταρπώμεσθα γόοιο." 98 cf. 10
ὣσ ἄρα φωνήσασ ὠρέξατο χερσὶ φίλῃσι
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸσ ἠΰτε καπνὸσ
ὤιχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺσ 101b = Ι 193
χερσί τε συμπλατάγησε, ϝέποσ δ' ὀλοφυδνὸν ἔϝειπε· 102b = Ε 683

92 χρύσεοσ ἀμφιφορεύσ, τόν τοι 'πόρε πότνια μήτηρ. 92a cf. ω 74

77. μὲν γὰρ] sic Ar., γὰρ ἔτι Aesch. I § 149 et „τινὸσ τῶν κατὰ πόλεισ."

81. ἐυηφενέων Rhianus Aristoph.] ἐυηγενέων Ar. Ω. Cf. Δ 427.

— Apud Aeschinem l. l. additur versus: μαρνάμενον δηΐοισ' Ἑλένησ ἕνεκ' ἠυκόμοιο.

82. καὶ ἐφήσομαι, αἴ κε πίθηαι] σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇισι Aeschin. l. l. (ut Α 297 al.).

84. ἀλλ' ὁμοῦ, ὡσ 'τράφομέν περ] apud Aeschinem l. l. legitur: ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθηι | χρυσέωι ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ (cf. vs. 92), | ὡσ ὁμοῦ ἐτράφομέν περ, in Ω est: ἀλλ' ὁμοῦ ὡσ ἐτράφην περ vel ἀλλ' ὁμοῦ ὡσ ἐτράφημεν. Cf. § 252.

88. νήπιοσ] -ον D.

— ἀστραγάλοισι χολωθείσ] -ληισιν ἐρίσσασ pleraeque „τῶν κατ' ἄνδρα."

90. ἔτρεφε] ἔτραφε A D T.

92. Ar. ——; coll. vs. 218 apparet versum ex ω huc esse invectum.

94. ἠθείη] ὦ θείη Chamaeleo.

96. σύ] με L.

97. ἀμφιβαλόντε] -ντεσ C L T, ἀμφιχυθέντεσ Harl.[2] (cf. π 214).

98. ἀλλήλω] -λουσ Ω.

— ὀλοοῖο] κρυεροῖο l. a. in A.

„ὢ πόποι, ἦ ῥά τί ἐστι καὶ ἐν Ἀϝίδαο δόμοισι
ψυχὴ καὶ ϝείδωλον, — ἀτὰρ φρένεσ οὐκ ἔνι πάμπαν, —
παννυχίη γάρ μοι Πατροκλέεοσ δϝειλοῖο
ψυχὴ ἐφειστήκει γοάουσά τε μυρομένη τε, 106ᵇ = Z 373
καί μ' ἐπέτελλε ϝέκαστα, 'ϝέϝικτο δὲ θέσκελον αὐτῶι."
ὣσ 'φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο· 108 = δ 183 cf. Ψ 153 Ω 507 π 215 τ 249 ψ 231
μυρομένοισι δὲ τοῖσι 'φάνη ῥοδοδάκτυλοσ Ἠώσ
ἀμφὶ νέκυν ἐλεεινόν. 109 cf. ψ 241

ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάσ τ' ὤτρυνε καὶ ἀνέρασ ἀξέμεν' ὕλην
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸσ ὀρώρει 112ᵇ cf. γ 471 ξ 104
Μηριόνησ, θεράπων ἀγαπήνοροσ Ἰδομενῆοσ. 113 = 124
οἳ δ' ἴσαν ὑλοτόμουσ πελέκυσ ἐν χερσὶν ἔχοντεσ
σειράσ τ' εὐπλέκτουσ, πρὸ δ' ἄρ' οὐρῆεσ 'κίον αὐτῶν·
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺσ προσέβαν πολυπίδακοσ Ἴδησ,
αὐτίκ' ἄρα δρῦσ ὑψικόμουσ ταναήκεϊ χαλκῶι
'τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
'πῖπτον. τὰσ μὲν ἔπειτα διαπλήσσοντεσ Ἀχαιοὶ
ἔκδιδεν ἡμιόνων· ταὶ δὲ χθόνα πόσσ' ἐδατεῦντο
ϝελλόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά. 122ᵇ cf. N 199
πάντεσ δ' ὑλοτόμοι φιτροὺσ 'φέρον· ὣσ γὰρ ἄνωγε
Μηριόνησ, θεράπων ἀγαπήνοροσ Ἰδομενῆοσ. 124 = 113
κὰδ δ' ἄρ' ἐπ' ἀκτῆσ 'βάλλον ἐπισχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺσ
'φράσσατο Πατρόκλωι μέγα ϝηρίον ἠδὲ ϝοὶ αὐτῶι.

---

103. τι L] τισ Ω. De hiatu cf. § 99.

104. Aristoph. —, ex κ 495 desumtum ratus. Legit Plato Rep. 386 d.

— φρένεσ] *σθένοσ?

— πάμπαν] πᾶσαι quidam olim.

105. παννυχίη] ἐννυχίη Nauck.

107. μ' ἐπέτελλε ϝέκαστα Hoffmann] μοι ἕκαστ' ἐπέτελλεν.

109. 'φάνη ῥ. 'Ηώσ] μέλασ ἐπὶ ἕσπεροσ ἦλθε (= α 423) Plut. Mor. 114 e.

111. τ'] multi olim libri omittebant.

112. κλισιῶν] *κνημῶν? Cf. § 56. Commemorantur κνημοί vs. 117.

114. πελέκυσ § 75] -κεασ.

115. τ' εὐπλέκτουσ] τε πλεκτὰσ Hermann (coll. χ 175, 192).

117. κνημοὺσ] κρημνοὺσ l. a. apud Eust.; cf. Φ 449.

— πολυπίδακοσ] sic Ar., -δάκου D T; cf. Ξ 157.

120. διαπλήσσοντεσ] sic Ar., διαπλίσσοντεσ Syr. (cf. ζ 318).

121. ἔκδιδεν § 198] ἔκδεον.

122. *ϝελλόμεναι] ἐλδόμεναι Ω (ἑλκόμεναι D), ἐρχόμεναι Nauck. Cf. Θ 215.

123. ἄνωγε § 225] ἀνώγει.

αὐτὰρ ἐπεὶ πάντηι παρακάββαλον ἄσπετον ὕλην,
ἥατ' ἄρ' αὖθι μένοντεσ ἀϝολλέεσ. αὐτὰρ Ἀχιλλεὺσ
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισ' ἐκέλευσε
χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφι ϝέκαστον
ἵππουσ· οἳ δ' ὤρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον, 131 cf. ω 496
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε.
πρόσθε μὲν ἱππῆεσ, μετὰ δὲ νέφοσ εἵπετο πεζῶν, 133ᵇ cf. Δ 274
μυρίοι· ἐν δὲ μέσοισι 'φέρον Πάτροκλον ἑταῖροι.
θριξὶ δὲ πάντα νέκυν κατεϝείλυον, ἃσ ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖοσ Ἀχιλλεὺσ
ἀχνύμενοσ, ἕταρον γὰρ ἀμύμονα 'πέμπ' Ἄϝιδόσδε.
οἳ δ' ὅτε χῶρον ἵκοντο ὅθι σφίσι 'πέφραδ' Ἀχιλλεύσ, 138 cf. Σ 520
κάτθεσαν, αἶψα δέ ϝοι μενοϝεικέα 'νήεον ὕλην.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκησ δῖοσ Ἀχιλλεύσ· 140sq.ᵃ = 193 sq. 140ᵃ = β 382, 393 etc. cf. δ 219
στὰσ ἀπάνευθε πυρῆσ ξανθὴν ἀπεκείρατο χαίτην,
τήν ῥα Σπερχειῶι ποταμῶι 'τρέφε τηλεθάουσαν.
ὀχθήσασ δ' ἄρ' ἔϝειπε ϝιδὼν ἐπὶ ϝοίνοπα πόντον· 143ᵃ = Δ 403
„Σπερχεί', ἄλλωσ σοί γε πατὴρ ἠρήσατο Πηλεύσ,
κεῖσέ με νοστήσαντα φίλην εἰσ πατρίδα γαῖαν 145ᵃ = δ 619 ο 119
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
εἰσ πηγάσ, ὅθι τοι τέμενοσ βωμόσ τε θυείεισ. 148ᵇ = Θ 48
ὣσ ἠρᾶθ' ὁ γέρων, σὺ δέ ϝοι νόον οὐκ ἐτέλεσσασ.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην εἰσ πατρίδα γαῖαν, 150 = Σ 101
Πατρόκλωι ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι."
ὣσ ϝειπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
'θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. 153 cf. 108
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάοσ ἠελίοιο, 154 = π 220 φ 226 cf. ψ 241
εἰ μὴ Ἀχιλλεὺσ αἶψ' Ἀγαμέμνονι 'ϝεῖπε παραστάσ·
„Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸσ Ἀχαιῶν

---

130. χαλκὸν] -κῶι Vrat. (cf. Ε 857). — δ'] θ' Syr. A C T.

135. κατεϝείλυον (καταείλ.) l. a. ant.] κατοείλυον Ω, καταείνυσαν Ar.; cf. Φ 319 (et ξ 522).

136. ἔχε] σχέθε T.

137. Ἄϝιδόσδε] sic (Ἀϊδ.) Ar., Ἄϊδοσ δῶ (ut vs. 74) Syr. H.

138. ἵκοντο A] ἵκανον Ω (ut Σ 520). Cf γ 388 (τ 458 ω 13).

147. αὐτόθι] αὐτόφι T L (cf. Μ 302), αὐτίκα D.

155. Ἀγαμέμνονι] Ar. mente supplebat πρόσ, legens igitur -να (cf. Μ 60 al.).

156. γάρ] μέν C D.

πείσονται μύθοισι· γόοιο μὲν ἔστι καὶ ἆσαι,
νῦν δ' ἀπὸ πυρκαΐῆσ σκέδασον καὶ δεῖπνον ἄνωχθι 158ᵇ sq.ᵃ = Τ 171 sq.
ὁπλεῖσθαι, τάδε δ' ἀμφὶ πονησόμεθ' οἷσι μάλιστα
κήδεόσ ἐστι νέκυσ· παρὰ δ' οἵ τ' ἀγοὶ ἦμι μενόντων."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν 'σκέδασεν κατὰ νῆασ ἐϝίσασ,
κηδεμόνεσ δὲ παρ' αὖθι 'μένον καὶ ἐνήεον ὕλην,
'ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα, 164ᵇ cf. κ 517
ἐν δὲ πυρῆι ὑπάτηι νεκρὸν 'θέσαν ἀχνύμενοι κῆρ. 165ᵃ = Ω 787
πολλὰ δὲ ϝίφια μῆλα καὶ ειλίποδασ ϝέλικασ βοῦσ 166 = Ι 466
πρόσθε πυρῆσ ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμοσ Ἀχιλλεὺσ
εἰσ πόδασ ἐκ κεφαλῆσ, περὶ δὲ δρατὰ σώματ' ἐνήει. 169ᵃ = Σ 353
ἐν δ' ἐτίθει μέλιτοσ καὶ ἀλείφατοσ ἀμφιφορῆασ,
πρὸσ λέχεα κλίνων· πίσυρασ δ' ἐριαύχενασ ἵππουσ
ἐσσυμένωσ ἐνέβαλλε πυρῆι μεγάλα στοναχίζων.
ἐννέα τῶι γε ϝάνακτι τραπεζῆεσ κύνεσ ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῆι δύο δειροτομήσασ,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέασ ἐσθλοὺσ 175 = 181
χαλκῶι δηΐόων, — κακὰ δὲ φρεσὶ 'μήδετο ϝέργα, — 176ᵇ = Φ 19
ἐν δὲ πυρὸσ μένοσ ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον· 178 = Κ 522
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἀϝίδαο δόμοισι· 179 = 19
πάντα γὰρ ἤδη τοι τετελεσμένα ὥσπερ ὑπέστην. 180 cf. 20
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέασ ἐσθλούσ, 181 = 175
τοὺσ ἅμα σοὶ πάντασ πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν', ἀλλὰ κύνεσσι."
ὣσ 'φάτ' ἀπειλήσασ· τὸν δ' οὐ κύνεσ ἀμφεπένοντο,

---

159. ὁπλεῖσθαι] cf. Τ 172.

160. οἵ τ' ἀγοὶ] οἱ ταγοὶ Ar. (cf. Aesch. Eum. 296 et schol. Ar. Eq. 159).

— In pap. Bodl. b 3 additur versus sic fere explendus: [ἠδ' οἰκηδ]εμόνεσ, σκέδ[ασον δ' ἄλλουσ κατὰ νῆασ].

162. In pap. Bodl. b 3 subiungitur: [κάπνισσ]άν τε κατὰ κλισίασ κ[αὶ δεῖπνον ἕλοντο] = Β 399.

163. παρ'] κατ' pap. Bodl. b 3.

164. ἑκατόμπεδον] -ποδον L.

165. In pap. Bodl. b 3 subiungitur versus sic fere explendus: „[λεπτὰ δὲ εἵμ]ατα χερσὶν ἀμησά[μενοι ὑπέχευαν]. Cf. Χ 511.

169. δρατὰ] δρετὰ l. a. in (Ar.) comment.

172, 174, 216. πυρῆι] πυρὶ C L Gen.

178. φίλον τ'] φίλον δ' C D (cf. Κ 522 Ω 591).

180. τετελεσμένα ὥσπερ Syr. T] τελέω τὰ πάροιθεν Ω.

ἀλλὰ κύνασ μὲν ἄλαλκε Διὸσ θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτασ, ῥοδόεντι δὲ 'χρῖεν ἐλαίωι
ἀμβροσίωι, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων. 187 cf. Ω 21
τῶι δ' ἐπὶ κυάνεον νέφοσ ἤγαγε Φοῖβοσ Ἀπόλλων
οὐρανόθεν πεδίονδε, 'κάλυψε δὲ χῶρον ἅπαντα,
ὅσσον ἐπεῖχε νέκυσ, μὴ πρὶν μένοσ ἠελίοιο
σκείλει' ἀμφὶ περὶ χρόα ϝίνεσιν ἠδὲ μέλεσσι.

οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτοσ.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκησ δῖοσ Ἀχιλλεύσ· 193 sq.ᵃ = 140 sq.
στὰσ ἀπάνευθε πυρῆσ δοιοῖσ' ἠρᾶτ' ἀνέμοισι,
Βορρῆι καὶ Ζεφύρωι, καὶ ὑπίσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέωι δέπα' ἐλλιτάνευε
ἐλθέμεν', ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί,
ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ϝῖρισ
ἀράων ἀΐουσα μετάγγελοσ ἦλθ' ἀνέμοισι.
οἳ μὲν ἄρα Ζεφύροιο δυσαέοσ ἀθρόοι ἔνδον
εἰλαπίνην 'δαίνυντο· θέουσα δὲ Ϝῖρισ ἐπέστη
βηλῶι ἔπι λιθέωι. τοὶ δ' ὡσ 'ϝίδον ὀφθαλμοῖσι,
πάντεσ ἀνήϊξαν 'κάλεόν τέ μιν εἰσ ϝὲ ϝέκαστοσ·
ἣ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, 'ϝεῖπε δὲ μῦθον· 204ᵇ sq.ᵃ = Δ 647 sq.
„οὐχ ἕδοσ· εἶμι γὰρ αὖτισ ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων εἰσ γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβασ
ἀθανάτοισ', ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν.
ἀλλ' Ἀχιλεὺσ Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθέμεν' ἀράεται, καὶ ὑπίσχεται ἱερὰ καλά,
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ἧι ἔνι κεῖται
Πάτροκλοσ, τὸν πάντεσ ἀναστενάχουσιν Ἀχαιοί."

---

191. σκείλει' Fick] σκήλει' (sic Syr. A D T) vel σκήλη(ι) Ω. Verbum †, sed alibi praesens est σκέλλω.

194—216. Cur *duos* potissimum ventos eosque sibi adversos invocat Achilles? Primitus de *cunctis* haec dicta esse suspicamur; Βορρῆι vs. 195 est novicium (cf. Ι 5).

195. ὑπίσχετο] ὑπέσχετο D (cf. Υ 84).

— In pap. Bodl. b 3 additus fuit versus, cuius ultimae litterae supersunt: νεκαταρην (?), Ludwich [πολλὰ μὲν εὐχόμενοσ μάλα τοὺσ ὤτρυ]νε κατ' ἀρήν, Menrad [ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴ]ν ἑκατ[όμβ]ην.

197. νεκροί A D] -όν Syr. C T.

198. ὕλη τε σεύαιτο] sic Ar., ὕλην τε σεύαιντο l. a. ant. (cf. § 119).

— ὦκα δὲ pap. Bodl. b 3] ὠκέα δ' Ω. Cf. Ν 671.

204. δὲ] τε Syr. T.

205. ῥέεθρα] ῥεέθρων Apoll. lex., ῥοάων C (cf. Γ 5).

206. γαῖαν] δῆμον „αἱ ἀπὸ τῶν πόλεων."

ἣ μὲν ἄρ' ὣσ ϝειποῦσ' ἀπεβήσετο, τοὶ δ' ὤροντο
ϝηχῆι θεσπεσίηι, νέφεα κλονέοντε πάροιθε·
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα
πνοιῆι ὕπο λιγυρῆι. Τροίην δ' ἐρίβωλον ἱκέσθην, 215^a = *N* 590
ἐν δὲ πυρῆι 'πεσέτην· μέγ' ἐϝίϝαχε θεσπιδαὲσ πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆσ ἄμυδισ φλόγ' ἔβαλλον
φυσῶντεσ λιγέωσ· ὃ δὲ πάννυχοσ ὠκὺσ Ἀχιλλεὺσ
χρυσέου ἐκ κρητῆροσ, ἔχων δέπασ ἀμφικύπελλον,
ϝοῖνον ἀφυσσόμενοσ χαμάδισ 'χέε, 'δεῦε δὲ γαῖαν, 220^b cf. ι 290
ψυχὴν κικλήισκων Πατροκλέεοσ δϝειλοῖο.
ὣσ δὲ πατὴρ ϝοῦ παιδὸσ ὀδύρεται ὀστέα καίων,
νυμφίου, ὅσ τε θανὼν δϝειλοὺσ ἀκάχησε τοκῆασ,
ὣσ Ἀχιλεὺσ ἑτάροιο ὀδύρετο ὀστέα καίων,
ἑρπύζων παρὰ πυρκαϊήν, ἀδινὰ στεναχίζων. 225^b = ω 317
ἦμοσ δ' ἀστὴρ εἶσι φάοσ ϝερέων ἐπὶ γαῖαν,
ὅν τε μετὰ κροκόπεπλοσ ὑπεὶρ ἅλα κίδναται Ἠώσ, 227 cf. *Θ* 1
τῆμοσ πυρκαϊὴ ἐμαραίνετο, 'παύσατο δὲ φλόξ.
οἳ δ' ἄνεμοι πάλιν αὖτισ ἔβαν ϝοῖκόνδε νέεσθαι 229^b = ξ 87
Θρηΐκιον κατὰ πόντον· ὃ δ' ἔστενεν οἴδματι θυίων.
Πηλεΐδησ δ' ἀπὸ πυρκαϊῆσ ἑτέρωσε λιασθεὶσ [sq.^{a}
'κλίνθη κεκμηώσ, ἐπὶ δὲ γλυκὺσ ὕπνοσ ὄρουσε. 232^b cf. ψ 342^b
οἳ δ' ἀμφ' Ἀτρεΐωνα ἀϝολλέεσ ἠγερέθοντο, 233^b=γ 412 ι 228
τῶν μιν ἐπερχομένων ὅμαδοσ καὶ δοῦποσ ἔγειρε.
ἕζετο δ' ὀρθωθεὶσ καί σφασ πρὸσ μῦθον ἔϝειπε· 235^a = *B* 42
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆεσ Παναχαιῶν, 236 = *H* 327
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι ϝοίνωι 237 cf. 250 *Ω* 791
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸσ μένοσ, αὐτὰρ ἔπειτα 238 = *Ω* 792
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν 239 cf. *Ω* 793

---

212. *ὤροντο* § 284] *ὀρέοντο*.

213. *πνοιῆι ὑπὸ λιγυρῆι νέφεα κλονέοντεσ ὄπισθεν* [Plut.] vit. Hom. 108 (cf. vs. 215).

214. *ἀήμεναι*] *-ναι* Apoll. lex. (cf. § 195).

216. *μέγ' ἐϝίϝαχε* Bentley] *μέγα δ' ἴαχε* (cf. ι 395).

219. *ἔχων* T] *ἑλὼν* A C D.

220. *ἀφυσσόμενοσ* D] *-σσάμενοσ* A C T (cf. *Γ* 295).

228. In pap. Bodl. b 3 subiunguntur hi versus: *χήρωσεν δ[ὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο] | ἀρη[το]ν δὲ τ[οκεῦσι γόον καὶ πένθοσ ἔθηκε]*, a Plut. Mor. 117 *c* hi: *ἄρρητον — ἔθηκε* | *μοῦνοσ τηλύγετοσ πολλοῖσιν ἐπὶ κτεάτεσσιν* (cf. *P* 36 sq. et *I* 482).

226. *ἀστὴρ* Brandreth] *ἑωσφόροσ* *Ω* (item Hes. Theog. 381), quod novicium esse pro *ἠοσφόροσ* annotavit Knight; cf. § 8 et *X* 317 (ibique schol.) ν 93. Menrad *εὖτ' ἠοσφόροσ*, sed cf. *H* 433.

230. *κατὰ*] *μετὰ* A^2.
— *θυίων* A T] *θύων* *Ω*. Cf. § 287[10].

εὖ διαγιγνώσκοντεσ· ἀριφραδέα δὲ τέτυκται,
ἐν μέσσηι γὰρ ἔκειτο πυρῆι, τοὶ δ' ἄλλοι ἄνευθε
ἐσχατιῆι 'καίοντ', ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρεσ. 242b cf. Δ 525 Φ 16
καὶ τὰ μὲν ἐν χρυσέηι φιάληι καὶ δίπλακι δημῶι 243 cf. 253
θήομεν, εἰσ ὅ κεν αὐτὸσ ἐγὼν Ἄϝιδι κεκύθωμαι.
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ' ἐπιϝεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε."
ὣσ ἔφαθ', οἳ δ' ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν 'σβέσαν αἴθοπι ϝοίνωι, 250 = Ω 791 cf. Ψ 237
ὅσσον ἔπι φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
κλαίοντεσ δ' ἑτάροιο ἐνηέοσ ὀστέα λευκὰ
ἄλλεγον εἰσ χρυσέην φιάλην καὶ δίπλακα δημόν, 253sq. cf. Ω 795sq. 253 cf. 243
ἐν κλισίηισι δὲ θέντεσ ἑανῶι λιτ' ἐκάλυψαν. 254 cf. Σ 352
'τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.
χεύαντεσ δὲ τὸ σῆμα πάλιν 'κίον. 257 cf. Ω 801

ἆθλα ἐπὶ Πατρόκλωι.

αὐτὰρ Ἀχιλλεὺσ
αὐτόθι λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάσ τε τρίποδάσ τε,
ἵππουσ θ' ἡμιόνουσ τε βοῶν τ' ἴφθιμα κάρηνα 260b cf. h. Merc. 94
ἠδὲ γυναῖκασ ἐυζώνουσ πολιόν τε σίδηρον. 261 = Ι 366
ἵπποισιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
'θῆκε γυναῖκ' ἀγαγέσθαι, ἀμύμονα ϝέργα ϝιδυῖαν, 263b cf. Ι 128
καὶ τρίποδ' οὐατόεντα δυωκαιϝεικοσίμετρον, 264b cf. Ο 678

---

244. ἐγὼν] ἰὼν l. a. in A.
— κεκύθωμαι Bentley] κλεύθωμαι (pro κελεύθωμαι = πορεύωμαι!) Ar. A, κεύθωμαι Ω. Cf. ζ 303.
251. δὲ] τε A² D.
— κάππεσε τέφρη] -σεν ὕλη l. a. in A.
254. κλισίηισι δὲ θέντεσ] κλισίηι δ' ἐνθέντεσ L.
— ἑανῶι] neglecto ϝ; *θέντεσ δὲ κλισίηφι ϝεανῶι? Cf. Ν 168 et Σ 352.

259—261. Aristoph. Ar. —
262. ἵπποισιν l. a. ant.] ἱππεῦσιν Ω, quod propter ποδώκεσιν ferri nequit; lectionem vitiosam peperit verbum ἄγεσθαι (vs. 263).
263. γυναῖκ' ἀγαγέσθαι Bentley] γυναῖκα ἄγεσθαι Ω vitio metrico, γυναῖκά τ' ἄγεσθαι Heyne; an ἄγεσθαι in locum alicuius epitheti (e. g. ἐυϝειδέ') irrepsit?
264. οὐατόεντα § 69 et 72[16]] ὠτώεντα.

τῶι πρώτωι· ἀτὰρ αὖ τῶι δευτέρωι ἵππον ἔθηκε
ϝεξϝετέα, δμητήν, βρέφοσ ἡμίονον κυέουσαν· 266ᵃ = 655
αὐτὰρ τῶι τριτάτωι ἄπυρον κατέθηκε λέβητα
καλόν, τέσσαρα μέτρα κεχονδότα, λευκὸν ἔτ' αὔτωσ·
τῶι δὲ τετάρτωι ἔθηκε δύω χρυσοῖο τάλαντα,
πέμπτωι δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργείοισιν ἔϝειπε· 271 sq. = 657 sq. 271 = 456, 706, 752, 801, 830
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἐυκνήμιδεσ Ἀχαιοί,
ἱππῆασ τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι. 272 cf. Δ 17
εἰ μὲν νῦν ἄλλωι ἔπ' ἀεθλεύοιμεν Ἀχαιοί,
ἦ κεν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην·
ϝίστε γὰρ ὅσσον ἐμὼ ἀρετῆι περιβάλλετον ἵππω.
ἀθάνατοι γὰρ ἔασι, Ποσειδάων δ' ἔπορ' αὐτὸσ
πατρὶ ἐμῶι Πηλῆϊ, ὃ δ' αὖτ' ἐμοὶ ἠγγυάλιξε.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω καὶ μώνυχεσ ἵπποι·
τοίου γὰρ κλέοσ ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὃ σφωϊν μάλα πολλάκισ ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε, λοέσσασ ὕδατι λευκῶι.
τὸν τώ γ' ἑσταότεσ πενθείετον, οὔδεϊ δέ σφι 283sq.cf. Ρ 437sq.
χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ. 284ᵇ cf. 443
ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν, ὅσ τισ Ἀχαιῶν
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσι.“ 286 cf. ρ 117
ὣσ 'φάτο Πηλεΐδησ, ταχέεσ δ' ἱππῆεσ ἄγερθεν.
ὦρτο πολὺ πρώτιστα ϝάναξ ἀνδρῶν Εὔμηλοσ, 288 cf. Η 162
Ἀδμήτου φίλοσ υἱόσ, ὃσ ἱπποσύνηι ἐκέκαστο· [Ψ 812
τῶι δ' ἐπὶ Τυδεΐδησ ὦρτο κρατερὸσ Διομήδησ, 290 = Η 163 cf.
ἵππουσ δὲ Τρωΐουσ ὕπαγε ζυγόν, οὔσ ποτ' ἀπέϝρα 291 sq. cf. Ε 323 sq.
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.

---

266. ϝεξϝετέα δμητήν Naber] ἑξετέ' ἀδμήτην Ω, item vs. 655.
268. κεχονδότα § 221[5]] κεχανδότα. Cf. Ω 192.
272. Ἀτρεΐδη] -δαι Syr. L (item vs. 658).
— ἐυκνήμιδεσ Ἀχαιοί] ἀριστῆεσ Παναχαιῶν D (item vs. 658); cf. Χ 378.
273. Om. Syr.
— ἱππῆασ] ἱππεῦσιν l. a. ant.
— δεδεγμένα] sic et -χμένα Ar. (cf. Θ 296).
274. ἄλλωι ἔπ' Bothe] ἐπὶ ἄλλωι Ω.
275. κεν § 326] τ' ἄν.
276. ἐμὼ ... ἵππω] ἐμοὶ ... ἵπποι Ω.
277. γὰρ ἔασι Nauck] τε γάρ εἰσι. Quo referatur non habet τε.
— αὐτὸσ Doederlein] αὐτούσ. Cf. § 98 et Χ 518 Ω 499.
280. κλέοσ] σθένοσ Syr. D T.
283 sq. In textu om. Syr.
287. ἄγερθεν] sic Ar., ἔγερθεν G L; cf. Η 434.
288. πρώτιστα] cf. Η 162.
291. ἀπέϝρα § 150[5]] ἀπηύρα.

τῶι δ' ἄρ' ἐπ' Ἀτρεΐδησ ὦρτο ξανθὸσ Μενέλαοσ
διογενήσ, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέασ ἵππουσ,
Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑϝόν τε Πόδαργον·
τὴν Ἀγαμέμνον' ἔδωκ' Ἀγχισιάδησ Ἐχέπωλοσ
δῶρ', ἵνα μή ϝοι ἕποιθ' ὑπὸ Ϝίλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ ϝοι ἔδωκε
Ζεὺσ ἄφενοσ, 'ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρωι Σικυῶνι.
τὴν τόθ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰχανάουσαν.
Ἀντίλοχοσ δὲ τέταρτοσ ἐύτριχασ ὡπλίσαθ' ἵππουσ, 301b = 351
Νέστοροσ ἀγλαὸσ υἱόσ, ὑπερθύμοιο ϝάνακτοσ
τοῦ Νηληϊάδαο· Πυλοιγενέεσ δέ ϝοι ἵπποι
ὠκύποδεσ 'φέρον ἅρμα. πατὴρ δέ ϝοι ἄγχι παραστὰσ
'μυθέετ' εἰσ ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῶι· 305a cf. I 102, 305b cf. A 577
„Ἀντίλοχ', ἦ τοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύσ τε Ποσειδάων τε, καὶ ἱπποσύνασ ἐδίδαξαν
παντοίασ· τῶι καί σε διδασκέμεν' οὔ τι μάλα χρεώ,
ϝοῖσθα γὰρ εὖ περὶ τέρμα ϝελισσέμεν'. ἀλλά τοι ἵπποι
βάρδιστοι θείειν· τῶι τ' οἴω λοίγι' ἔσεσθαι. 310b cf. Φ 533
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ϝίσσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σύ, φίλοσ, μῆτιν ἐμβάλλεο θυμῶι
παντοίην, ἵνα μή σε παρεκπροφύγηισιν ἄεθλα.
μήτιί τοι δρυτόμοσ μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτιι δ' αὖτε κυβερνήτησ ἐνὶ ϝοίνοπι πόντωι
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
μήτιι δ' ἡνίοχοσ περιγίγνεται ἡνιόχοιο.
ἄλλοσ μὲν θ' ἵπποισι καὶ ἅρμασι Ϝοῖσι πεποιθὼσ
ἀφραδέωσ ἐπὶ πολλὰ ϝελίσσεται ἔνθα καὶ ἔνθα,

---

300. *τόθ'* l. a. in A] *ὅ γ'* Ω. — *ἰχανάουσαν* (*-όωσαν*) Syr. A D] *ἰσχανόωσαν* Ω. Cf. *P* 572.

303. *Πυλοιγενέεσ* Syr. A] *Πυληγ.* Ω, *παλαιγ.* l. a. in T (coll. vs. 445). Cf. *B* 54 et § 48.

304. *ὠκύποδεσ*] *λευκόποδεσ* Bentley (coll. vs. 310).

307. *ἐδίδαξαν*] sic Zen., *-ξεν* Ar. A D.

308. *χρεώ*] *χρή* Knight (cf. § 8).

309. *τέρμα* Bentley] *-μαθ'* (cf. vs. 328, 462).

310. *τῶι τ' οἴω*] *τῶι δίω* Ahrens, an **ὀίω τοι*? Cf. § 292* et Φ 533.

317. *ἐρεχθομένην*] *ἐεργομένην* l. a. ant., *ἐριχθομένην* Apio. Cf. ε 83 h. Ap. 358.

319. *ἄλλοσ*] sic Antigonus, *ἀλλ' ὅσ* Ar. Ptolemaeus Ascal. et codd. plerique. Similis controversia est Δ 686. — *πεποιθὼσ*] *πέποιθεν* Gen. (Christ *ἀλλ' ὅσ … πεποίθηι*).

320. *πολλὰ* Bentley] *πολλόν*.

ἵπποι δὲ πλανάονται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃσ δέ κε κέρδεα ϝείδηι ἐλαύνων ἥσσονασ ἵππουσ,
αἰεὶ τέρμ' ὁράων στρέφει ἐγγύθεν, οὐδέ ϝε λήθει,
ὅππωσ τὸ πρῶτον τανύσηι βοέοισιν ἱμᾶσι,
ἀλλ' ἔχει ἀσφαλέωσ καὶ τὸν προέχοντα δοκεύει. [ψ 273
σῆμα δέ τοι ϝερέω μάλ' ἀριφραδέσ, οὐδέ σε λήσει. 326 = λ 126 cf.
ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴησ, — 827 cf. ι 325
ἢ δρυὸσ ἢ πεύκησ, τὸ μὲν οὐ καταπύθεται ὄμβρωι, — 328b cf. α 161
λᾶε δὲ τοῦ ϝεκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῆισιν ὁδοῦ, λεῖοσ δ' ἱππόδρομοσ ἀμφίσ·
ἤ τεο σῆμα βροτοῖο πάλαι κατατεθνηῶτοσ, 331 cf. Η 89
ἢ τό γε νύσσ' ἐτέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκησ δῖοσ Ἀχιλλεύσ.
τῶι σὺ μάλ' ἐγχρίμψασ ἐλάειν σχεδὸν ἅρμα καὶ ἵππουσ,
αὐτὸσ δὲ κλινθήμεν' ἐϋ πλεκτῶι ἐνὶ δίφρωι
ἦκ' ἐπ' ἀριστερὰ τοῖον· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσασ, ϝεῖξαί τέ ϝοι ἡνία χερσί.
ἐν νύσσηι δέ τοι ἵπποσ ἀριστερὸσ ἐγχριμφθήτω,
ὣσ κέν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο. λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πωσ ἵππουσ τε τρώσηισ κατά θ' ἅρματα ϝάξηισ· 341b cf. Θ 403
χάρμα δὲ τοῖσ' ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῶι 342 cf. Γ 51
ἔσσεται. ἀλλά, φίλοσ, φρονέων πεφυλαγμένοσ εἶναι.
εἰ γάρ κ' ἐν νύσσηι γε παρεξελάσηισθα διώκων,
οὐκ ἔσθ' ὅσ κέ σ' ἕληισι μετάλμενοσ οὐδὲ παρέλθηι,
οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃσ ἐκ θεόφιν γένοσ ἦεν,
ἢ τοὺσ Λαομέδοντοσ, οἳ ἐνθάδε γ' ἔτραφον ἐσθλοί.“ 348b cf. Φ 279
ὣσ ϝειπὼν Νέστωρ Νηλήϊοσ ἂψ ἐνὶ χώρηι

---

327. ὑπὲρ αἴησ] ἐνὶ γαίηι l. a. ant.

328. οὐ] οὗ Hippias Thasius perabsurde (cf. Aristot. Poet. 26 Sophist. El. 4).

332 sq. ἠὲ σκῖροσ ἔην, νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύσ Ar. (l. a. ab Ar. commemorata?) secundum schol. T et Eust.

335. αὐτὸσ δὲ κλινθήμεν'] κλινθῆναι δὲ καὶ αὐτὸσ Plat. Ion. 537 a.
— ἐϋ πλεκτῶι ἐνὶ δίφρωι] ἐυξέστωι ἐνὶ δίφρωι D Plat. l. l., ἐυξέστου ἐπὶ δίφρου Xen. Conviv. 4 § 6. Cf. Ψ 436.

336. τοῖον Heyne] τοῖιν. Cf. vs. 246.

339. κέν] μή Plat. Ion. 537 b.

342. ἐλεγχείη] ἀεικίη Apoll. lex.

343. ἔσσεται] ἔσσεαι l. a. in T.

345. παρέλθηι] -οι Ω.

348. γ' ἔτραφον Vat.] γ' ἔτραφεν (vel τέτραφεν) Ω; cf. Φ 279 et § 149[103].

ἕζετ', ἐπεὶ ϝῶι παιδὶ ϝεκάστου πείρατ' ἔϝειπε.
Μηριόνησ δ' ἄρα πέμπτοσ ἐύτριχασ ὡπλίσαθ' ἵππουσ. 351ᵇ = 301
ἂν δ' ἔβαν εἰσ δίφρουσ, ἐν δὲ κλήρουσ ἐβάλοντο.
'πάλλ' Ἀχιλεύσ, ἐκ δὲ κλῆροσ 'θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δὲ 'λάχε κρείων Ἐύμηλοσ·
τῶι δ' ἄρ' ἐπ' Ἀτρεΐδησ, δουρὶ κλειτὸσ Μενέλαοσ·
τῶι δ' ἐπὶ Μηριόνησ 'λάχ' ἐλαυνέμεν· ὕστατοσ αὖτε
Τυδεΐδησ, ὄχ' ἄριστοσ ἐών, 'λάχ' ἐλαυνέμεν ἵππουσ.
'στὰν δὲ μεταστοιχί, 'σήμηνε δὲ τέρματ' Ἀχιλλεὺσ 358 = 757
τηλόθεν ἐν λείωι πεδίωι· παρὰ δὲ σκοπὸν εἷσε
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸσ ἑϝοῖο,
ὡσ μεμνῇτο δρόμου καὶ ἀληθείην ἀποϝείποι.
οἳ δ' ἅμα πάντεσ ἐφ' ἵπποιιν μάστιγασ ἄειραν,
'πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τε ϝέπεσσι
ἐσσυμένωσ· οἳ δ' ὦκα διέπρησσον πεδίοιο, 364 cf. Β 785
νόσφι νεῶν, ταχέωσ· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ' ἀειρομένη ὥσ τε νέφοσ ἠὲ θύελλα, 366ᵃ = Β 151 cf. Φ 327
χαῖται δ' ἐρρώοντο ἅμα πνοιῇσ' ἀνέμοιο.
ἅρματα δ' ἄλλοτε μὲν χθόν' ἐπίλνατο πολυβοτείρηι,
ἄλλοτε δ' ἠΐξασκε μετήορα. τοὶ δ' ἐλατῆρεσ
ἕστασαν ἐν δίφροισι, 'πάτασσε δὲ θυμὸσ ἑκάστου 370ᵇ cf. Η 216 Ν 282
νίκησ ϝιεμένων· 'κέκλοντο δὲ ϝοῖσι ϝέκαστοσ
ἵπποισ', οἳ δ' ἐπέτοντο κονίοντεσ πεδίοιο. 372 cf. 449; 372ᵇ = Θ 122
ἀλλ' ὅτε δὴ πύματον 'τέλεον δρόμον ὠκέεσ ἵπποι 373ᵃ = 768
ἂψ ἐφ' ἁλὸσ πολιῆσ, τότε δὴ ἀρετή γε ϝεκάστου
'φαίνετ', ἄφαρ δ' ἵπποισι 'τάθη δρόμοσ· ὦκα δ' ἔπειτα
αἱ Φηρητιάδαο ποδώκεεσ ἔκφερον ἵπποι.
τὰσ δὲ μετ' ἐξέφερον Διομήδεοσ ἄρσενεσ ἵπποι,
Τρώϊοι, οὐδ' ἔτι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύσ·
αἰεὶ γὰρ δίφροι' ἐπιβησομένοισ' ἐϝεϝίκτην,

---

357. 'λάχ' ἐλαυνέμεν' ἵππουσ] * 'λάχεν ἵππω (vel ἵππουσ 'λάχ') ἐλαύνειν? Cf. § 3.

359—361. Videntur postmodo additi (del. Duentzer, solum vs. 360 Heyne), nulla enim posthac fit Phoenicis mentio.

361. μεμνῇτο Bekker] μεμνέωιτο (nihili formam; cf. § 8) Ω. Cf. Ω 745. — δρόμου] δρόμουσ Ar.; quae si sincera est lectio (cf. Ζ 222 al.), intellegantur *singulorum aemulorum curricula.*

362. ἅμα T] ἄρα A C D; cf. Soph. El. 711.

370. ἑκάστου] neglecto ϝ, Bentley ἁπάντων, vChrist ἀγήνωρ (cf. vs. sequens).

374. ἐφ'] sic Ar., ἀφ' T; cf. Γ 5.

πνοιῆι δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὤμω
'θέρμετ', ἐπ' αὐτῶι γὰρ κεφαλὰσ καταθέντ' ἐπετέσθην.
καί νύ κεν ἢ παρέλασσ' ἢ' ἀμφήριστον ἔθηκε, 382 cf. 527
εἰ μὴ Τυδέοσ υἷι 'κοτέσσατο Φοῖβοσ Ἀπόλλων,
ὅσ ῥά ϝοι ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
τοῖο δ' ἀπ' ὀφθαλμῶν 'χύτο δάκρυα χωομένοιο,
οὕνεκα τὰσ μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσασ,
οἳ δέ ϝοι ἐβλάφθησαν ἄνευ κέντροιο θέοντεσ.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενοσ 'λάθ' Ἀπόλλων
Τυδεΐδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
'δῶκε δέ ϝοι μάστιγα, μένοσ δ' ἵπποισ' ἐνέηκε,
ἣ δὲ μετ' Ἀδμήτοιο υἱὸν κοτέουσ' ἐβεβήκει,
ἵππειον δέ ϝ' ἔϝαξε θεὰ ζυγόν· αἳ δέ ϝοι ἵπποι
ἀμφὶσ ὁδοῦ 'δραμέτην, ῥυμὸσ δ' ἐπὶ γαῖαν ἐλύσθη,
αὐτὸσ δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη, 394 = Z 42
ἀγκῶνάσ τε περιδρύφθη στόμα τε ῥῖνάσ τε,
'θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι, τὼ δέ ϝοι ὄσσε 396b sq. = P 695 sq.
δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ ϝοι ἔσχετο φωνή.
Τυδεΐδησ δὲ παρατρέψασ ἔχε μώνυχασ ἵππουσ, 398 cf. 423
πολλὸν τῶν ἄλλων ἐξάλμενοσ· ἐν γὰρ Ἀθήνη
ἵπποισ' ἧκε μένοσ καὶ ἐπ' αὐτῶι κῦδοσ ἔθηκε. 400 cf. 406
τῶι δ' ἄρ' ἐπ' Ἀτρεΐδησ εἶχε ξανθὸσ Μενέλαοσ.
Ἀντίλοχοσ δ' ἵπποισιν ἐκέκλετο πατρὸσ ἑϝοῖο· 402b = T 399
„ἔμβητον καὶ σφῶϊ! τιταίνετον ὅττι τάχιστα!
ἦ τοι μὲν κείνοισιν ἐριζέμεν' οὔ τι κελεύω,
Τυδεΐδα' ἵπποισι δαΐφρονοσ, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχοσ καὶ ἐπ' αὐτῶι κῦδοσ ἔθηκε. 406 cf. 400
ἵππουσ δ' Ἀτρεΐδαο κιχάνετε, μηδὲ λίπησθον,
καρπαλίμωσ, μὴ σφῶϊν ἐλεγχείην καταχεύηι 408b cf. ξ 38
Αἴθη θῆλυσ ἐοῦσα. τίη λείπεσθε, φέριστοι;
ὧδε γὰρ ἐκϝερέω, καὶ μὴν τετελεσμένον ἔσται· 410 = π 440 τ 487 cf. Λ 212
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν

---

387. δέ ϝοι] sic (δέ οἱ) Ar., δ' ἑοὶ Ptolemaeus Ascal.; cf. § 95.
391. Ἀδμήτοιο vChrist] -του. Cf. § 17.
392. *δέ ϝ'(οι) ἔϝαξε] δέ οἱ ἦξε Ω, ϝοι ἔϝαξε Heyne (cf. P 51).
399. τῶν] ἄνευθ' Nauck.
400 et 406. ἔθηκε] ἔδωκε C L.
405 sq. Ar. —
407. λίπησθον] -σθε pap. 128.
411. κομιδὴ] βιοτὴ l. a. ant.

ἔσσεται, αὐτίκα δ' ὔμε κατακτενεῖ ὀξέι χαλκῶι,
αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
ἀλλ' ἐφομαρτέετον καὶ σπεύδετον ὅττι τάχιστα. 414a = Θ 191
ταῦτα δ' ἐγὼν αὐτὸσ τεχνήσομαι ἠδὲ νοήσω,
στεινωπῶι ἐν ὁδῶι παραδύμεναι, οὐδέ με λήσει." 416a = Η 143
ὣσ ἔφαθ', οἳ δὲ ϝάνακτοσ ὑποδϝείσαντεσ ὁμοκλὴν 417 sq.a = 446 sq. 417 = Μ 413
μᾶλλον ἐπεδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
στεῖνοσ ὁδοῦ κοίλησ ἔϝιδ' Ἀντίλοχοσ μενεχάρμησ.
ῥωχμὸσ ἔεν γαίησ, ἧι χειμέριον ϝαλὲν ὕδωρ
ἐξέρρηξεν ὁδοῖο, 'βάθυνε δὲ χῶρον ἅπαντα·
τῆι ῥ' εἶχεν Μενέλαοσ, ἁματροχιὰσ ἀλεείνων.
Ἀντίλοχοσ δὲ παρατρέψασ ἔχε μώνυχασ ἵππουσ 423 cf. 398
ἐκτὸσ ὁδοῖ', ὀλίγον δὲ παρακλίνασ ἐδίωκε.
Ἀτρεΐδησ δ' ἔδϝεισε καὶ Ἀντιλόχωι ἐγέγωνε·
„Ἀντίλοχ', ἀφραδέωσ ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππουσ!
στεινωπὸσ γὰρ ὁδόσ, τάχα δ' εὐρυτέρη παρελάσσαι,
μή πωσ ἀμφοτέρουσ δηλήσεαι ἅρματι κύρσασ."
ὣσ ἔφατ', Ἀντίλοχοσ δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε
κέντρωι ἐπισπέρχων, ὣσ οὐκ ἀΐοντι ϝεϝοικώσ.
ὅσσα δὲ δίσκοι' οὖρα κατωμαδίοιο πέλονται, 431 cf. Κ 351b
ὅν τ' αἰζηὸσ ἀφῆκεν ἀνὴρ πειρώμενοσ ἥβησ, 432 cf. Ο 359
τόσσον ἐπεδραμέτην· αἳ δ' ἠρώησαν ὀπίσσω
Ἀτρεΐδα', αὐτὸσ δὲ ϝεκὼν μεθέηκεν ἐλαύνειν,
μή πωσ συγκύρσειαν ὁδῶι ἔνι μώνυχεσ ἵπποι,
δίφρουσ τ' ἀντρέψειαν ἐυπλεκέασ, κατὰ δ' αὐτοὶ
ἐν κονίηισι πέσοιεν ἐπειγόμενοι περὶ νίκησ. 437b = 496
τὸν καὶ νεικείων προσέφη ξανθὸσ Μενέλαοσ·
„Ἀντίλοχ', οὔ τισ σεῖο βροτῶν ὀλοώτεροσ ἄλλοσ! 439 cf. Γ 365
ϝέρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε 'φάμεν πεπνῦσθαι Ἀχαιοί.

---

413. ἀποκηδήσαντε φερώμεθα] *-ντεσ ἀρώμεθα? Cf. Ε 273 Ι 269 Ψ 592.

414. ἐφομαρτέετον] sic (-τεῖτον) et ἐφαμαρτεῖτον Ar. (cf. § 319).

417. ὑποδϝείσαντεσ ὁμοκλὴν] ὁμοκλήσαντεσ ἀπειλὴν (voluitne -ντοσ -λῆι?) C.

420. ῥωχμὸσ] ῥωγμὸσ Herodian. Apoll. lex.

421. ἅπαντα] ἔνερθεν Aristoph.

422. τῆι] ἧι Ar.

424. παρακλίνασ] παρεκκλίνασ Par., παρακλινθεὶσ l. a. in A.

425. ἐγέγωνε § 260] ἐγεγώνει.

427. εὐρυτέρη παρελάσσαι pap. 128 (-ρηι) et schol. T] εὐρυτέρηι παρελάσσεισ (περ ἐλάσσεισ A) Ω.

434. δὲ Heyne] γὰρ.

— ἐλαύνειν] -νῶν (ει) pap. 128.

436. ἀν(α)τρέψειαν Vrat.] ἀνστρέψειαν Ω.

ἀλλ' οὐ μὰν οὐδ' ὣσ ἄτερ ὅρκοι' οἴσε' ἄεθλον.“
ὣσ ϝειπὼν ἵπποισιν ἐκέκλετο 'φώνησέν τε· — 442 = Θ 184
„μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ. — 443^{b} cf. 284
φθήσονται τούτοισι πόδεσ καὶ γοῦνα καμόντα
ἢ ὔμιν· ἄμφω γὰρ ἀτέμβονται νεότητοσ.“
ὣσ ἔφαθ', οἳ δὲ ϝάνακτοσ ὑποδϝείσαντεσ ὁμοκλὴν — 446 sq.^{a}=417 sq.
μᾶλλον ἐπεδραμέτην, τάχα δέ σφισιν ἄγχ' ἐγένοντο. — 447^{b} cf. Θ 117
Ἀργέιοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσοράοντο — 448 cf. 495
ἵππουσ· τοὶ δ' ἐπέτοντο κονίοντεσ πεδίοιο. — 449 cf. 372
πρῶτοσ δ' Ἰδομενεύσ, Κρητῶν ἀγόσ, ἐφράσαθ' ἵππουσ·
ἧστο γὰρ ἐκτὸσ ἀγῶνοσ ὑπέρτατοσ ἐν περιωπῆι, — 451^{b} cf. Ξ 8
τοῖο δ' ἄνευθεν ἐόντοσ ὁμοκλητῆροσ ἀκούσασ — 452^{b} cf. M 273
ἔγνω, 'φράσσατο δ' ἵππον ἀριπρεπέα προέχοντα,
ὃσ τὸ μὲν ᾆλλο τόσον φοίνιξ ἔεν, ἐν δὲ μετώπωι
λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠύτε μήνη.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· — 456 = 271
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορεσ ἠδὲ μέδοντεσ, — 457 = B 79
οἶοσ ἐγὼν ἵππουσ αὐγάζομαι ἠὲ καὶ ὔμεσ;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλοσ δ' ἡνίοχοσ ϝινδάλλεται· αἳ δέ ποθ' αὖθι
ἔβλαβεν ἐν πεδίωι, αἳ κεῖσέ γε φέρτεραι ἦσαν,
νῦν δ' οὔ πηι δύναμαι ϝιδέμεν· πάντηι δέ μοι ὄσσε
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσοράοντι.
ἠὲ τὸν ἡνίοχον 'φύγον ἡνία, οὐδ' ἐδυνάσθη
εὖ σχεθέμεν περὶ τέρμα, καὶ οὐκ ἐτύχησε ϝελίξασ·
ἔνθα μιν ἐκπεσέμεν ὀίω σύν θ' ἅρματα ϝᾶξαι,
αἳ δ' ἐξηρώησαν, ἐπεὶ μένοσ ἔλλαβε θυμόν.
ἀλλὰ ϝίδεσθε καὶ ὔμεσ ἀνασταδόν, οὐ γὰρ ἐγώ γε
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ

---

462 ἤ τοι γὰρ τὰσ πρῶτα 'ϝίδον περὶ τέρμα βαλούσασ,

---

444. καμόντα] -ντε pap. 128.
452. ἐόντοσ] ἰόντοσ pap. 128 D (cf. Δ 277). — ἀκούσασ] ἀκούων pap. 128.
454. τόσον] δέμασ Apoll. lex.
461. κεῖσε] sic Ar., κεῖθι Zen. Aristoph.; cf. Δ 528.
462. Del. Kurtz (cum vs. 463 sq.); metam praetervehentes cernere non potuit Idomeneus.
463. πηι Aristoph. Ar. pap. 128 T] πω Syr. A C D.
464. παπταίνετον] -ται Ar. (cf. vs. 477).
465. 'φύγον] φύγεν A (cf. Θ 137).
467. σύν] κατά T.

Αἰτωλὸσ γενεήν, μετὰ δ' Ἀργείοισι ϝανάσσει,
Τυδέοσ ἱπποδάμοιο υἱόσ, κρατερὸσ Διομήδησ."
τὸν δ' αἰσχρῶσ ἐνένιπεν Ὀιλῆοσ ταχὺσ Αἴασ· 473a = σ 321
„Ἰδομενεῦ, τί πάροσ λαβρεύεαι; αἳ δ' ἔτ' ἄνευθε
ἵπποι ἀερσίποδεσ πολέοσ πεδίοιο δίενται.
οὔτε νεώτατόσ ἐσσι μετ' Ἀργείοισι τοσοῦτον
οὔτε τοι ὀξύτατον κεφαλῆισ ἐκ δέρκεται ὄσσε·
ἀλλ' αἰεὶ μύθοισ λαβρεύεαι. οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονεσ ἄλλοι.
ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι, αἳ τὸ πάροσ περ,
Εὐμήλοι', ἐν δ' αὐτὸσ ἔχων εὔληρα βέβηκε."
τὸν δὲ χολωσάμενοσ Κρητῶν ἀγὸσ ἀντίον ηὔδα·
„Αἶαν, νεῖκοσ ἄριστε, κακοφραδέσ, ἄλλα τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόοσ ἐστὶν ἀπηνήσ. 484b = Π 35
δεῦρό νυν, ἢ τρίποδοσ περιδωόμεθ' ἠὲ λέβητοσ,
ϝίστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα θήομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι, — ἵνα γνώηισ ἀποτίνων."
ὣσ ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆοσ ταχὺσ Αἴασ 488 = 754
χωόμενοσ χαλεποῖσιν ἀμείψασθαι ϝεπέεσσι.
καί νύ κε δὴ προτέρω ἔτ' ἔρισ 'γένετ' ἀμφοτέροισι, 490 cf. 526
εἰ μὴ Ἀχιλλεὺσ αὐτὸσ ἀνίστατο καὶ 'φάτο μῦθον· 491 cf. 734
„μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ϝεπέεσσι,
Αἴασ Ἰδομενεύσ τε, κακοῖσ', ἐπεὶ οὐδὲ ϝέϝοικε·
καὶ δ' ἄλλωι νεμεσᾶτον, ὅ τισ τοιαῦτά γε ῥέζοι. 494 cf. ζ 286; 494b = α 47 χ 315
ἀλλ' ὕμεσ ἐν ἀγῶνι καθήμενοι εἰσοράεσθε 495 cf. 448
ἵππουσ, οἳ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκησ 496b = 437

---

471. Ar. —

472. *Ἱπποδάμοιο* L] *-μου* Ω. Cf. § 17.

473. *ἐνένιπεν*] *ἐνένισπεν* Syr. C.

474. *πάροσ*] *τ' ἄρ' ὥσ* vHerwerden (coll. *M* 409).

479. Ar. —

480. *αὐταὶ* C D] *αὖτε* A T (cf. § 98).

483. *νεῖκοσ* Ar. Syr. L] *νείκει* Ω; cf. *Γ* 39. — *τε*] *δὲ* Heyne.

485. *νυν*] *νυ*? Cf. *K* 105. — **περιδωόμεθ'*] *περιδώμεθα* T L schol. Ar. Ach. 771 Eq. 791 Hesych., *περιδώμεθον* Ω. Cf. § 118 et 122.

487. *γνώηισ* H] *γνοίησ* Ω (*γνοησ* pap. 128).

490. *κε δὴ*] *κ' ἔτι* pap. 128 et schol. T ad *I* 192 (cf. *Ψ* 526).

491. *'φάτο μῦθον*] *κατέρυκε* l. a. in A (ut vs. 734).

492. *ἀμείβεσθον*] *ἀμείβεσθαι* pap. 128[1], *ἀμείψασθαι* D.

493. Postmodo videtur additus (del. Heyne). — *Αἴασ Ἰδομενεύσ* Wackernagel] *Αἶαν Ἰδομενεῦ* Ω, *Αἶάν τ' Ἰδομενεῦ* Barnes. Cf. § 51. — *κακοῖσ'*] *ἄναξ* scribi mavult quidam in schol. T.

ἐνθάδ᾽ ἐλεύσονται· τότε δὲ γνώσεσθε ϝέκαστοσ
ἵππουσ Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθε.“
ὣσ ᾽φάτο, Τυδεΐδησ δὲ μάλα σχεδὸν ἦλθε διώκων·
μάστιγ᾽ αἰὲν ἔλαυνε κατωμαδόν, οἳ δέ ϝοι ἵπποι
ὑψόσ᾽ ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον. 501 cf. γ 88; 501^{b} = Ξ 282
αἰεὶ δ᾽ ἡνίοχον κονίησ ῥαθάμιγγεσ ἔβαλλον, 502^{b} = Λ 536
ἅρματα δὲ χρυσῶι πεπυκασμένα κασσιτέρωι τε
ἵπποισ᾽ ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
᾽γίγνετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθε
ἐν λεπτῆι κονίηι· τὼ δὲ σπεύδοντ᾽ ἐπετέσθην.
᾽στῆ δὲ μέσωι ἐν ἀγῶνι, πολὺσ δ᾽ ἀνεκήκιε ϝιδρὼσ 507^{b} cf. Ν 705
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
αὐτὸσ δ᾽ ἐκ δίφροιο χαμαὶ ᾽θόρε·παμφανάοντοσ, 509 = Θ 320
᾽κλῖνε δ᾽ ἄρα μάστιγα ποτὶ ζυγόν. οὐδ᾽ ἐμάτησε
ἴφθιμοσ Σθένελοσ, ἀλλ᾽ ἐσσυμένωσ ᾽λάβ᾽ ἄεθλον,
᾽δῶκε δ᾽ ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
καὶ τρίποδ᾽ οὐατόεντα φέρειν· ὃ δ᾽ ἔλυεν ὕφ᾽ ἵππουσ.
τῶι δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀντίλοχοσ Νηλήϊοσ ἤλασεν ἵππουσ,
κέρδεσιν, οὐ τάχεΐ γε, παραφθάμενοσ Μενέλαον· 515^{a} cf. Η 142^{b}
ἀλλὰ καὶ ὣσ Μενέλαοσ ἔχ᾽ ἐγγύθεν ὠκέασ ἵππουσ.
ὅσσον δὲ τροχοῦ ἵπποσ ἀφίσταται, ὅσ τε ϝάνακτα
ἕλκῃσιν πεδίοιο τιταινόμενοσ σὺν ὄχεσφι, —
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχεσ ἄκραι
οὐραῖαι, ὃ δέ τ᾽ ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
χώρη μεσσηγύσ, πολέοσ πεδίοιο θέοντοσ, — 521^{b} cf. Δ 244
τόσσον δὴ Μενέλαοσ ἀμύμονοσ Ἀντιλόχοιο
᾽λείπετ᾽· ἀτὰρ τὰ πρῶτα καὶ εἰσ δίσκουρ᾽ ἐλέλειπτο,
ἀλλά μιν αἶψ᾽ ἐκίχανεν, ὀφέλλετο γὰρ μένοσ ἠὺ
ἵππου τῆσ Ἀγαμεμνονέησ, καλλίτριχοσ Αἴθησ.

---

500. *μάστιγ᾽*] *μάστι(γι* vel *-α) δ᾽ Ω*. Cum dativo *μάστι* in schol. confertur *Θέτι* (Σ 407), a Bentleio *κνήστι* (Λ 640), et extat sane *μαστίω* verbum Ρ 622 Υ 171; at cf. Ψ 510. Similis controversia est ο 182.

503. *δὲ χρυσῶι*] *δ᾽ αὖ χαλκῶι* Plut. Mor. 747 *e*.

504. *ἐπέτρεχον*] sic Ar., *-χεν* olim quidam.

505. *ἐπισσώτρων*] *ὀπ*. D. Cf. Ε 725.

506. *(ἐ)πετέσθην*] *πέτεσθον* l. a. in A.

513. *οὐατόεντα* § 69 et 72^{16}] *ὠτώεντα*.

515. **τάχεΐ*] *τι τάχει*. Cf. § 71.

517. *τε* Nauck] *ῥά τ᾽ Ω*, *ῥα* Bentley.

519. *ἐπισσώτρου*] *ὀπ*. A. Cf. Ε 725.

523. *δίσκουρ᾽(α)*] *δίσκου οὖρα* (vel *δίσκ᾽ οὖρα*) l. a. ant.; cf. § 8 et vs. 431.

εἰ δέ γ' ἔτι προτέρω 'γένετο δρόμοσ ἀμφοτέροισι, 526 cf. 490
τῶι κέν μιν παρέλασσ' οὐδ' ἀμφήριστον ἔϑηκε. 527 cf. 382
αὐτὰρ Μηριόνησ, ϑεράπων ἐὺσ 'Ιδομενῆοσ, 528 cf. 360
'λείπετ' ἀγακλεέοσ Μενελάου δουρὸσ ἐρωήν·
βάρδιστοι μὲν γάρ ϝοι ἔσαν καλλίτριχεσ ἵπποι,
ἥκιστοσ δ' ἔεν αὐτὸσ ἐλαυνέμεν' ἅρμ' ἐν ἀγῶνι.
υἱὸσ δ' Ἀδμήτοιο πανύστατοσ ἤλυϑεν ἄλλων,
ἕλκων ἅρματα καλά, ἐλαύνων πρὸ ϝέϑεν ἵππουσ.
τὸν δὲ ϝιδὼν ὤικτιρε ποδάρκησ δῖοσ Ἀχιλλεύσ, 534 = Π 5
στὰσ δ' ἐν Ἀχαιοῖσιν ϝέπεα πτερόεντ' ἀγόρευε· 535 cf. Χ 377
„λοῖσϑοσ ἀνὴρ ὄχ' ἄριστοσ ἐλαύνειν μώνυχασ ἵππουσ.
ἀλλ' ἄγε δή ϝοι δῶμεν ἀέϑλια, ὡσ ἐπιϝεικέσ, 537 cf. ϑ 389
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσϑω Τυδέοσ υἱόσ.“ 537a cf. ν 13
ὣσ ἔφαϑ', οἳ δ' ἄρα πάντεσ ἐπήινεον ὡσ ἐκέλευε.
καί νύ κέ ϝοι 'πόρεν ἵππον, — ἐπήινεσσαν γὰρ Ἀχαιοί, —
εἰ μὴ ἄρ' Ἀντίλοχοσ, μεγαϑύμου Νέστοροσ υἱόσ, 541b = Ε 565
Πηλεΐδην Ἀχιλῆα δίκηι ἠμείψατ' ἀναστάσ·
„ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσηισ
τοῦτο ϝέποσ· μέλλεισ γὰρ ἀφαιρήσεσϑαι ἄεϑλον,
τὰ φρονέων ὅτι ϝοι 'βλάβεν ἅρματα καὶ ταχέ' ἵππω
αὐτόσ τ' ἐσϑλὸσ ἐών. ἀλλ' ὤφελεν ἀϑανάτοισι
εὔχεσϑαι· τῶι κ' οὔ τι πανύστατοσ ἦλϑε διώκων.
εἰ δέ μιν οἰκτίρεισ καί τοι φίλοσ ἔπλετο ϑυμῶι, 548 sq.a cf. Ξ 387 sq.
ἔστι τοι ἐν κλισίηι χρυσὸσ πολύσ, ἔστι δὲ χαλκὸσ
καὶ πρόβατ', εἰσὶ δέ τοι δμωιαὶ καὶ μώνυχεσ ἵπποι·

526. γ' Burney] κ'.
527. οὐδ'] sic Ar., ἢ Zen., τῶι κέ μιν ἢ παρέλασσ' ἢ Nauck. Cf. vs. 382.
530. βάρδιστοι] -ται Syr.
— ϝοι] τῶι pap. 128.
533. πρὸ ϝέϑεν vHerwerden] πρόσσοϑεν Ar. Ω, ὠκέασ Zen.; vulgata ferri nequit, nam πρό(σ)σωϑεν erat dicendum (κάλ', ἵππουσ πρόσσωϑεν ἐλαύνων Peppmueller), idque *eminus* significaret. Cf. Ν 157, 803.
534. ὤικτιρε] cf. Δ 814.
535. ἐν Ἀχαιοῖσιν Nauck] ἄρ' ἐν Ἀργείοισ(ιν) Ω, ἄρ' om. C T. Cf. versus parall. et § 60.
— πτερόεντ' ἀγόρευε] -ντα προσηύδα D Ţ.
536. ὄχ' ἄριστοσ] cf. Δ 288,
— ἐλαύνειν Bentley] -νει.
537. ἀέϑλια Bothe] -ιον (cf. vs. 653 et 748). Similis est controversia ϑ 389.
538. Olim quidam addebant: τὰ τρίτα δ' Ἀντίλοχοσ, τέτρατα ξανϑὸσ Μενέλαοσ, | πέμπτα δὲ Μηριόνησ, ϑεράπων ἐὺσ 'Ιδομενῆοσ (τέ̆τρατα novicium; cf. § 25).
539. ὡσ ἐκέλευε] ἠδ' ἐκέλευον Syr.
540. ἐπηίνε(σ)σαν D] -νησαν Ω; cf. § 295.
— Ἀχαιοί] οἱ ἄλλοι l. a. in A.
547. τῶι κ' Bentley] τῶ(ι) κεν vel τό κεν (sic pap. 128 A). Cf. σ 402 et § 96.
— ἦλϑε διώκων] ἤλυϑεν ἄλλων D (ut vs. 532).
548. οἰκτίρεισ] cf. Δ 814.
— φίλοσ] sic Ar., φίλον D.

τῶν ϝοι ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνέσσωσιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆσ πειρηθήτω
ἀνδρῶν ὅσ κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι.“
ὣσ 'φάτ', ἐμείδησεν δὲ ποδάρκησ δῖοσ Ἀχιλλεὺσ
χαίρων Ἀντιλόχωι, ὅτι ϝοι φίλοσ ἦεν ἑταῖροσ·
καί μιν ἀμειβόμενοσ ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίλοχ', εἰ μὲν δή με κελεύεισ ϝοίκοθεν ἄλλο
Εὐμήλωι ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
δώσω ϝοι θώρηκα, τὸν Ἀστεροπαῖον ἀπέϝραν, 560b cf. 808
χάλκεον, ὧι πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέοσ δέ ϝοι ἄξιοσ ἔσται.“ 562 cf. Θ 405
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλωι ἐκέλευσεν ἑταίρωι
οἰσέμεναι κλισίηθεν· ὃ δ' ὤιχετο καί ϝοι ἔνεικε.
τοῖσι δὲ καὶ Μενέλαοσ ἀνίστατο θυμὸν ἀχεύων,
Ἀντιλόχωι ἄμοτον κεχολωμένοσ· ἐν δ' ἄρα κῆρυξ
χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσε
Ἀργείουσ, ὃ δ' ἔπειτα μετηύδα ϝισόθεοσ φώσ·
„Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξασ!
ᾔσχυνασ μὲν ἐμὴν ἀρετήν, 'βλάψασ δέ μοι ἵππουσ,
τοὺσ σοὺσ πρόσθε βαλών, οἵ τοι πολὺ χείρονεσ ἦσαν. 572b cf. 577
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορεσ ἠδὲ μέδοντεσ, 573 cf. Β 79
εἰσ μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῆι,
μή ποτέ τισ ϝείπῃσιν Ἀχαιῶν χαλκοχιτώνων· 575a = Χ 106
‚Ἀντίλοχον ψεύδεσσι βιησάμενοσ Μενέλαοσ
οἴχεται ἵππον ἄγων, ὅτι ϝοι πολὺ χείρονεσ ἦσαν 577b cf. 572
ἵπποι, αὐτὸσ δὲ κρείσσων ἀρετῆι τε βίηι τε.‘
εἰ δ' ἄγ', ἐγὼν αὐτόσ δικάσω, καί μ' οὔ τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν, ἰθεῖα γὰρ ἔσται·
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφέσ, ἣ θέμισ ἐστί, 581 cf. Ρ 685

565 Εὐμήλωι δ' ἐν χείρ' ἐτίθει· ὃ δ' ἐδέξατο χαίρων. 565 cf. Α 446

552. αἰνέσσωσιν § 295] αἰνήσωσιν.
560. ἀπέϝραν § 150^5] ἀπηύρων.
562. ἄξιοσ] -ον A C D T.
565. Om. pap. 128 Syr. A C T.
568. χειρὶ A C] χερσὶ D T (cf. Α 585).
572. ἦσαν] εἰσιν Syr.
578. ἵπποι, αὐτὸσ] vitium metricum (cf. § 14).
579 et 581. εἰ δ'] cf. Α 302.
581. Ar. —

στὰσ ἵππων προπάροιθε καὶ ἅρματοσ, — αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ἧι περ τὸ πρόσθεν ἔλαυνεσ, —
ἵππων ἁψάμενοσ γαιήοχον ἐνοσίγαιον
ὄμνυθι μὴ μὲν ἐμὸν σὺ ϝεκὼν δόλωι ἅρμα πεδῆσαι.“
τὸν δ' αὖτ' Ἀντίλοχοσ πεπνυμένοσ ἀντίον ηὔδα·
„ἄνσχέο νῦν· πολλὸν γάρ ἐγώ γε νεώτερόσ εἰμι
σεῖο, ϝάναξ Μενέλαε, σὺ δὲ πρότεροσ καὶ ἀρείων. 588ᵇ cf. Β 707
ϝοῖσθ' οἷαι νέου ἀνδρὸσ ὑπερβασίαι τελέθουσι·
κραιπνότεροσ μὲν γάρ τε νόοσ, λεπτὴ δέ τε μῆτισ. 590 cf. Κ 226
τῶι τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸσ 591ᵃ = Τ 220
δώσω, τὴν ἀρόμην. εἰ καί νύ τι ϝοίκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειασ, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε, διοτρεφέσ, ἤματα πάντα
ἐκ θυμοῦ πεσέμεν καὶ δαίμοσιν ἔμμεν' ἀλιτρόσ.“
ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστοροσ υἱὸσ
ἐν χείρεσσ' ἐτίθει Μενελάου. τοῖο δὲ θυμὸσ
ἰάνθη, ὡσ εἴ τε περὶ σταχύεσσιν ἐϝέρσηι
ληΐου ἀλδήσκοντοσ, ὅτε φρίσσωσιν ἄρουραι·
ὣσ ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸσ ἰάνθη. 600ᵇ cf. Ω 321 ο 165
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίλοχοσ, νῦν μέν τοι ἐγὼν ὑποϝείξομαι αὐτὸσ
χωόμενοσ, ἐπεὶ οὔ τι παρήοροσ οὐδ' ἀεσίφρων 603ᵇ cf. Υ 183
ἦσθα πάροσ· νῦν αὖτε νόον 'νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονασ ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλοσ ἀνὴρ παρέπεισεν Ἀχαιῶν!
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθεσ καὶ πόλλ' ἐμόγησασ 607 cf. Ι 492
σόσ τε πατὴρ ἀγαθὸσ καὶ ἀδελφεὸσ εἵνεκ' ἐμεῖο·

---

583. ἔχε] ἔχον T[1], ἔχων Eust. (recte?).

585. ἐμὸν σὺ ϝεκὼν Heyne] ἑκὼν τὸ ἐμὸν Ω (cf. Α 185 et Θ 360). Pro σὺ Brandreth mavult γε.

587. ἀνσχέο] ἄσσχεο Dionysius Sid., alii olim ἴσχεο. Cf. Ω 518 Π 231 § 10.

592. τι Hermann] κεν.

593. ἀπαιτήσειασ pap. 128 A T] ἐπ. C D, utrumvis † (cf. tamen β 78).

598. ἐ(ϝ)έρσηι T] ἐέρση Ω, item Apollonius Rh. (cf. III 1018 sqq.). Dativum, quem dubitanter suasit Heyne, poscit contextus, adhibuit Aeschylus Ag. 1391.

599. ληΐου ἀλδήσκοντοσ, ὅτε] λήϊον ἀλδῆσκον, ὅτε τε Capelle.
— φρίσσωσιν pap. 128 T] -ουσιν Ω.

602. Ἀντίλοχοσ § 51] -χε.
— τοι] κεν pap. 128.

604. νεοίη] sic Ar., Antimachus νόημα (νέον ν. νόημα? Heyne; cf. υ 82).

605. δεύτερον] ὕστερον l. a. in A, βέλτερον G L.

τῶι τοι λισσομένωι ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε, 610ᵇ = Λ 302
ὡσ ἐμὸσ οὔ ποτε θυμὸσ ὑπερφίαλοσ καὶ ἀπηνήσ." 611ᵇ = Ο 94
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι 'δῶκεν ἑταίρωι
ἵππον ἄγειν· ὃ δ' ἔπειτα λέβηθ' ἕλε παμφανάοντα. 613ᵇ = τ 386
Μηριόνησ δ' ἀνάειρε δύω χρυσοῖο τάλαντα
τέτρατοσ, ὡσ ἔλασεν. πέμπτον δ' ὑπελείπετ' ἄεθλον,
ἀμφίθετοσ φιάλη· τὴν Νέστορι 'δῶκεν Ἀχιλλεὺσ
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ϝέειπε παραστάσ·
„τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω, 618ᵇ = δ 600 cf. α 312
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
ὄψε' ἐν Ἀργείοισι. δίδωμι δέ τοι τόδ' ἄεθλον
αὔτωσ· οὐ γὰρ πύξ γε μαχέσσεαι, οὐδὲ παλαίσεισ,
οὐδέ τ' ἀκοντιστὺν εἰσδύσεαι, οὐδὲ πόδεσσι [Ven. 234
θεύσεαι, ἤδη γὰρ χαλεπὸν κατὰ γῆρασ ἐπείγει." 623ᵇ cf. Δ 321 h.
ὣσ ϝειπών ϝ' ἐν χέρσ' ἐτίθει· ὃ δ' ἐδέξατο χαίρων, 624 = Λ 446
καί μιν φωνήσασ ϝέπεα πτερόεντα προσηύδα· [Δ 286 χ 486
„ναὶ δὴ ταῦτά γε πάντα, τέκοσ, κατὰ μοῖραν ἔϝειπεσ· 626 = σ 170 cf.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλοσ, πόδεσ, οὐδ' ἔτι χεῖρεσ 627ᵃ = Ν 512
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ' ὣσ ἡβάοιμι βίη τέ μοι ἔμπεδοσ εἴη, 629 = Η 157
ὡσ ὁπότε κρείοντ' Ἀμαρυγκέα 'θάπτον Ἐπειοὶ
Βουπρασίωι, παῖδεσ δὲ 'θέσαν βασιλῆοσ ἄεθλα·
ἔνθ' οὔ τίσ μοι ὁμοῖοσ ἀνὴρ 'γένετ', οὔτ' ἄρ' Ἐπειῶν 632 cf. Β 558
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ϝήνοποσ υἱόν,
Ἀγκαῖον δὲ πάληι Πλευρώνιον, ὅσ μοι ἀνέστη·
Ϝίφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.

622. *εἰσδύσεαι*] sic (*ἰσδ.*) Ar., *ἐνδύσεαι* A T, *ὑποδύσεαι* D.

623. *ἐπείγει*] *ἔπεισιν* Gen., *ἱκάνει* C, *ὀπάζει* T (cf. Δ 321).

624. *ϝ'(οι)] addidimus.

626. Om. pap. 128 (in ora superiore add. corrector), item Ar. (teste Aristonico ad vs. 627: „*ἡ διπλῆ ὅτι ἀπὸ τοῦ γὰρ ἤρκται*", Cobet M.Cr. p. 318).

627. *φίλοσ, πόδεσ*] *ποδῶν, φίλοσ* Duentzer (coll. Ν 512).

628. *ἐπαΐσσονται*] *ἀπ.* L (cf. Hes. Theog. 150).

634. *Ϝήνοποσ*] *Οἴνοποσ* C T (cf. Ξ 444 sq. et φ 144).

635. *πάληι*] *πάλην* Ar.

637. *ὑπειρέβαλον*] *ὑπερέβαλον* D. Ratione caret *ει* diphthongus (cf. § 315[7]).

ὣσ ποτ' ἔα· νῦν αὖτε νεώτεροι ἀντιαόντων
ϝέργων τοιούτων, ἐμὲ δὲ χρὴ γήραϊ λυγρῶι
πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσι.
ἀλλ' ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέιζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥσ με' αἰεὶ μέμνησαι ἐνηέοσ, οὐδέ σε λήθω. 648ᵇ cf. Λ 561
σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοϝεικέα δοῖεν."
ὣσ 'φάτο, Πηλεΐδησ δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ὤιχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλεΐδαο.

αὐτὰρ ὃ πυγμαχίησ ἀλεγεινῆσ 'θῆκεν ἄεθλα.
ἡμίονον ταλαϝεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι 654ᵃ = 662
ϝεξϝετέα δμητήν, ἥ τ' ἀλγίστη δαμάσασθαι· 655ᵃ = 266
τῶι δ' ἄρα νικηθέντι 'τίθει δέπασ ἀμφικύπελλον.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργείοισιν ἔϝειπε· 657 sq. = 271 sq.
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἐυκνήμιδεσ Ἀχαιοί,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω, 659 = 802
πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν'. ὧι δέ κ' Ἀπόλλων
δώηι καμμονίην, γνώωσι δὲ πάντεσ Ἀχαιοί, 661ᵃ = Χ 257 661ᵇ = Ω 688
ἡμίονον ταλαϝεργὸν ἄγων κλισίηνδε νεέσθω· 662ᵃ = 654
αὐτὰρ ὃ νικηθεὶσ δέπασ οἴσεται ἀμφικύπελλον." 663ᵇ = 667ᵇ
ὣσ ἔφατ', ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠύσ τε μέγασ τε 664ᵇ = Γ 167
ϝειδὼσ πυγμαχίησ, υἱὸσ Πανοπῆοσ 'Επειόσ·

---

638 οἷοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθεϊ πρόσθε βαλόντε, ἀγασσαμένω περὶ νίκησ,
640 οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι 'λείπετ' ἄεθλα.
οἳ δ' ἄρ' ἔσαν δίδυμοι· ὃ μὲν ἔμπεδον ἡνιόχευε,
ἔμπεδον ἡνιόχευ', ὃ δ' ἄρα μάστιγ' ἐκέλευε.

649 τιμῆσ, ἧσ τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖσ.

638—642. Postmodo insertos censemus undecumque ductos; sunt enim a contextu alieni. Vs. 639 sq. del. Lehrs. In vs. 639 πλήθεϊ sensu omnino caret, in vs. 642 epanalepsis est hominis numeros utcunque explentis.

639. βαλόντε schol. Ε 856] -ντεσ Ω. — ἀγασσαμένω l. a. ant.] -μενοι Ω.

640. αὐτόθι pap. 128 C] -φι Ar. A D T (cf. Μ 302).

643. ἔα § 302] ἔον.

648. αἰεὶ pap. 128² T] ἀεὶ Ω. Cf. § 17 et 324. — ἐνηέοσ] ἐνηῆσ vHerwerden.

649. Del. Nauck; novicia sunt [ϝ]έ[ϝ]οικε et Ἀχαιοῖσ (cf. § 60). Fortasse etiam vs. 648 erat secludendus.

653. ἄεθλα] -λον C (cf. vs. 537).

655. ϝεξϝετέα δμητήν] cf. vs. 266.

658. Cf. vs. 272.

662. νεέσθω] φερέσθω pap. 128 Syr. A B T.

ἥψατο δ' ἡμιόνου ταλαϝεργοῦ 'φώνησέν τε·
„ἄσσον ἴτω ὅσ τισ δέπασ οἴσεται ἀμφικύπελλον· 667b = 663b
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν' ἄλλον Ἀχαιῶν
πυγμῆι νικήσαντ', ἐπεὶ εὔχομαι ἔμμεν' ἄριστοσ.
οὐ ϝάλισ ὅττι μάχησ ἐπιδεύομαι; οὐδ' ἄρα πωσ ἦν 670b = Π 60
πάντεσσ' ἐν ϝέργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐκϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 672 = Δ 212
ἀντικρὺ χρόα τε ῥήξω σύν τ' ὀστέ' ἀράξω. 673b cf. Μ 384
κηδεμόνεσ δέ ϝοι ἐνθάδ' ἀϝολλέεσ αὖθι μενόντων,
οἵ τέ μιν ἐξοίσουσιν ἐμῆισ' ὑπὸ χερσὶ δαμέντα."
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἀκὴν ἐγένοντο σιωπῆι, 676 = Γ 95
Εὐρύαλοσ δέ ϝοι οἶοσ ἀνίστατο, ϝισόθεοσ φώσ,
Μηκιστῆοσ υἱὸσ Ταλαϊονίδαο ϝάνακτοσ, 678 = Β 566
ὅσ ποτε Θήβασδ' ἦλθε δεδουπότοσ Οἰδιπόδαο
εἰσ τάφον, ἔνθα δὲ πάντασ ἐνίκαε Καδμείωνασ.
τὸν μὲν Τυδεΐδησ δουρὶ κλυτὸσ ἀμφεπονεῖτο
θαρσύνων ϝέπεσιν, μάλα δ' αὐτῶι 'βούλετο νίκην.
ζῶμα δέ ϝοι πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
'δῶκεν ἱμάντασ ἐὺ τμητοὺσ βοὸσ ἀγραύλοιο.
τὼ δὲ ζωσαμένω 'βήτην εἰσ μέσσον ἀγῶνα, 685 cf. 710
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῆισιν ἅμ' ἄμφω 686a cf. σ 95, 686b sq.a cf. Η 255 sq.
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρεσ ἔμιχθεν·
δϝεινὸσ δὲ χρόμαδοσ γενύων 'γένετ', ἔρρεε δ' ἱδρὼσ 688b sq.a cf. Π 110
πάντοθεν ἐκ μελέων. ἐπὶ δ'. ὤρνυτο δῖοσ 'Επειόσ,
'κόψε δὲ παπτήναντα παρήϊον· οὐδ' ἄρ' ἔτι δϝὴν
εἱστήκειν, αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡσ δ' ὅθ' ὑπὸ φρικὸσ Βορέα' ἀναπάλλεται ἰχθὺσ
θῖν' ἔνι φυκιόεντι, μέλαν δέ ϝε κῦμ' ἐκάλυψε, 693b = ι 353
ὣσ πληγεὶσ ἀνέπαλτο. ἀτὰρ μεγάθυμοσ 'Επειὸσ 694b cf. Λ 732

---

670. οὐ § 9] ἤ οὐχ.
671. πάντεσσ' ἐν Fick] ἐν πάντεσσ'.
672. τὸ δὲ καὶ] καὶ μὴν Syr. T.
675. τέ criticus apud Nauckium] κέ.
678. Μηκιστῆοσ] cf. Λ 489.
679. Θήβασδ'] sic Ar., Θήβασ pap. 128.
682. μάλα pap. 128] μέγα Ω. Cf. Κ 229 Λ 782 Ο 51.
689. δῖοσ] θεῖοσ Syr.
692. ὑπὸ φρικὸσ] ὑπαὶ ῥιπῆσ l. a. ant. (ut Ο 171 Τ 358).
692 et 694. ἀναπάλλεται et ἀνέπαλτο] ἀναάλλεται et ἀνίαλτο? Cf. Θ 85.
693. ἔνι] ἐν Ω.
— μέλαν] μέγα A.
— δέ] τέ pap. 128 T.
694. ἀνέπαλτο. ἀτὰρ L] ἀνέπαλτ', αὐτὰρ Ω (cf. § 18)

χερσὶ λαβὼν ὤρθωσε, φίλοι δ' ἀμφέσταν ἑταῖροι, 695^{b} = Σ 233
οἵ μιν ἄγον δι' ἀγῶνοσ ἐφελκομένοισι πόδεσσι,
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε· 697^{b} cf. Θ 306^{a}
κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντεσ,
αὐτοὶ δ' οἰχόμενοι 'κόμισαν δέπασ ἀμφικύπελλον.

Πηλεΐδησ δ' αἶψ' ἄλλα κατὰ τρίτα 'θῆκεν ἄεθλα, 700 cf. 740
δεικνύμενοσ Δαναοῖσι, παλαισμοσύνησ ἀλεγεινῆσ·
τῶι μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην, — 702^{a} cf. Γ 138
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι 'τῖον Ἀχαιοί, —
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' εἰσ μέσσον ἔθηκε,
πολλὰ δ' ἐπίστατο ϝέργα, 'τίον δέ ϝε τεσσαράβοιον. [830 sq.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργείοισιν ἔϝειπε· 706 sq. = 752 sq. 706 = 271
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε."
ὣσ ἔφατ', ὦρτο δ' ἔπειτα μέγασ Τελαμώνιοσ Αἴασ, 708 = 811
τῶι δ' Ὀδυσεὺσ πολύμητισ ἀνίστατο, κέρδεα ϝειδώσ.
ζωσαμένω δ' ἄρα τώ γε 'βάτην εἰσ μέσσον ἀγῶνα, 710 cf. 685
ἀγκὰσ δ' ἀλλήλων 'λαβέτην χερσὶ στιβαρῆισι
ὡσ ὅτ' ἀμείβοντεσ, τούσ τε κλυτὸσ ἤραρε τέκτων,
δώματοσ ὑψηλοῖο, βίασ ἀνέμων ἀλεείνων. 713 = Π 213
'τετρίγει δ' ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν 714^{b} = Λ 553
ἑλκόμενα στερεῶσ, κατὰ δὲ νότιοσ 'ρέε ϝιδρώσ, 715^{b} = Λ 811
πυκναὶ δὲ σμώδιγγεσ ἀνὰ πλευράσ τε καὶ ὤμουσ
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἳ δὲ μάλ' αἰεὶ
νίκησ 'ϝιέσθην τρίποδοσ πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺσ 'δύνατο σφῆλασ οὖδάσδε πελάσσαι,
οὔτ' Αἴασ 'δύνατο, κρατερὴ δ' ἔχε ϝὶσ Ὀδυσῆοσ.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐυκνήμιδασ Ἀχαιούσ, 721^{a} cf. δ 460
δὴ τότε μιν προσέϝειπε μέγασ Τελαμώνιοσ Αἴασ·

---

695. χερσὶ] χειρὶ pap. 128^{1} (cf. Λ 585).

701. Δαναοῖσι] λαοῖσι pap. 128^{2} A^{2} (cf. Χ 205).

— παλαισμοσύνησ] παλαιμ. pap. 128. Eadem varietas est Θ 103 et 126 (cf. Pind. Pyth. II 113), sed παλαιστήσ est Θ 246.

707. πειρήσεσθε pap. 128 C] -σθον Ω. Cf. vs. 753 et 831.

709. τῶι Duentzer] ἂν Ω, quod ante ἀνίστατο ferri nequit. Cf. vs. 635; similis error (qui quidem videtur) est ι 260.

712. ὡσ] ὡσ δ' pap. 128 A^{1} C T.

719. σφῆλασ οὖδάσδε Roehl] σφῆλαι οὖδει τε (δε Syr.). Cf. κ 440 et § 71.

721. -δασ Ἀχαιούσ] sic Ar. (cf. τ 323), -δεσ -οί Syr. D (cf. Σ 300 Φ 270 δ 460, 598 χ 87).

„διογενὲσ Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ· τὰ δ' αὖ Διὶ πάντα μελήσει.“ 724ᵇ cf. P 515
ὣσ ϝειπών ϝ' ἀνάειρε. δόλου δ' οὐ 'λήθετ' Ὀδυσσεύσ·
'κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,
κὰδ δ' ἔπεσ' ἐξοπίσω, ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺσ
κάππεσε· λαοὶ δ' αὖ 'θηέοντό τε 'θάμβησάν τε. 728 = 881
δεύτεροσ αὖτ' ἀνάειρε πολύτλασ δῖοσ Ὀδυσσεύσ, 729 cf. 778
'κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονόσ, οὐδέ ϝ' ἄειρε,
ἐν δὲ γόνυ 'γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, 'μιάνθησαν δὲ κονίηι.
καί νύ κε τὸ τρίτον αὖτισ ἀναΐξαντ' ἐπάλαιον,
εἰ μὴ Ἀχιλλεὺσ αὐτὸσ ἀνίστατο καὶ κατέρυκε· 734 cf. 491
„μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι.
νίκη δ' ἀμφοτέροιιν· ἀέθλια ϝῖσ' ἀνελόντεσ
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.“
ὣσ ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 738 = H 379
καί ῥ' ἀπομορξαμένω κονίην 'δύσοντο χιτῶνασ.

Πηλεΐδησ δ' αἶψ' ἄλλα 'τίθει ταχυτῆτοσ ἄεθλα, 740 cf. 700
ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
'χάνδανεν, αὐτὰρ κάλλε' ἐνίκαε πᾶσαν ἐπ' αἶαν
πολλόν, ἐπεὶ Σιδόνεσ πολυδαίδαλοι εὖ ἤσκησαν.
Φοίνικεσ δ' ἄγον ἄνδρεσ ἐπ' ἠεροϝειδέα πόντον,
'στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἷοσ δὲ Πριάμοιο Λυκάονοσ ὦνον ἔδωκε 746 cf. Φ 41
Πατρόκλωι ἥρωϊ Ἰησονίδησ Εὔνηοσ.
καὶ τὸν Ἀχιλλεὺσ 'θῆκεν ἀέθλια ϝοῖ' ἑτάροιο,
ὅσ τισ ἐλαφρότατοσ ποσσὶ κραιπνοῖσι πέλοιτο·

---

725. *ϝ'] addidimus.
727. ἔπεσ' A] ἔβαλ' Ω.
730. ϝ' Brandreth] τ'.
731. ἐν] ἓν interpretabatur Leptines (vitiose pro ἕτερον).
732. πλησίοι] -ον pap. 128 D (cf. Z 54).
735. ἐρείδεσθον] ἐρίδεσθον C T (cf. vs. 792), hinc ἐρίζεσθον G (quod est παραδιορθοῦντοσ). Cf. M 457 Π 736.
736. ἀμφοτέροιιν Bekker] -ροισιν.
— *ἀέθλια] ἀέθλια δ' Ω, ἄεθλα δὲ Bentley.
737. ἀεθλεύωσιν] -σωσιν D T.
739. ἀπομορξαμένω] -νοι pap. 128 D T.
— 'δύσοντο § 152[3]] -σαντο.
741. ἓξ] neglecto ϝ.
743. Spurius? Sidoniorum nomen propter vs. 744 molestum; praeterea suspicionem movent πολυδαίδαλοσ non de artis opere sed de ipso artifice dictum et syllaba Σι- correpta.
748. ἀέθλια Bekker] -ον (cf. vs. 587).

δευτέρωι αὖ βοῦν 'θῆκε μέγαν καὶ πίονα δημῶι,
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκε.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργεῖοισιν ἔϝειπε· 752 sq. = 706 sq.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε."
ὣσ ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆοσ ταχὺσ Αἴασ, 754 = 488
ἂν δ' Ὀδυσεὺσ πολύμητισ, ἔπειτα δὲ Νέστοροσ υἱὸσ
Ἀντίλοχοσ, ὃ γὰρ αὖτε νέουσ ποσὶ πάντασ ἐνίκα.
'στὰν δὲ μεταστοιχί, 'σήμηνε δὲ τέρματ' Ἀχιλλεύσ. 757 = 358
τοῖσι δ' ἀπὸ νύσσησ 'τέτατο δρόμοσ· ὦκα δ' ἔπειτα 758ᵃ = θ 121
ἔκφερ' Ὀιλεΐδησ, ἐπὶ δ' ὤρνυτο δῖοσ Ὀδυσσεὺσ
ἄγχι μάλ', ὡσ ὅτε τίσ τε ἐυζώνοιο γυναικὸσ 760ᵇ = Α 429
στήθεόσ ἐστι κανών, ὅν τ' εὖ μάλα χερσὶ τανύσσηι
πηνίον ἐξέλκουσα παρ' ἐκ μίτον, ἀγχόθι δ' ἴσχει
στήθεοσ· ὣσ Ὀδυσεὺσ ἔθε' ἐγγύθεν, αὐτὰρ ὄπισθε
ἴχνε' ἔτυπτε πόδεσσι πάροσ κόνιν ἀμφιχυθῆναι·
κὰδ δ' ἄρα ϝοι κεφαλῆσ 'χέ' ἀυτμένα δῖοσ Ὀδυσσεὺσ
αἰεὶ ῥίμφα θέων· 'ϝίϝαχον δ' ἐπὶ πάντεσ Ἀχαιοὶ
νίκησ ϝιεμένωι, μάλα δὲ σπεύδοντ' ἐκέλευον.
ἀλλ' ὅτε δὴ πύματον 'τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺσ 768ᵃ = 373
ηὔχετ' Ἀθηναίηι γλαυκώπιδι ϝὸν κατὰ θυμόν·
„κλῦθι, θεά· ἀγαθή μ' ἐπιτάρροθοσ ἐλθὲ ποδοῖιν."
ὣσ ἔφατ' εὐχόμενοσ· τοῦ δ' ἔκλυε Παλλὰσ Ἀθήνη, 771 = Ε 121
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδασ καὶ χεῖρασ ὕπερθε. 772 = Ε 122
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον, 773ᵃ cf. Κ 365
ἔνθ' Αἴασ μὲν ὄλισθε θέων, — 'βλάψεν γὰρ Ἀθήνη, —
τῆι ῥα βοῶν 'κέχυτ' ὄνθοσ ἀποκταμένων ἐριμύκων,
οὖσ ἐπὶ Πατρόκλωι 'πέφνεν πόδασ ὠκὺσ Ἀχιλλεύσ·
ἐν δ' ὄνθου βοέου 'πλῆτο στόμα τε ῥῖνάσ τε.

---

750. καὶ πίονα] καταπίονα l. a. ant. (cf. δ 72).
751. λοισθήϊ' Ar.] λοισθῆϊ olim alii et nunc Ω (!). Cf. vs. 785.
753. πειρήσεσθε] -σθον Zen. pap. 128 (cf. vs. 707).
757. Ar. —, om. pap. 128.
759. ἔκφερ'] ἔκθορ' Zen.
— Ὀιλεΐδησ Knight] Ὀιλιάδησ Ω, ὁ Ἰλιάδησ Zen.; cf. Β 527 et Μ 365.
760. ἐυζώνοιο γυναικὸσ Nauck] γυναικὸσ ἐυζώνοιο. Cf. § 3 et Α 429.
761. χερσὶ] χειρὶ pap. 128 C (cf. Α 585).
762. ἀγχόθι δ'] * ἄγχι δέ ϝ'? Cf. § 318[1].
764. ἴχνε'] cf. Ν 71.
767. ϝιεμένωι] -νοι pap. 128 Ambr. D. Cf. vs. 371.
770. *μ' ἐπιτάρροθοσ] μοι ἐπίρροθοσ. Cf. Δ 390.
772. Ar. —
773. ἔμελλον] -λλεν pap. 128.
— ἐπαΐξεσθαι pap. 128] -ξασθαι Ω.
777. ῥῖνασ] -νεσ Syr.

κρητῆρ' αὖτ' ἀνάειρε πολύτλασ δῖοσ Ὀδυσσεύσ, 778 cf. 729
ὠσ ἦλθε φθάμενοσ· ὃ δὲ βοῦν ἕλε φαίδιμοσ Αἴασ.
'στῆ δὲ κέρασ μετὰ χερσὶν ἔχων βοὸσ ἀγραύλοιο, 780 cf. Ω 81 μ 253
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔϝειπε·
„ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδασ, ἣ τὸ πάροσ περ
μήτηρ ὣσ Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει.“
ὣσ ἔφαθ', οἳ δ' ἄρα πάντεσ ἐπ' αὐτῶι ϝηδὺ 'γέλασσαν. 784 = υ 358 φ 376
Ἀντίλοχοσ δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον
μειδιάων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔϝειπε·
„ϝειδόσι πᾶσ' ὔμιν ϝερέω, φίλοι, ὡσ ἔτι καὶ νῦν 787[a] cf. Κ 250
ἀθάνατοι τίουσι παλαιοτέρουσ ἀνθρώπουσ.
Αἴασ μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερόσ ἐστι,
οὗτοσ δὲ προτέρησ γενεῆσ προτέρων τ' ἀνθρώπων, —
ὠμογέροντα δέ μιν φασ' ἔμμεναι, — ἀργαλέοσ δὲ
ποσσὶν δηρίσασθ' ἄλλοισ', εἰ μὴ Ἀχιλῆϊ.“
ὣσ 'φάτ', ἐκύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
τὸν δ' Ἀχιλεὺσ μύθοισιν ἀμειβόμενοσ προσέϝειπε·
„Ἀντίλοχ', οὐ μέν τοι μέλεοσ ϝεϝρήσεται αἶνοσ,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῖ' ἐπιθήσω.“
ὣσ ϝειπὼν ϝ' ἐν χέρσ' ἐτίθει, ὃ δ' ἐδέξατο χαίρων. 797 = Λ 446

αὐτὰρ Πηλεΐδησ κατὰ μὲν δολιχόσκιον ἔγχοσ 798 = 884
'θῆκ' ἐσ ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν, 799[a] = 886
τεύχεα Σαρπήδοντοσ, ἅ μιν Πάτροκλοσ ἀπέϝρα. 800 cf. Π 663 sqq.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργείοισιν ἔϝειπε· 801 = 271
„ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω, 802 = 659
τεύχεα ϝεσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,

---

782. πόποι] φίλοι pap. 128.

785. δὴ] om. pap. 128[1], οἱ Syr. (quod est lacunam perperam explentis).

787. ϝειδόσι πᾶσ' ὔμιν (ὔμμιν) ϝερέω Menrad] εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν.

788. τίουσι § 165] τιμῶσι.

791. ἀργαλέοσ] -ον pap. 128.

792. δηρίσασθ' Naber] ἐριδήσασθαι Ω, ἐριζήσασθαι v. l. in Ar. comment. et fortasse pap. 128[1], ἐριζέμεναι Brandreth, ἐρίζεσθαι Lange, Menrad πόσσ' ἐριδαίνεσθαι (melius ἐριδαινέμεναι coll. Α 574 al.), Nauck πρόσ μιν ἐρίζεσθαι. Cf. § 221 et ϑ 76.

— ἄλλοισ' Lange] Ἀχαιοῖσ Ω, Δαναοῖσ' Brandreth.

— εἰ μὴ Ἀχιλῆϊ Brandreth] εἰ μὴ Ἀχιλλεῖ. Cf. § 76.

797. *ϝ'(οι)] addidimus.

798—883. Sequioris sunt poetae neque contextui satis apta.

800. ἀπέϝρα § 150[5]] ἀπηύρα.

808. ἑλόντε] -ντων D (om. vs. 804).

ἀλλήλων προπάροιϑεν ὁμίλου πειρηϑῆναι.
ὁππότερόσ κε φϑήηι ὀρεξάμενοσ χρόα καλόν,
ψαύσηι δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα, 806ᵇ = K 298
τῶι μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπέϝραν· 808 cf. Φ 183; 808ᵇ cf. 560
τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσϑων,
καί σφιν δαῖτ' ἀγαϑὴν παραϑήσομεν ἐν κλισίηισι.“
ὣσ ἔφατ', ὦρτο δ' ἔπειτα μέγασ Τελαμώνιοσ Αἴασ, 811 = 708
ἂν δ' ἄρα Τυδεΐδησ ὦρτο κρατερὸσ Διομήδησ. 812 cf. 290
οἳ δ' ἐπεὶ οὖν ϝεκάτερϑεν ὁμίλου 'ϑωρήχϑησαν, 813 = Γ 340
εἰσ μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσϑαι, 814 sq. cf. Γ 341; 814 cf. Z 120 [sq.
δϝεινὸν δερκομένω, ϑάμβοσ δ' ἔχε πάντασ Ἀχαιούσ.
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντεσ, 816 cf. Γ 15
τρὶσ μὲν ἐπήϊξαν, τρὶσ δὲ σχεδὸν ὡρμήϑησαν.
ἔνϑ' Αἴασ μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐϝίσην
'νύξ', οὐδὲ χρό' ἵκανεν, ἔρυτο γὰρ ἔνδοϑι ϑώρηξ·
Τυδεΐδησ δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεοσ μεγάλοιο
αἰὲν ἐπ' αὐχέν' ἔκυρε φαεινοῦ δουρὸσ ἀκωκῆι. 821ᵇ cf. Δ 253
καὶ τότε δή ῥ' Αἴαντι περιδϝείσαντεσ Ἀχαιοὶ
παυσαμένουσ ἐκέλευσαν ἀέϑλια ϝῖσ' ἀνελέσϑαι.
αὐτὰρ Τυδεΐδηι 'δῶκεν μέγα φάσγανον ἥρωσ
σὺν κολεῶι τε φέρων καὶ ἐυ τμητῶι τελαμῶνι. 825 = H 304

αὐτὰρ Πηλεΐδησ 'ϑῆκεν σόλον αὐτοχόανον,
ὃν πρὶν μὲν 'ῥίπτεσκε μέγα σϑένοσ 'Ηετίωνοσ·

---

804. Non legit Nicanor (neque Ar.?), om. pap. 128 A¹ (neque in textu habuit huius archetypum) D T¹; sine vitio tamen omitti non potuit, nisi mutarentur vicini.

805 sq. *ὁππότερόσ κε πρόσϑεν ἐπιγράψασ χρόα καλὸν | φϑήηι ἐπευξάμενοσ διά τ' ἔντεα καὶ φόνον ἀνδρῶν* Aristoph. (?). Ar. versum 806 ——, caedem suo iure hinc alienam ratus (cf. vs. 809 sq.!); neque intellegi possunt ipsa verba (ignotam vocem *ἐνδίνων* Ar. interpretabatur *viscerum*). Requiritur: *qui prior sanguinem adversarii profluere fecerit*, aptum igitur foret e. g.: *ὁππότερόσ κε φϑήηι ἐπιγράψασ χρόα δουρί* (omisso vs. 806).

805. *φϑήηι* Anecd. Ox. 480] *φϑῆισιν*. Cf. § 122.

808. *ἀπέϝραν* § 150⁵] *ἀπηύρων*.

810. Ar. ——

814. *ἀμφοτέρω* A] *-ρων* Ω (ut Z 120).

815. *δερκομένω*] *-μενοι* D.

— *ἔχε*] *ἕλε* pap. 128.

— *πάντασ Ἀχαιούσ*] *εἰσορόωντασ* T (ut Γ 342).

819. Thoracis mentio cum per se suspecta (cf. vs. 799 sq. et Γ 332 sq.), tum in hoc contextu molestissima. Facilius intellegerentur haec e. g.: *ἐϝίσην | οὔτασε, Τυδεΐδησ δὲ ὑπὲρ σάκεοσ μεγάλοιο | κτέ.*

821. *ἀκωκῆι* pap. 128² D²] *-κήν* Ω.

824 sq. Aristoph. Ar. ——

826. *αὐτοχόανον* § 5 et 191] *-χόωνον*.

827. *'ρίπτεσκε* § 146] *ῥίπτασκε*.

ἀλλ' ἦ τοι τὸν ἔπεφνε ποδάρκησ δῖοσ Ἀχιλλεύσ,
τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
'στῆ δ' ὀρθὸσ καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· 830 sq. = 706 sq.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
εἴ ϝοι καὶ μάλα πολλοὶ ἀπόπροθι πίονεσ ἀγροί, 832 cf. ι 85 — 832b cf. δ 757
ἕξει μιν καὶ πέντε περιπλομένουσ ἐνιαυτοὺσ 833b cf. α 16 λ 248
χρεώμενοσ· οὐ μὲν γάρ ϝοι ἀτεμβόμενόσ γε σιδήρου
ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' εἰσ πόλιν, ἀλλὰ παρέξει."
ὣσ ἔφατ', ὦρτο δ' ἔπειτα μενεπτόλεμοσ Πολυποίτησ,
ἂν δὲ Λεοντῆοσ κρατερὸν μένοσ ἀντιθέοιο,
ἂν δ' Αἴασ Τελαμωνιάδησ καὶ δῖοσ Ἐπειόσ.
ἑξείησ δ' ἵσταντο, σόλον δ' ἕλε δῖοσ Ἐπειόσ,
ἧκε δὲ δινήσασ· 'γέλασαν δ' ἐπὶ πάντεσ Ἀχαιοί.
δεύτεροσ αὖτ' ἀφέηκε Λεοντεύσ, ὄζοσ Ἄρηοσ·
τὸ τρίτον αὖτ' ἔρριψε μέγασ Τελαμώνιοσ Αἴασ
χειρὸσ ἄπο στιβαρῆσ, καὶ ὑπέρβαλε σήματα πάντων. 843b cf. θ 192
ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμοσ Πολυποίτησ,
ὅσσον τίσ τ' ἔρριψε καλαύροπα βουκόλοσ ἀνήρ,
ἡ δὲ ϝελισσομένη πέτεται διὰ βοῦσ ἀγελαίασ,
τόσσον παντὸσ ἀγῶνοσ ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
ἀνστάντεσ δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆασ ἔπι γλαφυρὰσ ἔφερον βασιλῆοσ ἄεθλον.

αὐτὰρ ὃ τοξευτῆισι 'τίθει ϝιόεντα σίδηρον,
κὰδ δ' ἐτίθει δέκα μὲν πελέκυσ, δέκα δ' ἡμιπέλεκκα,
ἱστὸν δ' ἔστησεν νηὸσ κυανοπρώιροιο 852 cf. 878
τηλόθ' ἐπὶ ψαμάθοισ', ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῆι μηρίνθωι 'δῆσεν ποδόσ, ἧσ ἄρ' ἄνωγε
τοξεύειν· „ὃσ μέν κε βάλῃι τρήρωνα πέλειαν,

---

832. πολλοί Doederlein] πολλόν.
834. χρεώμενοσ· οὐ μὲν] χρηόμενοσ· οὐ Knight (cf. § 8 et 190).
843. Ar. —, quod *duorum* competitorum signa adiectivo πάντα non possint indicari. — πάντων] πάντα G L (ut θ 192); *κείνων? Suspicamur κείνων et πάντα in unum πάντων confluxisse.
844. δὴ] μὲν A[1].
846. δὲ pap. 128 O] δέ θ' vel δέ τ' Ω.
848. ἀνστάντεσ] ἀστάντεσ pap. 128 (cf. Π 281 et § 10).
851 et 856. πελέκυσ § 75] -κεασ.
854. ποδόσ] πόδα l. a. ant.
— ἧσ ἄρ'] ἧσ γὰρ et ὣσ γὰρ l. a. ant.
— ἄνωγε § 225] ἀνώγει.

πάντασ ἀειράμενοσ πελέκυσ ϝοῖκόνδε φερέσθω·
ὃσ δέ κε μηρίνθοιο τύχηι, ὄρνιθοσ ἁμαρτών, —
ἥσσων γὰρ δὴ κεῖνοσ, — ὃ δ' οἴσεται ἡμιπέλεκκα."
ὣσ ἔφατ', ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ϝάνακτοσ,
ἂν δ' ἄρα Μηριόνησ θεράπων ἐὺσ Ἰδομενῆοσ. 860 = 888 cf. 528
κλήρουσ δ' ἐν κυνέηι χαλκήρεϊ 'πάλλον ἑλόντεσ, 861 = Γ 316
Τεῦκροσ δὲ πρῶτοσ κλήρωι ἔλαχ'. αὐτίκα δ' ἰὸν
ἧκεν ἐπικρατέωσ, οὐδ' ἠπείλησε ϝάνακτι
ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. 864 = Δ 102
ὄρνιθοσ μὲν ἅμαρτε, — 'μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων, —
αὐτὰρ ὃ μήρινθον 'βάλε πὰρ πόδα, τῆι 'δέδετ' ὄρνισ.
ἀντικρὺ δ' ἀπὸ μήρινθον 'τάμε πικρὸσ ὀιστόσ.
ἣ μὲν ἔπειτ' ἤϊξε πρὸσ οὐρανόν, ἣ δὲ παρείθη
μήρινθοσ ποτὶ γαῖαν· ἀτὰρ 'κελάδησαν Ἀχαιοί.
σπερχόμενοσ δ' ἄρα Μηριόνησ ἐξείρυσε χειρὸσ
τόξον, — ἀτὰρ δὴ ὀιστὸν ἔχεν πάλαι, — ὡσ ἰθύνοι.
αὐτίκα δ' ἠπείλησε ϝεκηβόλωι Ἀπόλλωνι
ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. 873 = Δ 102
ὕψι δ' ὑπὸ νεφέων ἔϝιδε τρήρωνα πέλειαν·
τῆι ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτέρυγοσ 'βάλε μέσσην,
ἀντικρὺ δὲ διῆλθε βέλοσ. τὸ μὲν ἂψ ἐνὶ γαίηι 876ᵃ = τ 458 cf. Ε 100
πρόσθεν Μηριόναο 'πάγη ποδόσ· αὐτὰρ ἡ ὄρνισ
ἱστῶι ἐφεζομένη νηὸσ κυανοπρώιροιο 878 cf. 852
αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πύκν' ἐλίασθεν,
ὠκὺσ δ' ἐκ μελέων θυμὸσ 'πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε. λαοὶ δ' αὖ 'θηέοντό τε 'θάμβησάν τε. 881 = 728
ἂν δ' ἄρα Μηριόνησ πελέκυσ δέκα πάντασ ἄειρε,
Τεῦκροσ δ' ἡμιπέλεκκα 'φέρεν κοίλασ ἐπὶ νῆασ.

---

856. *ϝοῖκόνδε*] *κλισίηνδε* Syr. (ut vs. 58, 275, 662).

864. Om. pap. 128 Syr. T.

865. *οἱ*] neglecto *ϝ*, *δέ ϝοι* Heyne, an **τὸ γάρ ϝ' ἐμέγηρεν Ἀ.*?

870 sq. *ἐξείρυσε—ὀιστὸν*] sic Ar., *ἐξείλετο τόξον | χερσίν· ἀτὰρ δὴ ὀιστὸν* Antimachus sec. schol. A, *ἐξείρυσε Τεύκρου | τόξον· χερσὶ δ' ὀιστὸν* idem sec. schol. T et Eust., *ἐπεθήκατ' ὀιστὸν | τόξωι, ὃν ἐν χείρεσσιν* Mass. (sic scripsimus: *ἐν γὰρ πᾶσιν* schol. A, *ἐν γὰρ χείρεσσιν* schol. T; edi solet *ἐν γὰρ χερσίν*, cum vitio metrico, § 14).

871. *ἰθύνοι* Voss] *ἴθυνε*. Cf. ε 255.

874. *ὑπὸ* Syr.] *ὑπαὶ* Ω. Cf. § 315[2].

— *ἔϝιδε*] *ἴδεδε* pap. 128, *ἴδετο* Syr.

875. *μέσσην*] *μέσσον* pap. 128[1], *μέσσησ* C.

876. *ἐνὶ* Nauck] *ἐπὶ* Ω (cf. Ζ 213 et Λ 55).

879. *(ἐ)λίασθεν*] *λιάσθη* pap. Mass. et 128 (-*θηι*), *λίασσεν* Ar.

882. *πελέκυσ* § 75] -*κεασ*.

— *ἄειρε*] *ἀέθλουσ* pap. 128[2].

αὐτὰρ Πηλεΐδησ κατὰ μὲν δολιχόσκιον ἔγχοσ, 884 = 798
κὰδ δὲ λέβητ' ἄπυρον, βοὸσ ἄξιον, ἀνθεμόεντα 885 cf. γ 440
'θῆκ' ἐσ ἀγῶνα φέρων· καί ῥ' ἥμονεσ ἄνδρεσ ἀνέσταν. 886a = 799
ἂν μὲν ἄρ' Ἀτρεΐδησ εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνησ, θεράπων ἐὺσ Ἰδομενῆοσ. 888 = 860
τοῖσι δὲ καὶ μετέϝειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ·
„Ἀτρεΐδη, ϝίδμεν γὰρ ὅσον προβέβηκασ ἁπάντων 890b cf. Z 125
ἠδ' ὅσσον δυνάμι τε καὶ ἥμασιν ἔπλε' ἄριστοσ, —
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλασ ἐπὶ νῆασ
ἔρχε', ἀτὰρ δόρυ Μηριόνηι ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῶι θυμῶι ἐθέλεισ· κέλομαι γὰρ ἐγώ γε.“ 894a cf. P 488 sq.
ὣσ ἔφατ', οὐδ' ἀπίθησε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων. 895 = B 441
'δῶκε δὲ Μηριόνηι δόρυ χάλκεον· αὐτὰρ ὅ γ' ἥρωσ
Ταλθυβίωι κήρυκι 'δίδου περικαλλὲσ ἄεθλον.

Ἕκτοροσ λύτρα.

Ω 'λύτο δ' ἀγών, λαοὶ δὲ ἐϝὴν ἐπὶ νῆα ϝέκαστοσ 1b = T 277
ἐσκίδναντ' ἴμεναι. τοὶ μὲν δόρποι' ἐμέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι, αὐτὰρ Ἀχιλλεὺσ
'κλαῖε φίλοι' ἑτάρου μεμνημένοσ, οὐδέ μιν ὕπνοσ 4b cf. ι 372
ἥιρεε πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα, 5a = ι 373
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένοσ ἠὺ
ἠδ' ὁπόσα 'τολύπευσε σὺν αὐτῶι καὶ 'πάθε ϝέργα,
ἀνδρῶν τε πτολέμυσ ἀλεγεινά τε κύματα πείρων. 8 = θ 183 ν 91, 264
τῶν μιμνησκόμενοσ θαλερὸν κατὰ δάκρυον εἶβε, 9a cf. 167; 9b cf. λ 391
ἄλλοτ' ἐπὶ πλευρὰσ κατακείμενοσ, ἄλλοτε δ' αὖτε 10 cf. Σ 159
ὕπτιοσ, ἄλλοτε δὲ πρηνήσ· τοτὲ δ' ὀρθὸσ ἀναστὰσ

---

886. ῥ' ἥμονεσ] ῥήμονεσ olim interpretabantur quidam (= ῥήτορεσ).

894. ἐθέλεισ Syr. C D T] -λοισ A (cf. P 489).

1. ἐϝὴν ἐπὶ νῆα ϝέκαστοσ Heyne] θοὰσ ἐπὶ νῆασ ἕκαστοι. Cf. T 277 Ψ 8 (Α 606 Ι 656, 712 al.); similia sunt vitia β 258 ν 76 σ 428 ω 188.

6. ἀνδροτῆτα] ἀδροτῆτα H Gen. (cf. Π 857 et § 28).

6—9. Aristoph. Ar. —— (utpote εὐτελεῖσ, quapropter Aristarchus ἐμβρόντητοσ vocatur in schol. B).

7. ὁπόσα 'τολύπευσε] -σ' ἐκτ. Barnes coll. Hes. Scut. 44.

— ϝέργα] sic (ἔργα) olim „αἱ δημώδεισ“, ἄλγεα Ar. Ω (ut ν 263; cf. § 71).

8. πείρων] sic Ar., πειρῶν Pamphilus.

11. δὲ] δὴ Syr. A.

'δινεύεσκ' ἀλύων παρὰ θῖν' ἀλόσ. οὐδέ μιν ἠὼσ 12b sq. cf. χ 197 sq.
φαινομένη 'λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνασ τε,
ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέασ ἵππουσ, 14 cf. γ 478
Ἕκτορα δ' ἕλκεσθαι 'δησάσκετο δίφρου ὄπισθε·
τρὶσ ϝερύσασ περὶ σῆμα Μενοιτιάδαο θανόντοσ
αὖτισ ἐνὶ κλισίηι 'παυέσκετο, τὸν δ' ἐάεσκε
ἐν κόνι' ἐκτανύσασ προπρηνέα. τοῖο δ' Ἀπόλλων
πᾶσαν ἀϝεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων,
καὶ τεθνηότα περ· περὶ δ' αἰγίδι πάντ' ἐκάλυπτε
χρυσείηι, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων. 21 cf. Ψ 187
ὣσ ὃ μὲν Ἕκτορα δῖον ἀϝείκιζεν μενεαίνων.
τὸν δ' ἐλεαίρεσκον μάκαρεσ θεοὶ εἰσοράοντεσ,
κλέψαι δ' ὠτρύνεσκον ἐύσκοπον Ἀργεϊφόντην. 24 cf. 109
ἔνθ' ἄλλοισ μὲν πᾶσιν ἐϝάνδανεν, οὐδέ ποθ' Ἥρηι
οὐδὲ Ποσειδάων' οὐδὲ γλαυκώπιδι κούρηι,
ἀλλ' ἔχον ὥσ σφι πρῶτον ἀπήχθετο Ϝίλιοσ ἱρὴ 27b sq.a = Θ 551 [sq.
καὶ Πρίαμοσ καὶ λαόσ, Ἀλεξάνδροι' ἕνεκ' ἀρχῆσ, 28b = Γ 100 Ζ 356
ὃσ 'νείκεσσε θεὰσ ὅτε ϝοι μέσσαυλον ἵκοντο, 29b = κ 435
τὴν δ' ἤινεσσ', ἥ ϝοι 'πόρε μαχλοσύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη 'γένετ' ἠώσ, 31 = Α 493
καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβοσ Ἀπόλλων· 32 cf. h. Ap. 180
„σχέτλιοί ἐστε, θεοί, δηλήμονεσ! οὔ νύ ποθ' ὔμιν 33 cf. ε 118
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων; 34b = Α 66
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι
ϝῆι τ' ἀλόχωι ϝιδέμεν καὶ μητέρι καὶ τέκεϊ ϝῶι

---

12. In accusativum conversa sic affert Plato Rep. 388 *a*: *πλωΐζοντ' ἀλύοντ' ἐπὶ θῖν' ἁλὸσ ἀτρυγέτοιο*, in quibus *ἀτρυγέτοιο* additum est ad versum explendum, *ἐπὶ* pro *παρὰ* dictum est ut constaret ratio numerorum, in corrupto *πλωΐζοντ'* quid lateat incertum (*αἰάζοντ'* Naber).

16. *ϝερύσασ* Heyne] *δ' ἐρύσασ*.

17. *τὸν δ' ἐάεσκε* Knight] *τόνδε δ'* (*τ'* Syr.) *ἔασκεν*.

20 sq. Ar. ——

— *αἰγίδι ... χρυσείηι*] *-δα ... -ην* Ar. (cf. Ξ 343 Φ 321).

20. (*ἐ*)*κάλυπτε*] *κάλυψε* l. a. in A.

23—30. Obelis notatos esse ait schol. T, sed servandum potius videri versum 28; vs. 25—30 Ar. —— sec. schol. A. Si cuncti omittantur, non bene procedat narratio; sed versus 29 sq. videntur postmodo inserti, certe a prisco mytho sunt alieni.

28. *ἀρχῆσ* pap. 128] *ἄτησ* (Ar.?) Ω (cf. Γ 100 Ζ 356).

30. *ἤινε(σ)σ'* C] *-νησ'* Ω. Cf. § 295.

— *'πόρε μαχλοσύνην ἀλεγεινήν*] *κεχαρισμένα δῶρ' ὀνόμηνε* Aristoph. et quaedam „*τῶν κατὰ πόλεισ*."

33. *οὔ νυ*] *οὐδέ* A.

— *ποθ'*] *καὶ* pap. 128.

καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήειαν καὶ ἐπὶ κτέρεα κτερίσειαν. 38b cf. α 291 γ 285
ἀλλ' ὀλοῶι Ἀχιλῆϊ, θεοί, βούλεσθ' ἐπαρήγειν,
ὧι οὔτ' ἂρ φρένεσ εἰσὶν ἐναίσιμοι οὔτε νόημα 40 cf. σ 220
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣσ ἄγρια ϝοῖδε,
| ὅσ τ' ἐπεὶ ἂρ μεγάληι τε βίηι καὶ ἀγήνορι θυμῶι
ϝείξασ εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβηισι·
ὣσ Ἀχιλεὺσ ἔλεον μὲν ἀπώλεσεν, οὐδέ ϝοι αἰδώσ.
μέλλει μήν ποθί τισ καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν.
ἀλλ' ἦ τοι κλαύσασ καὶ ὀδυράμενοσ μεθέηκε·
τλητὸν γὰρ Μοῖραι θυμὸν 'θέσαν ἀνθρώποισι.
αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπέϝρα, 50b = Φ 201
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο 51b sq.a cf. 416 sq.
ἕλκει. οὐ μέν ϝοι τό γε κάλλιον οὐδέ τ' ἄμεινον· 52 cf. η 159
μή ϝ' ἀγαθῶι περ ἐόντι νεμεσσηθήομεν ἧμεσ!
κωφὴν γὰρ δὴ γαῖαν ἀϝεικίζει μενεαίνων."
τὸν δὲ χολωσαμένη προσέφη λευκώλενοσ Ἥρη·
„εἴη κεν καὶ τοῦτο τεὸν ϝέποσ, ἀργυρότοξε, 56a cf. ο 485
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητόσ τε γυναῖκά τε 'θήσατο μαζόν·
αὐτὰρ Ἀχιλλεύσ ἐστι θεᾶσ γόνοσ, ἣν ἐγὼ αὐτὴ
'θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρ' ἔπορον παράκοιτιν,
Πηλέϊ, ὃσ περὶ κῆρι φίλοσ 'γένετ' ἀθανάτοισι.

45 γίγνεται, ἥ τ' ἄνδρασ μέγα σίνεται ἠδ' ὀνίνησι. 45 cf. Hes. Op. 318

38. κήειαν § 113] κήαιεν Ar. Ω.
— κτερίσειαν l. a. in schol.] κτερίσαιεν Ar. et plerique codd., κτερεουσιν pap. 128. Cf. Α 42 et § 113.
42 sq. Non decurrit oratio; pro ϝείξασ Nicanor coniecit εἴξηισ', Bentley ϝείξασκ', vChrist ὃσ ϝείξασ ... | σεύηται, quocum initio commatis sedem mali quaerentes pro ὅσ τ' ἐπεὶ ἂρ tentavimus *σίντησ, ὃσ (coll. Υ 165). Vitium ex loco simillimo Ρ 658 irrepsisse suspicamur.
45. Ar. —— (cf. Ι 63 sq.).
— ἠδ'] ἧ δ' quidam olim interpretabantur (coll. Eur. Hipp. 385 sq.).
46. μήν § 18] μέν.
48. ὀδυράμενοσ] -ρόμενοσ pap. 128 T.
49. τλητὸν] τλήμονα (ut Ε 670) Nauck. Cf. λ 38.
50. ἀπέϝρα § 150[5]] ἀπηύρα.
52. ἕλκει. οὐ] vitium metricum (cf. vs. 417 et § 14).
— μέν § 18] μήν. Cf. η 159.
58. Quidam olim —— (teste schol. T).
53. *ϝ'(οι) ... νεμεσσηθήομεν] νεμεσσηθῶμέν οἱ Ω (-θέωμέν οἱ Ar., -θῶμέν οἱ καὶ A), νεμεσσηθείομεν (omisso οἱ) Hermann. Cf. § 18, 122, 329.
59. γόνοσ] πάϊσ l. a. ant.
60. 'θρέψα τε καὶ] ἔθρεψ' ἠδ' Brandreth. Cf. Ο 290.

πάντες δ' ἀντιάεσθε, θεοί, γάμου· ἐν δὲ σὺ τοῖσι
'δαίνυσ' ἔχων φόρμιγγα κακῶν ἕταρ', αἰὲν ἄπιστε!" 63a cf. Δ 603
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσι.
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται, ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἦσκε θεοῖσι βροτῶν, οἳ ἐν Ἰλίωι εἰσί·
ὣς γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐϝίσης, 69 sq. = Δ 48 sq.
λοιβῆς τε κνίσης τε· τὸ γὰρ 'λάχομεν γέρας ἡμεῖς.
ἀλλ' ἦ τοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πηι ἔστι
λάθρηι Ἀχιλλῆος — θρασὺν Ἕκτορα· ἦ τέ ϝοι αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ. 73a cf. Δ 11 73b = Ε 490
ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο, 74 cf. Κ 111
ὄφρα τί ϝοι ϝείπω πυκινὸν ϝέπος, ὥς κεν Ἀχιλλεὺς
δώρων ἐκ Πριάμοιο λάχηι ἀπό θ' Ἕκτορα λύσηι." 76b = 116
ὣς ἔφατ', ὦρτο δὲ Ϝῖρις ἀελλόπος ἀγγελέουσα, 77 = Θ 409
μεσσηγὺς δὲ Σάμοιο καὶ Ἴμβρου παιπαλοέσσης 78 cf. Ν 33
ἔνθορε μείλανι πόντωι· ἐπεστονάχησε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνηι ϝικέλη εἰς βυσσὸν ὄρουσε,
ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα 81 cf. Ψ 780 μ 253
ἔρχεται ὠμεστῆισιν ἐπ' ἰχθύσι κῆρα φέρουσα.
ηὗρε δ' ἐνὶ σπέϊ γλαφυρῶι Θέτιν, ἀμφὶ δέ ϝ' ἄλλαι
ἥαθ' ὁμηγερέες ἅλιαι θεαί· ἡ δ' ἐνὶ μέσσηις 84a = 99
'κλαῖε μόρον ϝοῦ παιδὸς ἀμύμονος, ὅς ϝοι ἔμελλε

---

64. δ' ἀπαμειβόμενος] δὲ μέγ' ὀχθήσας l. a. ant. (item vs. 138).

66. γε μί'] γ' ὁμὴ vHerwerden (coll. vs. 57).

67. ἐν 'Ιλίωι] neglecto ϝ, Ϝιλίωι (om. ἐν) Heyne (coll. Ψ 631 al.).

71—73. Ar. —— (cf. vs. 23 –30).

71. ἐάσομεν] ἀμήχανον Antimach.

72. θρασὺν Ἕκτορα] νεκὺν Ἕκτορος poscitur in schol. T.

— ἦ] ἡ olim interpretabantur quidam, εὖ alii.

— τε Hermann] γάρ. An *ἦ δὲ?

74. θεῶν] θέων interpretabantur quidam.

78. Σάμοιο A[2] Strab. 339, 457] Σάμου τε Ω. Cf. Ν 33.

79. μείλανι] *ϝοίνοπι? Maris epitheton μέλας alibi non est (cf. tamen Η 64 al.) et perperam h. l. producitur με- (cf. § 27).

— ἐπεστονάχησε] -χιζε pap. 128.

80. ὄρουσε] ἵκανεν Plat. Ion. 538 d.

81. ἐμβεβαυῖα] ἐμμεμαυῖα Plat. l. l. et l. a. in A (υ—μ).

82. ὠμεστῆισιν] cf. Δ 454.

— ἐπ'] μετ' Plat. l. l.

— κῆρα] πῆμα Plat. l. l. et nonnullae „τῶν κατὰ πόλεις."

83. δέ ϝ' Brandreth] δ' ἄρ A C, δέ τ' Ω.

84. ἥαθ'] cf. Ο 10.

— μέσσηις] τῆισι Nauck (cf. § 57).

85. ϝοι] τάχ' Rhianus.

φθίσεσθ' ἐν Τροίηι ἐριβώλακι, τηλόθι πάτρησ. 86 cf. Π 461
ἀγχόθι δ' ἱσταμένη προσέφη πόδασ ὠκέα Ϝῖρισ· 87 = Β 790
„ὄρσο, Θέτισ· καλέει Ζεὺσ ἄφθιτα μήδεα ϝειδώσ.“ 88 cf. h. Cer. 321
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτισ ἀργυρόπεζα· 89 cf. Σ 127
„τίπτε με κεῖνοσ ἄνωγε, μέγασ θεόσ; αἰδέομαι δὲ
μίσγεσθ' ἀθανάτοισιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῶι. 91b = Γ 412
εἶμι μέν, οὐδ' ἅλιον ϝέποσ ἔσσεται, ὅττι κε ϝείπηι.“ 92 cf. 224 β 318
ὣσ ἄρα φωνήσασα κάλυμμ' ἕλε δῖα θεάων 93 cf. h. Cer. 42
κυάνεον, — τοῦ δ' οὔ τι μελάντερον ἔπλετο ϝέσθοσ. —
'βῆ δ' ἴμεναι, πρόσθεν δὲ ποδήνεμοσ ὠκέα Ϝῖρισ
ἡγέετ', ἀμφὶ δ' ἄρα σφι 'λιάζετο κῦμα θαλάσσησ.
ἀκτὴν δ' εἰσαναβᾶσαι ἐσ οὐρανὸν ἠϊχθήτην, 97a cf. Σ 68 [Δ 498
ηὗρον δ' εὐρύϝοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντεσ 98a = Ο 152 cf.
ἥαθ' ὁμηγερέεσ μάκαρεσ θεοὶ αἰὲν ἐόντεσ. 99a = 84; 99b = ι 7 θ 306
ἡ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, — 'ϝεῖξε δ' Ἀθήνη, — μ 371, 377
Ἥρη δὲ χρύσεον καλὸν δέπασ ἐν χέρ' ἔθηκε,
καί ϝ' ηὔφρηνε ϝέπεσσι· Θέτισ δ' ὤρεξε πιοῦσα.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε· 103 = Χ 167
„ἤλυθεσ Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
πένθοσ ἄλαστον ἔχουσα μετὰ φρεσί· ϝοῖδα καὶ αὐτόσ.
ἀλλὰ καὶ ὣσ ϝερέω τέο σ' εἵνεκα δεῦρ' ἐκάλεσσα.
ἐννῆμαρ δὴ νεῖκοσ ἐν ἀθανάτοισιν ὄρωρε
Ἕκτοροσ ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθωι·
κλέψαι δ' ὀτρύνουσιν ἐύσκοπον Ἀργεϊφόντην. 109 cf. 24
αὐτὰρ ἐγὼ τόδε κῦδοσ Ἀχιλλῆϊ προτιάπτω,
αἰδόα καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ' εἰσ στρατὸν ἐλθὲ καὶ υἱέι σῶι ἐπίτειλον· 112a = Δ 70
σκύζεσθαί ϝοι ϝειπὲ θεούσ, ἐμὲ δ' ἔξοχα πάντων 113 cf. 134; 113b = Ξ 257
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένηισι 114 = 135
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσε, 115 cf. 136
αἴ κέν πωσ ἐμέ τε δϝείσηι ἀπό θ' Ἕκτορα λύσηι. 116b = 76
αὐτὰρ ἐγὼ Πριάμωι μεγαλήτορι Ϝῖριν ἐφήσω

86. Ar. —— (in vs. 85 οἱ ad Achillem referens nimirum!).
87. ἀγχόθι δ'] cf. Β 172.
88. Θέτισ § 51] Θέτι. Cf. Σ 385.
97. εἰσαναβᾶσαι] ἐξ. Ar.; cf. Σ 68.
102. ϝ' Brandreth] ῥ'.
109. ὀτρύνουσιν Mass. et Chia] -νεσκον Ω (ut vs. 24).
110. προτιάπτω] προϊάπτω Zen. (item Ar. in quodam commentario). Cf. v. l. Ζ 487.

λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆασ Ἀχαιῶν, 118 sq. = 146 sq. 195 sq.
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἵκνηι."
ὣσ ἔφατ', οὐδ' ἀπίθησε θεὰ Θέτισ ἀργυρόπεζα,
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα· 121 = Β 167
ἷξεν δ' εἰσ κλισίην ϝοῖ' υἱέοσ. ἔνθ' ἄρα τόν γε
ηὗρ' ἀδινὰ στενάχοντα, φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
ἐσσυμένωσ ἐπένοντο καὶ ἠντύνοντ' ἄριστον· 124b = π 2a
τοῖσι δ' ὄισ λάσιοσ μέγασ ἐν κλισίηι ἱέρευτο.
ἡ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξε, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 127 = Α 361
„τέκνον ἐμόν, τέο μέχρισ ὀδυρόμενοσ καὶ ἀχεύων 128b = Ι 612
σὴν ἔδεαι κραδίην, μεμνημένοσ οὔτε τι σίτου
οὔτ' εὐνῆσ; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'. οὐ γάρ μοι δϝηρὸν βίε', ἀλλά τοι ἤδη 131b sq. = Π 852 sq.
ἄγχι παρέστηκεν θάνατοσ καὶ μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνεσ ὦκα, Διὸσ δέ τοι ἄγγελόσ εἰμι. 133 cf. Β 26
σκύζεσθαί σοί φησι θεούσ, ἐϝὲ δ' ἔξοχα πάντων 134 cf. 113
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένηισι 135 = 114
Ἕκτορ' ἔχεισ παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσασ. 136 cf. 115
ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα." 137b cf. Ζ 46
τὴν δ' ἀπαμειβόμενοσ προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„τῆιδ' εἴη· ὃσ ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
εἰ δὴ πρόφρονι θυμῶι Ὀλύμπιοσ αὐτὸσ ἀνώγει."
ὣσ οἵ γ' ἐν νηῶν ἀγύρι μήτηρ τε καὶ υἱὸσ
πολλὰ πρὸσ ἀλλήλουσ ϝέπεα πτερόεντ' ἀγόρευον. 142 cf. Γ 155
Ϝῖριν δ' ὤτρυνε Κρονίδησ εἰσ Ϝίλιον ἱρήν·
„βάσκ' ἴθι, Ϝῖρι ταχεῖα· λιποῦσ' ἕδοσ Οὐλύμποιο 144a = Θ 399
ἄγγειλον Πριάμωι μεγαλήτορι Ϝίλιον εἴσω,
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆασ Ἀχαιῶν, 146 sq. = 118 sq.
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἵκνηι, 147 sq. = 176 sq.
οἷον, μηδέ τισ ἄλλοσ ἅμα Τρώων ἴτω ἀνήρ.

---

119. Om. pap. 128.
122. ἔνθ' A D] ἐν δ' Ω.
124. ἠντύνοντ' ἄριστον] -ντο ἄριστον Ω, prisco more scriptum (cf. π 2 et § 13).
125. κλισίηι] sic Ar., -ηισ pap. 128.
126. καθέζετο] παρέζετο pap. 128.
130—132. Ar. — utpote indecoros.
131. βίε' § 194] βίηι.
138. δ' ἀπαμειβόμενοσ] cf. vs. 64.
139. τῆιδ'] τῆι l. a. in A.
— ἄποινα] δῶρα l. a. in A.
143. οἷον] sic Ar., οἷοσ l. a. ant.

κήρυξ τίσ ϝοι ἕποιτο γεραίτεροσ, ὅσ κ' ἰθύνοι 149 cf. 178
ἡμιόνουσ καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτισ 150 sq. = 179 sq.
νεκρὸν ἄγοι προτὶ ϝάστυ, τὸν ἔκτανε δῖοσ Ἀχιλλεύσ. [sqq.
μηδέ τί ϝοι θάνατοσ μελέτω φρεσί, μηδέ τι τάρβοσ· 152-154 cf. 181; 152 cf. Κ 383
τοῖον γάρ ϝοι πομπὸν ὀπάσσομεν Ἀργεϊφόντην, 153^a cf. δ 826
ὅσ ϝ' ἄξει, ἧόσ κεν ἄγων Ἀχιλῆϊ πελάσσηι. [sqq.
αὐτὰρ ἐπεί κ' ἀγάγηισιν ἔσω κλισίην Ἀχιλῆοσ, 155-158 = 185
οὔτ' αὐτὸσ κτενέει ἀπό τ' ἄλλουσ πάντασ ἐρύξει· 156 cf. κ 404
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοποσ οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέωσ ἱκέτεω πεφιδήσεται ἀνδρόσ."
ὣσ ἔφατ', ὦρτο δὲ Ϝῖρισ ἀελλόποσ ἀγγελέουσα· 159 = Θ 409
ἷξεν δ' εἰσ Πριάμοιο, 'κίχη δ' ἐνοπήν τε γόον τε.
παῖδεσ μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆσ
δάκρυσι ϝείματ' ἔφυρον, ὃ δ' ἐν μέσσοισι γεραιὸσ
ἐντυπὰσ ἐν χλαίνηι κεκαλυμμένοσ· ἀμφὶ δὲ πολλὴ 163^b-165 cf. Σ 23 sq.
κόπροσ ἔεν κεφαλῆι τε καὶ αὐχένι τοῖο γέροντοσ,
τήν ῥα κυλινδόμενοσ καταμήσατο χερσὶν ἑϝῆισι. 165^b cf. ι 482
θυγατέρεσ δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο,
τῶν μιμνησκόμεναι οἳ δὴ πολέεσ τε καὶ ἐσθλοὶ 167^a cf. 9
χερσὶν ὑπ' Ἀργείων 'κέατο ψυχὰσ ὀλέσαντεσ. 168 = Ν 763
'στῆ δὲ παρὰ Πρίαμον Διὸσ ἄγγελοσ, ἠδὲ προσηύδα
τυτθὸν φθεγξαμένη — τὸν δὲ τρόμοσ ἔλλαβε γυῖα —· 170^b cf. Γ 34
„θάρσεε, Δαρδανίδη Πρίαμε, φρεσί, μηδέ τι τάρβει.
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸσ δέ τοι ἄγγελόσ εἰμι, 173^b sq. = Β 26 sq.
ὅσ σε' ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
λύσασθαί σ' ἐκέλευσεν Ὀλύμπιοσ Ἕκτορα δῖον,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι, 176 sq. = 147 sq.
οἶον, μηδέ τισ ἄλλοσ ἅμα Τρώων ἴτω ἀνήρ.
κήρυξ τίσ τοι ἕποιτο γεραίτεροσ, ὅσ κ' ἰθύνοι 178 cf. 149
ἡμιόνουσ καὶ ἅμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτισ 179 sq. = 150 sq.
νεκρὸν ἄγοι προτὶ Ϝάστυ, τὸν ἔκτανε δῖοσ Ἀχιλλεύσ.

---

150. ἠδὲ] ἠ δὲ A, ἤ κε D T (cf. vs. 179).
154. ϝ'] add. Brandreth (coll. vs. 183).
155 et 184. ἐπεί κ' § 326] ἐπήν. An scribenda sunt ἐπεί ϝ' et ἐπεί σ' (cf. v. l. vs. 183 et Π 458 al.)?

160. 'κίχη § 208] κίχεν.
163. ἐν] ἧι l. a. ant.
165. ἑϝῆισι] φίλῃσι l. a. in A (ut ι 482).
179. ἠδὲ] ἠ δὲ A^1, ἠὲ pap. 114, ἤ κε pap. 128 A^2 D T (cf. vs. 150 et E 162).

μηδέ τί τοι θάνατοσ μελέτω φρεσὶ μηδέ τι τάρβοσ· — 181-188 cf. 152 sqq.
τοῖοσ γάρ τοι πομπὸσ ἅμ' ἕψεται Ἀργεϊφόντησ,
ὅσ σ' ἄξει, ἧόσ κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
αὐτὰρ ἐπεί κ' ἀγάγηισιν ἔσω κλισίην Ἀχιλῆοσ, — 184-187 = 156 sqq.
οὔτ' αὐτὸσ κτενέει ἀπό τ' ἄλλουσ πάντασ ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοποσ οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέωσ ἱκέτεω πεφιδήσεται ἀνδρόσ."
Ἦ μὲν ἄρ' ὣσ ϝειποῦσ' ἀπέβη πόδασ ὠκέα Ϝῖρισ, — 188 = Θ 425
αὐτὰρ ὅ γ' υἷασ ἅμαξαν ἐΰτροχον ἡμιονείην — 189^b = ζ 72
ὁπλίσαι ἤνωγεν, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆσ.
αὐτὸσ δ' εἰσ θάλαμον κατεβήσετο κηώεντα — 191 = ο 99 cf. Z 288
κέδρινον ὑψόροφον, ὃσ γλήνεα πόλλ' ἐκεχόνδει·
εἶσ δ' ἄλοχον Ϝεκάβην ἐκαλέσσατο 'φώνησέν τε·
„δαιμονίη, Διόθεν μοι Ὀλύμπιοσ ἄγγελοσ ἦλθε
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆασ Ἀχαιῶν, — 195 sq. = 118 sq.
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι.
ἀλλ' ἄγε μοι τόδε ϝειπέ, τί τοι φρεσὶ ϝείδεται εἶναι;
αἰνῶσ γάρ μ' αὐτόν γε μένοσ καὶ θυμὸσ ἀνώγει
κεῖσ' ἴμεναι ἐπὶ νῆασ ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν." — 199^b cf. Δ 229
ὣσ 'φάτ', ἐκώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθωι· — 200^a = β 361, 200^b = ο 434, 439
„ὤ μοι, πῆι δή τοι φρένεσ οἴχονθ', ἧισι πάροσ περ
κλείε' ἐπ' ἀνθρώπουσ ξείνουσ ἠδ' οἷσι ϝανάσσεισ;
πῶσ ἐθέλεισ ἐπὶ νῆασ Ἀχαιῶν ἐλθέμεν' οἶοσ, — 203 cf. 519
ἀνδρὸσ ἐσ ὀφθαλμούσ, ὅσ τοι πολέασ τε καὶ ἐσθλοὺσ — 204 = 520
υἱέασ ἐξενάριξε; σιδήρειόν νύ τοι ἦτορ. — 205 cf. 521
εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσι, —
ὠμεστὴσ καὶ ἄπιστοσ ἀνήρ, — ὅ δέ σ' οὐκ ἐλεήσει, — 207^b sq.^{a} cf. X 128 sq.

181—187. Del. Knight, quod Priamum nihil eiusmodi audivisse infra appareat.

184. ἐπεί κ'] cf. vs. 155.

190. ἤνωγεν § 225] ἠνώγει.

191. κηώεντα] cf. Γ 382.

192. (ἐ)κεχόνδει] ... ονδει pap. 128, κεχάνδει Ar. pap. 114 Ω (cf. § 221^5), κεκεύθει Mass.

198. ἀνώγει] ἄνωγε Ar.; cf. § 225.

200. ἀμείβετο] ἀνήρετο Ar.

201. ἧισι Nauck] ἧισ τὸ (ut M 346 al.). Cf. § 57 et O 256 al.

— περ] γε A^2 (cf. N 465).

202. *κλείε'] ἔκλε' Ω; cf. § 188. Fick κλεύε'(ο) coniecerat, quem ita sumus secuti ut *praesens* habeamus tempus (ut Δ 264 al.).

— ϝανάσσεισ] -σσεσ pap. 128.

205. ἐξενάριξε] ἐξήναξε quidam in schol. T („τῆσ ἀρχῆσ ἐξέβαλε" interpretati).

— Olim quidam addebant versum: ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντεσ vel: ἀ. π. οἳ οὐρανὸν εὐρὺν ἔχουσι.

207. ὠμεστὴσ] cf. Δ 454.

— δέ] γε pap. 114 D T.

— σ' οὐκ pap. 114^2] οὐ σ' Ω. Cf. X 128.

οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθε [φ 100
ἥμενοι ἐν μεγάρωι. τῶι δ' ὥσ ποθι μοῖρα κραταιὴ 209a cf. σ 316 τ 322
γιγνομένωι ἐπένησε λίνωι, ὅτε μιν 'τέκον αὐτή, 210 cf. Υ 128
ἀργίποδασ κύνασ ἆσαι, ἑϝῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῶι, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα! τότ' ἄντιτα ϝέργα γένοιτο
παιδὸσ ἐμοῖ', ἐπεὶ οὔ ϝε κακιζόμενόν γε κατέκτα,
ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων 215 cf. Χ 514
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆσ."
τὴν δ' αὖτε προσέϝειπε γέρων Πρίαμοσ θεοϝειδήσ·
„μή μ' ἐθέλοντ' ἴμεναι κατερύκανε, μηδέ μοι αὐτὴ
ὄρνισ ἐν μεγάροισι κακὸσ πέλε'· οὐδέ με πείσεισ.
εἰ μὲν γάρ τίσ μ' ἄλλοσ ἐπιχθονίων ἐκέλευε,
ἢ οἳ μάντιέσ εἰσι θυοσκόοι ἢ ἱερῆεσ,
ψεῦδόσ κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον· 222 = Β 81
νῦν δ', αὐτὸσ γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
εἶμι, καὶ οὐχ ἅλιον ϝέποσ ἔσσεται. εἰ δέ μοι αἶσα 224 cf. 92 β 318
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺσ
ἀγκὰσ ἑλόντ' ἐμὸν υἱόν, ἐπεὶ γόου ἐξ ἔρον εἵην!"
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνόϊγε,
ἔνθεν δώδεκα μὲν περικαλλέασ ἔξελε πέπλουσ,
δώδεκα δ' ἁπλοΐδασ χλαίνασ, τόσσουσ δὲ τάπητασ, 230 sq. = ω 276 sq.
τόσσα δὲ φάρεα καλά, τόσουσ δ' ἐπὶ τοῖσι χιτῶνασ,
ἐκ δὲ δύ' αἴθωνασ τρίποδασ, πίσυρασ δὲ λέβητασ,
ἐκ δὲ δέπασ περικαλλέσ, ὅ ϝοι Θρήϊκεσ 'πόρον ἄνδρεσ 234a cf. Δ 632

232 χρυσοῦ δὲ στήσασ ἔφερεν δέκα πάντα τάλαντα, 232 cf. Τ 247

209. ποθι] ποτε pap. 114.
210. 'τέκον αὐτή] [τέκ]ε μ[ήτ]ηρ pap. 128 (ex Υ 128).
213. τότ'] *καί? an *ἴν' (cf. μ 383)? — ἄντιτα] ἂν τιτὰ Apollodorus et Callistratus particulam ἄν (κε) desiderantes; sed cf. ρ 51, 60.
214. ϝε] sic (ἑ) Ar., τι pap. 114[1] (cf. Ο 716).
215. πρὸ] sic Ar., πρόσ pap. 114 et 128 D (ut Χ 514).
219. ἐν Gen.] ἐνὶ Ω (ενιμ pap. 114 et 128); cf. Μ 218.
224. ἅλιον ϝέποσ] ἄλλη ὁδὸσ (ut β 318) l. a. apud Eust.
227. ἐπεὶ § 326] ἐπήν. Cf. β 105 δ 222. — εἵην] *εἵμην? Cf. Ν 638.
228. ἀνόϊγε § 241] ἀνέωιγε. Cf. Π 221.
231. καλά pap. 128 D] λευκά pap. 114 A C T. Cf. ω 277 et Β 43 Κ 22.
232. Ex Τ insertum del. vChrist; non additur post ω 277.

ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
'φείσατ' ἐνὶ μεγάροισ' ὁ γέρων, περὶ δ' ἤθελε θυμῶι
λύσασθαι φίλον υἱόν.

ὃ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέϝεργε ϝέπεσσ' αἰσχροῖσιν ἐνίσσων·
„ϝέρρετε, λωβητῆρες, ἐλέγχεα. οὔ νυ καὶ ὕμιν
ϝοίκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
ἦ ὀνόσασθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε, 241[b] = B 375 Σ 431
παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὕμες.
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν'. αὐτὰρ ἐγώ γε,
πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖσι ϝιδεῖν, βαίην δόμον Ἄϝιδος εἴσω."
ἦ, καὶ σκηπανίωι δίεπ' ἀνέρας· οἳ δ' ἴσαν ἔξω, 247[a] = N 59
σπερχομένοιο γέροντος. ὃ δ' υἱάσι ϝοῖσιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Δηΐφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν.
ἐννέα τοῖσ' ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
„σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες· αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆισ' ἐπὶ νηυσὶ πεφάσθαι!
ὤ μοι ἐγὼ πανάποτμος! ἐπεὶ 'τέκον υἷας ἀρίστους 255 cf. 493
Τροίηι ἒν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι, 256 = 494
Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ', ὃς θεὸς ἦσκε μετ' ἀνδράσιν, οὐδ' ἐϝεϝοίκει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίηισιν ἄριστοι,

---

238. ἐνίσσων] ἐνίσπων Z, ἐνίπτων Eust. (cf. Γ 438).

239. ἐλέγχεα Ahrens] ἐλεγχέες. Cf. Δ 242.

240. ἔνεστι] ἔπεστι pap. 128 (cf. Α 55), ἐστι pap. 114 H L (cf. § 14).

241. ὀνόσασθ' Ar. T] ὀνόσεσθ' pap. 114[2], οὔνοσθ' (quod poposcerat Buttmann) pap. 128, οὔνεσθ' Ω, ὤνησθ' Fick (vetustam litteraturam vitii causam ratus). — ὅτι] ὅτε pap. 114[1]. — ἔδωκε] ἔθηκε A[2] T.

242. ὀλέσαι] *ὀλέσας? (cf. Φ 216 λ 318 μ 349 al.).

247. ἔξω] εἴσω pap. 114[1].

250. Ἀντίφονον] Ἀμφίφονον pap. 114[1].

253. κατηφόνες] sic Ar. Ω, κατηφέες Crates (ut ω 432), μεθήμονες vHerwerden (coll B 241 ζ 25).

ϝαρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρεσ.
οὐ κεν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;“
ὣσ ἔφαθ', οἳ δ' ἄρα πατρὸσ ὑποδϝείσαντεσ ὁμοκλὴν
ἐκ μὲν ἅμαξαν ἄειραν ἐύτροχον ἡμιονείην
καλὴν πρωτοπαγέα, πείρινθα δὲ 'δῆσαν ἐπ αὐτῆσ,
κὰδ δ' ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον
πύξινον ὀμφαλόεν, ἐὺ οἴηκεσσιν ἀρηρόσ·
ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῶι ἐννεάπηχυ.
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐὺ ξεστῶι ἐπὶ ῥυμῶι,
πέζηι ἔπι πρώτηι, — ἐπὶ δὲ κρίκον ἕστορ' ἔβαλλον, —
τρὶσ δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείησ κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
ἐκ θαλάμου δὲ φέροντεσ ἐὺ ξεστῆσ ἐπ' ἀπήνησ
'νήεον ῾Εκτορέησ κεφαλῆσ ἀπερείσι' ἄποινα,
'ζεῦξαν δ' ἡμιόνουσ κρατερώνυχασ ἠνυσιϝεργούσ,
τούσ ῥά ποτε Πριάμωι Μυσοὶ 'δόσαν ἀγλαὰ δῶρα.
ἵππουσ δὲ Πριάμωι ὕπαγον ζυγόν, οὓσ ὁ γεραιὸσ
αὐτὸσ ἔχων ἀτίταλλεν ἐὺ ξεστῆι ἐπὶ φάτνηι.
τὼ μὲν 'ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
κῆρυξ καὶ Πρίαμοσ, πυκινὰ φρεσὶ μήδε' ἔχοντε·
ἀγχίμολον δ' ἦλθεν Ϝεκάβη τετιηότι θυμῶι,
ϝοῖνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι
χρυσέωι ἐν δέπαϊ, ὄφρα λείψαντε πιοίτην·
'στῆ δ' ἵππων προπάροιθε, ϝέποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο Ϝοίκαδ' ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἄρ σέ γε θυμὸσ

263 cf. ζ 57
264b sq.a = ο 219 sq. cf. γ 476 sq.
265 cf. Μ 418
275 cf. ζ 74 sq.
276 cf. 579
277 cf. ζ 253
280 cf. Ε 271
282 = 674
282b cf. ι 353
284 cf. ο 148 sq.
285 sq.a = ο 149
285a cf. γ 41 υ 261
286 cf. Ξ 297
286a cf. h. Cer. 68

---

265. πατρὸσ] πάντεσ pap. 128.
269. Om. Zen.
270. ἐννεάπηχυ] -χυν C.
273. δ' ἑκάτερθεν] neglecto ϝ, ϝεκ. (om. δ') Heyne.
274. ἔκαμψαν A T] ἔγναμψαν pap. 114 Ω (metro invito).
277. ἠνυσιϝεργούσ Nauck] ἐντεσιεργούσ (vel -ουργούσ). Cf. Theocr. XXVIII 14. Ad vulgatam tuendam parum valet qui in schol. confertur Pind. Ol. XIII 28: „ἱππείοισ ἐν ἔντεσιν“, ubi ἱππείοι adiectivo illustratur nominis ἔντεων usus poeticus. Sic nautae ὅπλα navalia tractant quidem, non tamen sunt ὁπλῖται.
279. Πριάμωι] Τρωούσ C (cf. Ψ 291).
280. ἐὺ ξεστῆι] ἐυξέστωι pap. 114.
282. ἔχοντε] -ντεσ Ω.
283. δ' ἦλθεν Fick] δέ σφ' ἦλθ' (ut θ 300 al.). Cf. ξ 410 ω 387.
286. τ' ἔφατ' ἔκ τ' ὀνόμαζε] τέ μιν ἀντίον ηὔδα Syr.

ὀτρύνει ἐπὶ νῆασ, ἐμεῖο μὲν οὐκ ἐθελούσησ.
ἀλλὰ σύ γ' εὔχε' ἔπειτα κελαινεφέι Κρονίωνι 290ᵃ cf. ι 412
'Ιδαίωι, ὅσ τε Τροίην κατὰ πᾶσαν ὁρᾶται,
αἴτεε δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅσ τέ ϝοι αὐτῶι 292 cf. 310
φίλτατοσ οἰωνῶν, καί ϝοι κράτοσ ἐστὶ μέγιστον, 293 sq. = 311 sq. 293ᵇ cf. Β 118
δεξιόν, ὄφρα μιν αὐτὸσ ἐν ὀφθαλμοῖσι νοήσασ
τῶι πίσυνοσ ἐπὶ νῆασ ἴηισ Δαναῶν ταχυπώλων. 295 cf. 313
εἰ δέ τοι οὐ δώσει ἑϝὸν ἄγγελον εὐρύϝοπα Ζεύσ,
οὐ κεν ἐγώ γέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην 297 cf. Ι 517
νῆασ ἔπ' Ἀργείων ἴμεναι, μάλα περ μεμαῶτα.“
τὴν δ' ἀπαμειβόμενοσ προσέφη Πρίαμοσ θεοϝειδήσ·
„ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένηι ἀπιθήσω·
ἐσθλὸν γὰρ Διὶ χεῖρασ ἀνασχέμεν', αἴ κ' ἐλεήσηι.“
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸσ
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη
χέρνιβον ἀμφίπολοσ πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα. 304 cf. α 136 etc.
νιψάμενοσ δὲ κύπελλον ἐδέξατο ϝῆσ ἀλόχοιο·
ηὔχετ' ἔπειτ' ἀνστὰσ μέσωι ἕρκεϊ, 'λεῖβε δὲ ϝοῖνον 306 sq.ᵃ = Π 231 sq.
οὐρανὸν εἰσανιδών, καὶ φωνήσασ ϝέποσ ηὔδα·
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 308 = Γ 276
δόσ μ' ἐσ Ἀχιλλῆοσ φίλον ἐλθέμεν' ἠδ' ἐλεεινόν· 309 cf. ζ 327
πέμψον δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅσ τε σοὶ αὐτῶι 310 cf. 292
φίλτατοσ οἰωνῶν, καί ϝοι κράτοσ ἐστὶ μέγιστον, 311 sq. = 293 sq.
δεξιόν, ὄφρα μιν αὐτὸσ ἐν ὀφθαλμοῖσι νοήσασ
τῶι πίσυνοσ ἐπὶ νῆασ ἴω Δαναῶν ταχυπώλων.“ 313 cf. 295
ὣσ ἔφατ' εὐχόμενοσ, τοῦ δ' ἔκλυε μητιέτα Ζεύσ. 314 = Π 249
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν, 315 = Θ 247
μόρφνον θηρητῆρ', ὃν καὶ περκνὸν καλέουσι.

---

290. *ἀλλὰ σύ γ' εὔχε'* vChrist] *ἀλλ' εὔχεο σύ γ'*. Cf. ι 412 et § 117.

292. *ταχὺν*] *ἐὸν* pap. 114 Apollon. Pron. 60 Synt. 155 (ut vs. 296, ubi recte habet; cf. § 95).

293. (*ϝ*)*οι* L] *οἱ* Zen. (cf. Β 239), *εὑ* Ar. Ω (item Ι 377). Cf. § 92.

— *μέγιστον*] *μάλιστα* A C.

295. *Δαναῶν ταχυπώλων*] *χαίρων ἐνὶ θυμῶι* l. a. in A.

304. Ar. —

— *χέρνιβον*] sic Ar., *χέρνιβα* l. a. ant. (Mass.?).

— *πρόχοόν θ' ἅμα*] *ταμίη μετὰ* Mass., *πρόχοόν τ' ἐν* Poll. X 90.

306. *ἔπειτ' ἀνστὰσ*] *ἔπειτα στὰσ* Ω. Cf. versus parall. Π 231.

310. *ταχὺν*] *ἐὸν* l. a. in A (cf. vs. 292).

311. (*ϝ*)*οι* Par.] *εὑ* Ω (cf. vs. 293).

— *μέγιστον*] *μάλιστα* A (cf. vs. 293).

ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο, ἐϋ κληῖσ' ἀραρυῖα,
τόσσ' ἄρα τοῦ ϝεκάτερθεν ἔσαν πτερά· 'ϝείσατο δέ σφι
δεξιὸς ἀΐξας διὰ ϝάστεος. οἳ δὲ ϝιδόντες — 820 cf. ο 164
'γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη. — 821 = ο 165; 821b cf. Ψ 600
σπερχόμενος δ' ὁ γεραιὸς ἑϝοῖ' ἐπεβήσετο δίφρου,
ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου. — 823 cf. γ 493 ο 146, 191
πρόσθε μὲν ἡμίονοι εἷλκον τετράκυκλον ἀπήνην,
τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθε
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγ' ἐκέλευε
καρπαλίμως κατὰ ϝάστυ. φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι, ὡς εἰ θανατόνδε κιόντα.
οἳ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο, — 829 cf. ω 205
οἳ μὲν ἄρ' ἄψορροι προτὶ ϜΊλιον ἀπενέοντο, — 830 cf. Γ 313
παῖδες καὶ γαμβροί, τὼ δ' οὐ 'λάθον εὐρύϝοπα Ζῆν
εἰς πεδίον προφανέντε· ϝιδὼν δ' ἐλέησε γέροντα. — 832a cf. P 487
αἶψα δ' ἄρ' Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα· — 833b = ε 28
„Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστι
ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ὧι κ' ἐθέλῃσθα, —
βάσκ' ἴθι καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μή τίς ϝε ϝίδηι μηδ' ἄρ ϝε νοήσηι
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεΐων' ἀφικέσθαι."
ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος Ἀργεϊφόντης. — 339-345 = ε 43 sqq.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα — 340 cf. B 44 ο 550 ρ 2
ἀμβρόσια χρύσεια, τά μιν 'φέρον ἠμὲν ἐφ' ὑγρὴν — 340b-342 = α 96 sqq.
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῆισ' ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῆι τ' ἀνδρῶν ὄμματα θέλγει — 343b sq. = ω 3 sq.

---

318. ἐὺ κληῖσ' Trypho] ἐυκλήϊσ Ar. Ω.
320. διὰ pap. 114 L] ὑπὲρ Ω.
322. γεραιὸς ἑϝοῖ' (ἑοῦ) A] γέρων ξεστοῦ Ω.
324. τετράκυκλον] *εὔκυκλον (ut ζ 58, 70)? Nonnisi ι 242 redit τετράκυκλος, et ibi quidem vitio aperto.
328. εἰ] εἰς D.
329. ἐκ Cobet] οὖν (ut vs. 349). Cf. ω 205.
330. ἄψορροι] -ρρον Ambr. L (ut Δ 152 alibi). Cf. Γ 313 Φ 456.
332. προφανέντε] καταβάντε Chia.
335. ἀνδρὶ ἑταιρίσσαι] ἄνδρ' ἑταρίσσασθαι Nauck (cf. N 456).
337. μή τις ϝε Bentley] μήτ' ἄρ τις.
— μηδ' Cobet] μήτ'.
— ϝε Bentley] τε.
338. Πηλεΐων' ἀφικέσθαι Povelsen] Πηλεϊωνάδ' ἱκέσθαι Ar. Ω, item Apollonius Rh. (cf. III 647), Πηλείωνος Brandreth (ut vs. 309). Cf. α 332 μ 39 φ 25.
341. 'φέρον] sic Ar., φέρεν quidam olim, φέρει Naber (item α 97 ε 45; cf. E 789).

ὧν ἐθέλῃι, τοὺσ δ' αὖτε καὶ ὑπνώοντασ ἐγείρει.
τὴν μετὰ χερσὶν ἔχων 'πέτετο κρατὺσ Ἀργεϊφόντησ.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε,
'βῆ δ' ἰμεναι κούρωι αἰσυμνητῆρι ϝεϝοικώσ, 347 cf. κ 278
πρῶτον ὑπηνήτηι, τοῦ περ χαριεστάτη ἥβη. 348 = κ 279
οἳ δ' ἐπεὶ οὖν μέγα σῆμα παρ' ἐκ Ϝίλοιο ἔλασσαν,
'στῆσαν ἄρ' ἡμιόνουσ τε καὶ ἵππουσ, ὄφρα πίοιεν,
ἐν ποταμῶι· δὴ γὰρ καὶ ἐπὶ κνέφασ ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ϝιδὼν ἐφράσσατο κήρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον 'φάτο 'φώνησέν τε· 353b = δ 370
„φράζεο, Δαρδανίδη· φραδέοσ νόου ἔργα τέτυκται.
ἄνδρ' ὁράω, τάχα δ' ἄμε διαρραίσεσθαι ὀίω. 355 cf. α 251
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα 356 cf. Κ 249
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ' ἐλεήσηι."
ὣσ 'φάτο, σὺν δὲ γέροντι νόοσ 'χύτο, ἔδϝιε δ' αἰνῶσ,
ὀρθαὶ δὲ τρίχεσ ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι, 359b = Δ 669
'στῆ δὲ ταφών. αὐτὸσ δ' ἐριούνιοσ ἐγγύθεν ἐλθὼν 360a cf. Δ 545
χεῖρα γέροντοσ ἑλὼν ἐξείρετο καὶ προσέϝειπε· 361b = Ε 756
„πῆι, πάτερ, ὧδ' ἵππουσ τε καὶ ἡμιόνουσ ἰθύνεισ
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι; 363 cf. Κ 83
οὐδὲ σύ γ' ἔδϝεισασ μένεα πνείοντασ Ἀχαιούσ, 364b cf Γ 8
οἵ τοι δυσμενέεσ καὶ ἀνάρσιοι ἐγγὺσ ἔασι;
τῶν εἴ τίσ σε ϝίδοιτο θοὴν διὰ νύκτα μέλαιναν 366 = 653; 366b = Κ 394
τοσσάδ' ὀνείατ' ἄγοντα, τίσ ἂν δή τοι νόοσ εἴη;
οὔτ' αὐτὸσ νέοσ ἐσσί, γέρων τέ τοι οὗτοσ ὀπηδεῖ
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τισ πρότεροσ χαλεπήνηι. 369 = π 72 φ 133 cf. Τ 183
ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
σεῖ' ἀπαλεξήσαιμι· φίλωι δέ σε πατρὶ ϝεϝίσκω."

---

344. Om. pap. 114[1] (cf. ι 48).
— ἐθέλῃι A Syr.] -λει Ar. Ω.
346. ἄρα] ἄρ' ἐσ C.
347. αἰσυμνητῆρι] sic Ar., αἰσυητῆρι Apio A Syr. (cf. Β 793).
349. Ϝίλοιο ἔλασσαν] vitium metricum (cf. § 16), Fick Ϝιλοιο παρὲξ ἔλασαν μέγα σῆμα.
354. φραδέοσ νόου ἔργα] verba obscura, in quibus neglectum est ϝ vocis ϝέργα. φραδήσ autem simplex non redit et vix videtur dictionis epicae (cf. § 73 et Δ 754).
358. ἔδϝιε (εδδιε) Brandreth] δείδιε. Cf. § 168 et Σ 34.
359. ἐνὶ] ἐπὶ A T (cf. Δ 55).
365. οἵ] ου Syr. (voluitne οὔ τοι an οὗτοι?).
367. ἂν δή] ἄρ κεν? Cf. § 326.
368. τέ Doederlein] δέ (cf. Ε 359).
369. ἀπαμύνασθαι] ἐπαμ. pap. 114[2] A[1].
— χαλεπήνηι] -παίνῃ pap. 114[1].
370. οὐδέν] novicium (cf. § 100), *οὔ τοι?

τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοϝειδήσ·
„οὕτω πηι τάδε γ' ἐστί, φίλον τέκοσ, ὡσ ἀγορεύεισ.
ἀλλ' ἔτι τισ καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
ὅσ μοι τοῖον ἧηκεν ὁδοιπόρον ἀντιβολῆσαι, [177
αἴσιον, οἷοσ δὴ σὺ δέμασ καὶ ϝεῖδοσ ἀγητόσ, 876b cf. X 370 ξ
πέπνυσαί τε νόῳ, μακάρων δ' ἒξ ἐσσι τοκήων.“ 877b cf. 387b
τὸν δ' αὖτε προσέϝειπε διάκτοροσ Ἀργεϊφόντησ·
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔϝειπεσ. 879 = Α 286
ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέωσ κατάλεξον, 880 = Κ 384
ἠέ πηι ἐκπέμπεισ κειμήλια πολλὰ καὶ ἐσθλὰ 881b = Ι 330
ἄνδρασ ἒσ ἀλλοδαπούσ, ἵνα περ τάδε τοι σάα μίμνηι, 882b = ν 364
ἦ ἤδη πάντεσ καταλείπετε Ϝίλιον ἱρὴν
δεδϝιότεσ· τοῖοσ γὰρ ἀνὴρ ὄχ' ἄριστοσ ὄλωλε, 884b cf. Π 521
σὸσ πάϊσ· οὐ μὲν γάρ τι μάχησ ἐπεδεύετ' Ἀχαιῶν.“
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοϝειδήσ·
„τίσ δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἒξ ἐσσι τοκήων, 887a = Ζ 123; 887b cf. 377b
ὅσ μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸσ ἔνισπεσ;“
τὸν δ' αὖτε προσέϝειπε διάκτοροσ Ἀργεϊφόντησ·
„πείρα' ἐμεῖο, γεραιέ, καὶ εἴρεο Ἕκτορα δῖον. 890a cf. 433; 890b cf. α 284
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχηι ἔνι κυδιανείρηι
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσασ
Ἀργείουσ 'κτείνεσκε δαΐζων ὀξέι χαλκῶι,
ἧμεσ δ' ἑσταότεσ 'θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺσ 394a = Β 320
εἴαε μάρνασθαι, κεχολωμένοσ Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦσ ἐυϝεργήσ·
Μυρμιδόνων δ' ἒξ εἰμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸσ μὲν ὅ γ' ἐστί, γέρων δὲ δή, ὡσ σύ περ ὧδε,
ϝὲξ δέ ϝοι υἷεσ ἔασιν, ἐγὼ δέ ϝοι ἕβδομόσ εἰμι.

873. πηι] sic Ar., δή Syr.
874. ἔτι] εἰ A C.
875. *τοῖον ἧηκεν] τοιόνδ' ἧκεν. Cf. § 97 et Γ 46.
876. δέμασ] μέγασ (an μένοσ?) pap. 114. — ϝεῖδοσ ἀγητόσ] ἀπειρέα φωνήν C L (ut Ν 45 Ρ 555 Χ 227).
882. περ τάδε τοι] τοι τάδε περ Syr. L (*ut haec certe . . .*).
884. ὄχ' ἄριστοσ] cf. Δ 288.
887. τοκήων] [ἀνθ]ρώπων pap. 128.
888. ὅσ pap. 114 Syr.[1]] ὥσ Nicanor A C. Cf. Ο 247 et Ξ 45.
890. πείρα' . . . εἴρεο Knight] πειρᾶι . . . εἴρεαι. Necessarius est imperativus. Cf. δ 545 Μ 301 et § 117.
891. πολλὰ] πάγχυ pap. 114.
892. νηυσὶν ἐλάσσασ] -σὶ πελάσσαο pap. 114.
896. γὰρ] μὲν pap. 114.
897. δέ μοί] δ' ἐμόσ pap. 114.
898. ὅ γ'] ὅδ' pap. 114 Syr. A[1] D.
899. ϝοι υἷεσ] τῶι υἷεσ l. a. in A.

τῶν μέτα παλλόμενοσ κλήρωι 'λάχον ἐνθάδ' ἕπεσθαι.
νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ϝάστυ μάχην ϝελίκωπεσ Ἀχαιοί.
ἀσχαλάουσι γὰρ οἵ γε καθήμενοι, οὐδὲ δύνανται
ἰσχέμεν' ἐσσυμένουσ πολέμου βασιλῆεσ Ἀχαιῶν."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοϝειδήσ·
„εἰ μὲν δὴ θεράπων Πηληϊάδα' Ἀχιλῆοσ
ἐσσ', ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸσ πάϊσ, ἠέ μιν ἤδη
ϝῆισι κυσὶν μελεϊστὶ ταμὼν προέθηκεν Ἀχιλλεύσ."
τὸν δ' αὖτε προσέϝειπε διάκτοροσ Ἀργεϊφόντησ·
„ὦ γέρον, οὔ πω τόν γε κύνεσ 'φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνοσ κεῖται Ἀχιλλῆοσ παρὰ νηῒ
αὔτωσ ἐν κλισίηισι· δυωδεκάτη δέ ϝοι ἠδε
κειμένωι, οὐδέ τί ϝοι χρὼσ σήπεται, οὐδέ μιν εὐλαὶ
ἔσθουσ', αἵ ῥά τε φῶτασ Ἄρηϊ φατοὺσ κατέδουσι. 415 cf. *Τ* 31
ἦ μέν μιν περὶ σῆμα ἑϝοῖ' ἑτάροιο φίλοιο 416^b sq.^{a} cf. 51 sq.
ἕλκει ἀκηδέστωσ, ἠὼσ ὅτε δῖα φανήηι, 417^a cf. X 465
οὐδέ μιν αἰσχύνει· θηέοιό κεν αὐτὸσ ἐπελθὼν
οἷον ἐϝερσήεισ κεῖται, — περὶ δ' αἷμα νένιπται, —
οὐδέ ποθι μιαρόσ. σὺν δ' ἕλκεα πάντα μέμυκε,
ὅσσ' ἐτύπη· πολέεσ γὰρ ἐν αὐτῶι χαλκὸν ἔλασσαν.
ὣσ τοι κήδονται μάκαρεσ θεοὶ υἷοσ ἑῆοσ
καὶ νέκυόσ περ ἐόντοσ, ἐπεί σφι φίλοσ περὶ κῆρι."
ὣσ 'φάτ', ἐγήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθωι·
„ὦ τέκοσ, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοισ'! ἐπεὶ οὔ ποτ' ἐμὸσ πάϊσ, εἴ ποτ' ἔεν γε,
'λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
τῶι ϝοι ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσηι. 428^a cf. Hes. Th. 428^b = 750 [508

---

400. *τῶν μέτα παλλόμενοσ κλήρωι*] *τοῖσι δὲ πρῶτον ὑπηνήτησ* l. a. in T.

401. *πεδίονδ' ἀπὸ νηῶν*] **-νδε νεῶν ἄπο?* Cf. § 3 et *B* 91, 208 al.

403. *οἵ γε* pap. 114] *οἵδε Ω*.

413. *ϝοι*] *τοι* pap. 114[1].

— *ἧδε* pap. 128 D] *ἤδη* pap. 114[1], *ἠὼσ Ω*. Vox *ἠμέρη* etiam *Α* 425 et *β* 374 est omissa; matutini temporis mentio hinc aliena est.

421. *ἐν*] *ἐπ'* pap. 114 et 128 Syr. C D; cf. *Υ* 259 et *Α* 55.

422. *ἑῆοσ*] *τεοῖο* pap. 114[2] (cf. *Α* 393).

423. Aristoph. Ar. —

428. *τῶι*] *τῶν* Syr. C.

— *ἀπεμνήσαντο*] *ἐπ.* pap. 128 Syr. T (ut *Ο* 662 *δ* 189 al.).

ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσι,
ὄφρα κεν εἰσ κλισίην Πηληϊάδα' ἀφίκωμαι."
τὸν δ' αὖτε προσέϝειπε διάκτοροσ Ἀργεϊφόντησ·
„πειρᾶι ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεισ, 433a cf. 390
ὃσ κέλεαι σέο δῶρα παρ' ἐξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δέδϝοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ' ἄρ' ἐγὼ πομπὸσ καί κε κλυτὸν Ἄργοσ ἱκοίμην,
ἐνδυκέωσ ἐν νηῒ θοῆι ἢ πεζὸσ ὁμαρτέων·
οὔ κέν τίσ τοι πομπὸν ὀνοσσάμενοσ μαχέσαιτο."
ἦ, καὶ ἀναΐξασ ἐριούνιοσ ἅρμα καὶ ἵππουσ
καρπαλίμωσ μάστιγα καὶ ἡνία 'λάζετο χερσί, 441 = P 482
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοισ μένοσ ἠΰ. 442 cf. P 456
ἀλλ' ὅτε δὴ πύργουσ τε νεῶν καὶ τάφρον ἵκοντο, —
οἳ δὲ νέον περὶ δόρπα φυλακτῆρεσ 'πονέοντο, —
τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτοροσ Ἀργεϊφόντησ 445a cf. β 395b
πᾶσιν, ἄφαρ δ' ὤϊξε πύλασ καὶ ἀπῶσεν ὀχῆασ, 446b cf. Φ 537
εἰσ δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνησ.
ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδα' ἀφίκοντο 448 cf. Λ 618
ὑψηλήν, — τὴν Μυρμιδόνεσ 'ποίησαν ἄνακτι
δοῦρ' ἐλάτησ κέρσαντεσ, ἀτὰρ καθύπερθεν ἔρεψαν 450b cf. ψ 193
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντεσ,
ἀμφὶ δέ ϝοι μεγάλην αὐλὴν 'ποίησαν ἄνακτι
σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνοσ ἐπιβλὴσ
ἐλάτινοσ, τὸν τρεῖσ μὲν ἐπερρήσσεσκον Ἀχαιοί,
τρεῖσ δ' ἀνοΐγεσκον μεγάλην κληῗδα θυράων,
τῶν ἄλλων, Ἀχιλεὺσ δ' ἄρ' ἐπερρήσσεσκε καὶ οἶοσ, —

---

429. ἐμεῦ] novicium; fortasse *δέξ(ο) ἐμέθεν. Cf. § 92 et I 335.

430. τε] δὲ pap. 114[1].

433. πειρᾶι ἐμεῖο, γεραιέ] *πειράεαι μὲν ἐμεῖο? Cf. Φ 459 et § 117.

434. κέλεαι vChrist] με κέλῃι. Cf. M 235 et § 117; idem vitium est δ 812 ε 174. — Ἀχιλῆα] -ι pap. 114[2].

436. συλεύειν] μωμεύειν pap. 114[1]. — γένηται] -οιτο pap. 114 D.

437. δ' ἄρ' Brandreth] δ' ἂν Ω (μὲν pap. 114). Cf. P 658 et de iterato κε (ἄν) Α 187.

440. ἀναΐξασ C T] ἐπαΐξασ pap. 114 D, ἐναΐξασ Syr. (versum om. pap. 128).

442. ἡμιόνοισ] οὐρεῦσιν Naber (cf. § 60).

446. ὀχῆασ] -α T (cf. N 124).

449. ἄνακτι] neglecto ϝ, item vs. 452; Bentley δείμαντο ϝάνακτι (cf. ζ 9 ξ 8).

452. ἄνακτι] ἐρυμνὴν D.

455. ἀνοΐγεσκον § 241] ἀναοίγεσκον Ω duplici vitio (praepositione ἀνα- non elisa et contractis syllabis -οΐ-). Cf. Π 221.

δή ῥα τόθ' Ἑρμείασ ἐριούνιοσ ὤιξε γέροντι,
εἰσ δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλεΐωνι,
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθόνα 'φώνησέν τε·
„ὦ γέρον, ἦ τοι ἐγὼ θεὸσ ἄμβροτοσ εἰλήλουθα,
Ἑρμείασ· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσε.
ἀλλ' ἦ τοι μὲν ἐγὼ πάλιν ἔρχομαι, οὐδ' Ἀχιλῆοσ
ὀφθαλμοὺσ εἴσειμι· — νεμεσσητὸν δέ κεν εἴη — 463b = Γ 410
ἀθάνατον θεὸν ὧδε βροτοὺσ ἀγαπαζέμεν ἄντην· — 464 cf. Φ 380
τύνη δ' εἰσελθὼν λαβὲ γούνατα Πηλεΐωνοσ,
καί μιν ὑπὲρ πατρὸσ καὶ μητέροσ ἠυκόμοιο
λίσσεο καὶ τέκεοσ, ἵνα ϝοι σὺν θυμὸν ὀρίνηισ." [ο 48
ὣσ ἄρα φωνήσασ ἀπέβη πρὸσ μακρὸν Ὄλυμπον 468b = 694 κ 307
Ἑρμείασ. Πρίαμοσ δὲ ἀφ' ἵππων ἆλτο χαμᾶζε, 469b cf. Ε 835
Ἰδαῖον δὲ κατ' αὖθ' ἔλιπεν, ὃ δ' ἔμιμνεν ἐρύκων 470a cf. Ρ 535
ἵππουσ ἡμιόνουσ τε· γέρων δ' ἰθὺσ 'κίε ϝοίκου,
τῆι ῥ' Ἀχιλεὺσ ἵζεσκε Διὶ φίλοσ.

ἐν δέ μιν αὐτὸν
ηὗρ', ἕταροι δ' ἀπάνευθε καθήατο· τὼ δὲ δύ' οἴω,
ἥρωσ Αὐτομέδων τε καὶ Ἄλκιμοσ, ὄζοσ Ἄρηοσ, 474 cf. 574
'ποίπνυον παρεόντε. νέον δ' ἀπέληγεν ἐδωδῆσ
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα. 476a = κ 372 υ 337 cf. ε 197
τοὺσ δ' ἔλαθ' εἰσελθὼν Πρίαμοσ μέγασ, ἄγχι δ' ἄρα στὰσ
χερσὶν Ἀχιλλῆοσ 'λάβε γούνατα καὶ 'κύσε χεῖρασ
δϝεινὰσ ἀνδροφόνουσ, αἵ ϝοι πολέασ 'κτάνον υἷασ.
ὡσ δ' ὅτε κ' ἄνδρ' ἀάτη πυκινὴ λάβηι, ὃσ τ' ἐνὶ πάτρηι
φῶτα κατακτείνασ ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸσ ἐσ ἀφνειοῦ, θάμβοσ δ' ἔχει εἰσορόωντασ, 482b cf. Γ 342
ὣσ Ἀχιλεὺσ 'θάμβησε ϝιδὼν Πρίαμον θεοϝειδέα·
'θάμβησαν δὲ καὶ ἄλλοι, ἐσ ἀλλήλουσ δ' ἐϝίδοντο. 484b cf. σ 320

---

462. *ἔρχομαι] εἴσομαι. Cf. § 201 et 308; subsimilia vitia sunt ἀπίσομαι pro ἄπειμι (Bentley) Ar. Nub. 887 (coll. Thesm. 279), ἄπεισι pro ἄπει Vesp. 1340, διίσηι pro δίει Xen. Comm. II 1 § 24 (coll. Ar. Ach. 845).
467. Cf. Τ 326—337.
469. δ(ὲ) ἀφ' pap. 114[2]] δ' ἐξ Ω (cf. Υ 461).
— ἆλτο] βαῖνε de sene mavult (Ar.? in) schol. T.
471. ἵππουσ] ἵππουσ θ' Syr. O T.
474. ὄζοσ] υἱὸσ pap. 114[1].
476. Ar. —
479. ἀνδροφόνουσ] παιδοφόνουσ pap. 114[2] (cf. vs. 506).

τὸν καὶ λισσόμενοσ Πρίαμοσ πρὸσ μῦθον ἔϝειπε·
„μνῆσαι πατρὸσ σοῖο, θεοῖσ' ἐπιϝείκελ' Ἀχιλλεῦ,
τηλίκου ὥσ περ ἐγών, ὀλοοῖ' ἐπὶ γήραοσ οὐδῶι. 487ᵇ = Χ 60
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶσ ἐόντεσ
τείρουσ', οὐδέ τίσ ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι. 489ᵇ cf. β 59
ἀλλ' ἤ τοι κεῖνόσ γε σέθεν ζώοντοσ ἀκούων 490 cf. λ 458
χαίρει τ' ἐν θυμῶι ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα· 492ᵇ cf. ι 88
αὐτὰρ ἐγὼ πανάποτμοσ, ἐπεὶ 'τέκον υἷασ ἀρίστουσ 493 cf. 255
Τροίηι ἒν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι. 494 = 256
πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷεσ Ἀχαιῶν·
ἐννέα καὶ δέκα μέν μοι ἰῆσ ἐκ νηδύοσ ἦσαν,
τοὺσ δ' ἄλλουσ μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκεσ.
τῶν μὲν πολλῶν θοῦροσ Ἄρησ ὑπὸ γούνατ' ἔλυσε·
ὃσ δέ μοι οἶοσ ἔεν, ἔρρυτο δὲ ϝάστυ καὶ αὐτούσ,
τὸν σὺ πρώιην 'κτεῖνασ ἀμυνόμενον περὶ πάτρησ, 500ᵇ cf. Μ 243
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆασ Ἀχαιῶν, 501 sq. cf. Δ 12 sq.
λυσόμενοσ παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεούσ, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον, 503ᵃ cf. ι 269
μνησάμενοσ σοῦ πατρόσ· ἐγὼ δ' ἐλεεινότερόσ περ,
ἔτλην δ' οἷ' οὔ πώ τισ ἐπιχθόνιοσ βροτὸσ ἄλλοσ,
ἀνδρὸσ παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι."
ὣσ 'φάτο, τῶι δ' ἄρα πατρὸσ ὑφ' ἵμερον ὦρσε γόοιο· 507 = δ 113 cf. Ψ 108
ἁψάμενοσ δ' ἄρα χειρὸσ ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω, ὃ μὲν Ἕκτοροσ ἀνδροφόνοιο
'κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆοσ ἐλυσθείσ,
αὐτὰρ Ἀχιλλεὺσ 'κλαῖεν ἑϝὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
513 αὐτὰρ ἐπεί ῥα γόοιο 'τετάρπετο δῖοσ Ἀχιλλεύσ,

---

486. σοῖο D] σεῖο Zen. pap. 114 C T (cf. Ξ 118).

487. ὀλοοῖ' (-οῦ) Nauck] -ῶι. Erroris causa fuit prisca litteratura.

488. ἐόντεσ] ἐόντοσ l. a. ant. Cf. Ι 464.

491. ἔλπεται] neglecto ϝ.

492. Τροίηθεν ἰόντα] -θε μολόντα pap. 114 L (cf. § 47).

499. ἔρρυτο § 164] εἴρυτο. — αὐτούσ] αὐτόσ L (cf. Ξ 145 Χ 513 Ψ 277).

503. αἰδεῖο] forma vitiosa (cf. Δ 611 et § 289); *ἀλλὰ θεοὺσ αἴδεσσ' (ut Ι 640)?

506. χεῖρ' ὀρέγεσθαι] χεῖρασ ὀρέξαι l. a. apud Eust.

513. Versum sic affert Galenus V 422: αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενόσ τ' ἐκορέσθη (cf. δ 541).

αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτίρων πολιόν τε κάρη πολιόν τε γένειον, 516 cf. X 74
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ἆ δϝειλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν' οἶος, 519 cf. 203
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς 520 = 204
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ. 521 cf. 205
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζε' ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῶι κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ, 523^b = Σ 112
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. 524 cf. κ 202
ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δϝειλοῖσι βροτοῖσι,
ζωέμεν' ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδῶι
δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δέ τ' ἐάων.
ὧι μέν κ' ἀμμίξας δώηι Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῶι ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῶι·
ὧι δέ κε τῶν λυγρῶν δώηι, λωβητὸν ἔθηκε,
καί ϝε κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾶι δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσι.
ὡς μὲν καὶ Πηλῆϊ θεοὶ 'δόσαν ἀγλαὰ δῶρα 534^b = Π 381
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο 535^b sq.^{a} cf. τ 395 sq.
ὄλβωι τε πλούτωι τε, 'ϝάνασσε δὲ Μυρμιδόνεσσι, 536 cf. Π 596
καί ϝοι θνητῶι ἐόντι θεὰν 'ποίησαν ἄκοιτιν.
ἀλλ' ἐπὶ καὶ τῶι ἔθηκε θεὸς κακόν, ὅττι Ϝοι οὔ τι
παίδων ἐν μεγάροισι γονὴ 'γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδ' ἔτεκεν παναώριον· οὐδέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίηι, σέ τε κήδων ἠδὲ σὰ τέκνα.

---

514 καί ϝοι ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων, 514 cf. X 43

---

514. Ar. —
515. αὐτίκ' ἀπὸ] -κα δ' ἐκ pap. 128.
516. οἰκτίρων] cf. Δ 814.
518. ἄνσχεο] ἄσχεο pap. 128 (cf. Ψ 587 et Π 231).
521. ἐξενάριξα] -ξε pap. 114^1 (cf. β 41).
522. ἕζε'] sic (ἕζευ) Ar., ἷζευ quidam olim (ut Γ 162 Η 115).
524. πρῆξις] τ' ἄνυσις T (cf. Β 347 δ 544).
526. ἀχνυμένους] -νοις pap. 114 A D.
527. οὔδῶι] cf. Ε 734.
528. Sic affert Plat. Rep. 379 d: κηρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὁ δειλῶν, non recte adhibita voce κήρ (cf. Θ 73 X 210) et neglecto ϝ adiectivi δϝειλός.
— τ'] add. Bentley.

καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαροσ ἕδοσ, ἐντὸσ ἐϝέργει 544 cf. h. Ap. 37
καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντοσ ἀπείρων,
τῶν σε, γέρον, πλούτωι τε καὶ υἱάσι φασὶ κεκάσθαι. 546 cf. ξ 206
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνεσ,
ἀνσχέο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
οὐ γάρ τι πρήξεισ ἀκαχημένοσ υἷοσ ἑῆοσ,
οὐδέ μιν ἀνστήσεισ· πρίν κεν κακὸν ἄλλο πάθηισθα."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοϝειδήσ
„μή πώ μ' εἰσ θρόνον ἵζε, διοτρεφέσ, ὄφρα κεν Ἕκτωρ
κεῖετ' ἐνὶ κλισίηισιν ἀκηδήσ· ἀλλὰ τάχιστα
λῦσον, ἵν' ὀφθαλμοῖσι ϝίδω, σὺ δὲ δέξαι ἄποινα." 555ᵃ = κ 387 555ᵇ cf. Z 46
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ·
„μηκέτι νῦν μ' ἐρέθιζε, γέρον! νοέω δὲ καὶ αὐτὸσ
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελοσ ἦλθε
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντοσ. 562ᵇ = Α 538
καὶ δὲ σὲ γιγνώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεισ,
ὅττι θεῶν τίσ σ' ἦγε θοὰσ ἐπὶ νῆασ Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸσ ἐλθέμεν', οὐδὲ μάλ' ἡβῶν, 565ᵇ = Μ 382
εἰσ στρατόν· οὐδ' ἄρα κεν φυλακοὺσ λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων. 567ᵃ cf. ψ 188

---

548 αἰεί τοι περὶ ϝάστυ μάχαι τ' ἀνδροκτασίαι τε, 548ᵇ cf. H 287

556 πολλά, τά τοι φέρομεν. σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοισ
σὴν εἰσ πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασασ
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοσ ἠελίοιο. 558ᵇ cf. Σ 61

---

544. Μάκαροσ] μακάρων pap. 114² L Plut. Mor. 603 c Dio Chr. 9 et 398 Suid. s. v. ἄνω.

546. τῶν] sic Ar., τῶ pap. 114 et 128, A.

548. Del. Koechly.

550. ἑῆοσ] ἑοῖο Zen. Par., τεοῖο pap. 114² in marg. (cf. Α 393).

551. *κεν § 108] καί. Cf. γ 117 λ 330 ξ 155 et Ι 121.

553. πώ μ' A] μέ πω Ω.

554. κεῖετ' § 169] κῆται vel κεῖται.

556 sq. Ar. —

557. πρῶτον ἔασασ] πρῶτ' ἐλέησασ Dionysius Sidon.

558. Veteres grammatici ignorarunt, om. pap. 114¹ D T („οὐχ εὑρέθη ἐν τῶι παλαιῶι" adscriptum in marg. A; in textu habet ipse A et habuit eius archetypum). Similis interpolatio est Υ 312.

566. οὐδ' ἄρα κεν Brandreth] οὐδὲ (οὔτε pap. 128) γὰρ ἄν. Cf. § 326.

— φυλακοὺσ] sic Ar., -κασ pap. 114¹ C. Cf. § 68.

— κ'] τ' pap. 128.

— ὀχῆα Ar. A T] ὀχῆασ Ω. Cf. Ν 124 et l. a. πυγάων vs. 567.

567. μετοχλίσσειε] -χλήσειε D. Cf. Μ 448.

— θυράων] πυλάων pap. 128. Cf. vs. 453, 455.

τῶι νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνηισ,
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίηισιν ἐάσω
καὶ ἱκέτην περ ἐόντα, Διὸσ δ' ἀλίτωμαι ἐφετμάσ." 570ᵇ cf. 586
  ὣσ ἔφατ', ἔδϝεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθωι. 571 = Δ 33
Πηλεΐδησ δ' οἴκοιο λέων ὣσ ἆλτο θύραζε, 572 cf. Υ 164
οὐκ οἶοσ, ἅμα τῶι γε δύω θεράποντεσ ἕποντο, 573ᵃ = Β 745
ἥρωσ Αὐτομέδων ἠδ' Ἄλκιμοσ, οὓσ ῥα μάλιστα 574 cf. 474
'τῖ' Ἀχιλεὺσ ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα. 575 cf. ω 79
οἳ τόθ' ὑπὸ ζυγόφιν 'λύον ἵππουσ ἡμιόνουσ τε,
εἰσ δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντοσ,
κὰδ δ' ἐπὶ δίφροι' εἷσαν· ἐυξέστου δ' ἀπ' ἀπήνησ
ἤιρεον Ἑκτορέησ κεφαλῆσ ἀπερείσι' ἄποινα. 579 cf. 276
κὰδ δ' ἔλιπον δύο φάρε' ἐύ νητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσασ δοίη ϝοῖκόνδε φέρεσθαι.
δμωιὰσ δ' ἐκκαλέσασ λοῦσαι 'κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσασ, ὡσ μὴ Πρίαμοσ ϝίδοι υἱόν,
μὴ ὃ μὲν ἀχνυμένηι κραδίηι χόλον οὐ ϝερύσαιτο
παῖδα ϝιδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ. [δ 49 sq. etc.
τὸν δ' ἐπεὶ οὖν δμωιαὶ 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίωι, 587 sq. cf. γ 466 sq. 587 = ϑ 454
ἀμφὶ δέ μιν φᾶροσ καλὸν βάλον ἠδὲ χιτῶνα, 587ᵇ = ϑ 364
αὐτὸσ τόν γ' Ἀχιλεὺσ λεχέων ἐπέθηκεν ἀείρασ, 588 cf. ϑ 455
σὺν δ' ἕταροι ἤειραν ἐύ ξεστὴν ἐπ' ἀπήνην.
ὤιμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον· 591 = Κ 522
  „μή μοι, Πάτροκλε, σκυδμαινέμεν', αἴ κε πύθηαι
ἐν Ἄϝιδόσ περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλωι, ἐπεὶ οὔ μοι ἀϝεικέα 'δῶκεν ἄποινα.

---

586 καί ϝε κατακτείνειε, Διὸσ δ' ἀλίτηται ἐφετμάσ. 586ᵇ cf. 570

---

568. ἐν ἄλγεσι] ἐνὶ φρεσί (ut ο 486) l. a. in A. Cf. φ 88.

570. καὶ ἱκέτην] αἰδοῖον vel οἴκτιστον („modo genuinus sit versus") Nauck. Cf. Ο 290.

571. ἔφατ', ἔδϝεισεν] [φάτο, ῥί]γησεν pap. 128 (ut Γ 259 al.).

572. δ' οἴκοιο] neglecto ϝ, δὲ δόμοιο Hoffmann.

578. ἐυξέστου] ἐυσσώτρου pap. 114 DT (adi. aliunde ignotum; cf. Ε 725); ἐυξέστησ Bekker (ut vs. 275, 590).

584. χόλον] κότον l. a. in A, γόον Herodianus.

— οὐ ϝερύσαιτο] οὐ κατερύκοι l. a. in A.

586. Versum ex 570 conflictum, in quo ἀλίτηται verbum vitiose dictum est pro ἀλίτοιτο, del. Knight (cum vs. 584 sq., Duentzer 583—586).

590. δ' ἕταροι ἤειραν] *δέ ϝ' ἕταιροι ἄειραν?

591. φίλον τ' Par.] φίλον δ'. Cf. Κ 522 Ψ 178.

594 sq. Ar. —

σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι ὅσσα ϝέϝοικε."
ἦ ῥα, καὶ εἰσ κλισίην πάλιν ἤϊε δῖοσ Ἀχιλλεύσ,
ἕζετο δ' ἐν κλισμῶι πολυδαιδάλωι, ἔνθεν ἀνέστη,
τοίχου τοῖ' ἑτέρου, ποτὶ δὲ Πρίαμον 'φάτο μῦθον· 598ᵃ = ψ 90 cf. Ι 219
„υἱὸσ μὲν δή τοι λέλυται, γέρον, ὡσ ἐκέλευεσ,
κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠόι φαινομένηφι 600ᵇ = Ι 618
ὄψεαι αὐτὸσ ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠύκομοσ Νιόβη ἐμνήσατο σίτου,
τῆι περ δώδεκα παῖδεσ ἐνὶ μεγάροισιν ὄλοντο, 603 cf. κ 5
ϝὲξ μὲν θυγατέρεσ, ϝὲξ δ' υἱέεσ ἡβάοντεσ. 604 = κ 6
τοὺσ μὲν Ἀπόλλων 'πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενοσ Νιόβηι, τὰσ δ' Ἄρτεμισ ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ 'ϝισάσκετο καλλιπαρήιωι·
'φῆ δοιὼ τεκέμεν, ἡ δ' αὐτὴ 'γείνατο πολλούσ.
τὼ δ' ἄρα καὶ δοίω περ ἐόντ' ἀπὸ πάντασ ὄλεσσαν.
οἳ μὲν ἄρ' ἐννῆμαρ 'κέατ' ἐν φόνωι, οὐδέ τισ ἦεν
κατθάψαι, λαοὺσ δὲ λίθουσ 'ποίησε Κρονίων·
τοὺσ δ' ἄρα τῆι δεκάτηι 'θάψαν θεοὶ Οὐρανίωνεσ.
ἡ δ' ἄρα σίτου 'μνήσατ', ἐπεὶ 'κάμε δάκρυ χέουσα.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ, 618ᵃ = Δ 418
σίτου· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα
Ϝίλιον εἰσαγαγών· πολυδάκρυτοσ δέ τοι ἔσται."
ἦ, καὶ ἀναΐξασ ὄιν ἄργυφον ὠκὺσ Ἀχιλλεὺσ
'σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον, [sq.
'μίστυλλόν τ' ἄρ' ἐπισταμένωσ 'πεῖράν τ' ὀβελοῖσι, 623 sq. = Η 317

---

614 νῦν δέ ποθ' ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισι, 614ᵇ cf. λ 574
ἐν Σιπύλωι, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰσ 615 cf. Β 783
νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο,
ἔνθα λίθοσ περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.

---

595. ὅσσα ϝέϝοικε Bentley] ὅσσ' (ὡσ pap. 114[1]) ἐπέοικε.

599. ἐκέλευεσ] -σασ T, σὺ κελεύεισ C D (ut vs. 669).

602. σίτου] δόρπου C.

608. δοιὼ] *ϝε δύω? (vChrist δοίω ϝε τεκεῖν).

614—617. Aristoph. Ar. ——. Posteri non ceteros cives (λαοὺσ vs. 611) sed ipsam Nioben in saxum mutatam fecerunt; sed poeta noster aliam fabulam est secutus, testibus vs. 611 et 613. Nam post liberos repentina morte abreptos Nioben prius quidem mentem aequam recuperasse, dein vero in saxum esse mutatam, id ineptum est figmentum diversa conglutinantium. Ceterum et vicini versus complures videntur recentiores (Knight del. vs. 608—617, Koechly 608 sq., Nauck 607—609).

616. Ἀχελώϊον] -λήϊον l. a. ant.

619. παῖδα κλαίοισθα] *κλαίοισθα σὺ παῖδα.

ὤπτησάν τε περιφραδέως, ’ϝερύσαντό τε πάντα. 624 = Α 466
Αὐτομέδων δ’ ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζηι 625b sq. = Ι 216 sq.
καλοῖσ’ ἐν κανέοισιν, ἀτὰρ κρέα ’νεῖμεν Ἀχιλλεύσ·
οἳ δ’ ἐπ’ ὀνείαθ’ ἑτοῖμα προκείμενα χεῖρασ ἴαλλον. 627 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιοσ καὶ ἐδητύοσ ἐξ ἔρον εἷντο, 628 = Α 469
ἤ τοι Δαρδανίδησ Πρίαμοσ ’θαύμαζ’ Ἀχιλῆα,
ὅσσοσ ἔεν οἷόσ τε· θεοῖσι γὰρ ἄντ’ ἐϝεϝοίκει. 630b cf. h. Cer. 242
αὐτὰρ ὃ Δαρδανίδην Πρίαμον ’θαύμαζεν Ἀχιλλεύσ,
εἰσοράων ὄψιν τ’ ἀγαθὴν καὶ μῦθον ἀκούων.
αὐτὰρ ἐπεὶ ’τάρπησαν ἐσ ἀλλήλουσ ὁράοντεσ, 633a = δ 47 κ 181; 633b = υ 373
τὸν πρότεροσ προσέϝειπε γέρων Πρίαμοσ θεοϝειδήσ·
„λέξον νῦν με τάχιστα, διοτρεφέσ, ὄφρα καὶ ἤδη 635b sq. = ψ 254 sq. cf. δ 294 sq.
ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντε.
οὐ γάρ πω ’μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσι,
ἐξ οὗ σῆισ ὑπὸ χερσὶν ἐμὸσ πάϊσ ὤλεσε θυμόν,
ἀλλ’ αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
αὐλῆσ ἐν χόρτοισι κυλινδόμενοσ κατὰ κόπρον. 640a cf. Λ 774; 640b = Χ 414
νῦν δὴ καὶ σίτου ’πασάμην ἠδ’ αἴθοπα ϝοῖνον 641 cf. η 295
λαυκανίησ καθέηκα· πάροσ γε μὲν οὔ τι ’πεπάσμην.“
ἦ ῥ’, Ἀχιλεὺσ δ’ ἑτάροισιν ἰδὲ δμωιῆισ’ ἐκέλευσε 643b-647 = δ 296 sqq.; 643b = Ι 658
δέμνι’ ὑπ’ αἰθούσηι θέμεναι καὶ ῥήγεα καλὰ 644-647 = η 336 sqq.
πορφύρε’ ἐμβαλέμεν, στορέσαι τ’ ἐφύπερθε τάπητασ,
χλαίνασ τ’ ἐνθέμεναι ϝούλασ καθύπερθε ϝέσασθαι.
αἳ δ’ ἴσαν ἐκ μεγάροιο δάοσ μετὰ χερσὶν ἔχουσαι, 647 = χ 497; 647b cf. ψ 294
αἶψα δ’ ἄρ’ ἐστόρεσαν δοιὼ λέχε’ ἐγκονέουσαι. 648 cf. η 340 ψ 291
τὸν δ’ ἐπικερτομέων προσέφη πόδασ ὠκὺσ Ἀχιλλεύσ· 649a cf. Π 744
„ἐκτὸσ μὲν δὴ λέξο, γέρον φίλε, μή τισ Ἀχαιῶν
ἐνθάδ’ ἐπέλθηισιν βουληφόροσ, οἵ τέ μοι αἰεὶ
βουλὰσ βουλεύουσι παρήμενοι, ἣ θέμισ ἐστί·
τῶν εἴ τίσ σε ϝίδοιτο θοὴν διὰ νύκτα μέλαιναν, 653 = 366
αὐτίκα κ’ ἐκϝείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησισ λύσιοσ νεκροῖο γένοιτο.

---

636. ταρπώμεθα] παυσώμεθα Ar. A T (cf. δ 295). — κοιμηθέντε pap. 114 D] -ντεσ (cf. δ 295).
641. ἠδ’ Brandreth] καί. Cf. η 295 et Ο 290.
642. λαυκανίησ] λευκ. pap. 114² D (cf. Χ 325).
649. ἐπικερτομέων] verbum hinc alienum ducit vHerwerden, *acerba* certe *cavillatio* (cf. Π 744 al.) Achillis verbis nulla inest aut inesse potuit.
655. γένοιτο pap. 114 D] -ηται.

ἀλλ' ἄγε μοι τόδε ϝειπὲ καὶ ἀτρεκέωσ κατάλεξον, 656 = K 384
ποσσῆμαρ μέμονασ κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέωσ αὐτόσ τε μένω καὶ λαὸν ἐρύκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοσ θεοϝειδήσ·
„εἰ μὲν δή μ' ἐθέλεισ τελέσαι τάφον Ἕκτορι δίωι,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείησ.
ϝοῖσθα γὰρ ὡσ κατὰ ϝάστυ ϝεϝέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν' ἐξ ὄρεοσ· μάλα δὲ Τρῶεσ δεδίασι.
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάρωι γοάοιμεν,
τῆι δεκάτηι δέ κε θάπτοιμεν δαινυῖτό τε λαόσ,
ἑνδεκάτηι δέ κε τύμβον ἐπ' αὐτῶι ποιήσαιμεν·
τῆι δὲ δυωδεκάτηι πολεμίξομεν, εἴ περ ἀνάγκη."
τὸν δ' αὖτε προσέϝειπε ποδάρκησ δῖοσ Ἀχιλλεύσ·
„ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡσ σὺ κελεύεισ· 669 cf. Φ 223
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγασ."
ὣσ ἄρα φωνήσασ ἐπὶ καρπῶι χεῖρα γέροντοσ 671 cf. σ 258
ἔλλαβε δεξιτερήν, μή πωσ δϝείσει' ἐνὶ θυμῶι.
οἳ μὲν ἄρ' ἐν προδόμωι δόμου αὐτόθι 'κοιμήσαντο, 673 = δ 302
κήρυξ καὶ Πρίαμοσ, πυκινὰ φρεσὶ μήδε' ἔχοντεσ, 674 = 282
αὐτὰρ Ἀχιλλεὺσ ηὗδε μυχῶι κλισίησ ἐυπήκτου· 675 = I 663
τῶι δὲ Βρισηῒσ παρελέξατο καλλιπάρηιοσ. 676 cf. I 664

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεσ ἱπποκορυσταὶ 677 sq.[a] = B 1 sq.
ηὗδον παννύχιοι, μαλακῶι δεδμημένοι ὕπνωι· 678 = K 2
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνοσ ἔμαρπτε,
ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπωσ Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺσ πυλαουρούσ.
'στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆσ καί μιν πρὸσ μῦθον ἔϝειπε· 682 = Ψ 68
„ὦ γέρον, οὔ νύ τί σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεισ
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύσ.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκασ·
σεῖο δέ κε ζωιοῦ καὶ τρὶσ τόσα δοῖεν ἄποινα

658. τέωσ] novicium; *ὦσ τῆοσ? Cf. § 323[3].
663. δὲ] γὰρ Ar.
— δεδίασι] neglecto ϝ.
664. κ' αὐτὸν] *κέν ϝε? Cf. § 98.
— μεγάροιι § 60] -ροισ.
672. δεξιτερήν] -ρῆι pap. 114.
673. οἱ] τὼ C.
676. δὲ] δ' ἄρα A, δ' ἄρ pap. 128[2].
681. πυλαουρούσ pap. 128] -ωρούσ (cf. Φ 530 X 69).

παῖδεσ τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώηι σ' Ἀτρεΐδησ, γνώωσι δὲ πάντεσ Ἀχαιοί." 688ᵃ cf. Δ 411 688ᵇ = Ψ 661
ὣσ ἔφατ', ἔδϝεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη. 689ᵃ = Δ 33
τοῖσιν δ' Ἑρμείασ 'ζεῦξ' ἵππουσ ἡμιόνουσ τε,
ῥίμφα δ' ἄρ' αὐτὸσ ἔλαυνε κατὰ στρατόν, οὐδέ τισ ἔγνω.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖοσ ποταμοῖο, 692 = Ξ 433
Ἑρμείασ μὲν ἔπειτ' ἀπέβη πρὸσ μακρὸν Ὄλυμπον, 694 = κ 307 694ᵇ = 468
ἠὼσ δὲ κροκόπεπλοσ ἐκίδνατο πᾶσαν ἐπ' αἶαν. 695 = Θ 1
οἳ δ' εἰσ ϝάστυ ἔλων οἰμωγῆι τε στοναχῆι τε
ἵππουσ, ἡμίονοι δὲ νέκυν 'φέρον.

οὐδέ τισ ἄλλοσ [Η 189
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν, 698ᵇ = ψ 147 cf.
ἀλλ' ἄρα Κασσάνδρη, ϝικέλη χρυσέηι Ἀφροδίτηι, 699ᵇ cf. Τ 282
Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησε,
ἑσταότ' ἐν δίφρωι, κήρυκά τε ϝαστυβοήτην,
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων 'ϝίδε κείμενον ἐν λεχέεσσι.
'κώκυσέν τ' ἄρ' ἔπειτα 'γέγωνέ τε πᾶν κατὰ Ϝάστυ· 703ᵃ cf. Σ 37
„ὄψεσθε, Τρῶεσ καὶ Τρωιάδεσ, Ἕκτορ' ἰόντεσ,
εἴ ποτε καὶ ζώοντι μάχησ ἐκ νοστήσαντι 705 cf. Ε 157 705ᵇ = Ρ 207
'χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμωι." 706ᵇ = Γ 50
ὣσ ἔφατ', οὐδέ τισ αὐτόθ' ἐνὶ πτόλει 'λίπετ' ἀνὴρ
οὐδὲ γυνή, πάντασ γὰρ ἀνάσχετον ἵκετο πένθοσ,
ἀγχόθι δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
πρῶται τόν γ' ἄλοχόσ τε φίλη καὶ πότνια μήτηρ
'τιλλέσθην, ἐφ' ἅμαξαν ἐύτροχον ἀΐξασαι,
ἁπτόμεναι κεφαλῆσ· κλαίων δ' ἀμφίσταθ' ὅμιλοσ.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐσ ἠέλιον καταδύντα 713 cf. Α 601
Ἕκτορα δάκρυ χέοντεσ ὀδύροντο πρὸ πυλάων,
εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·

---

698 *Ξάνθου δινήεντοσ, ὃν ἀθάνατοσ 'τέκετο Ζεύσ,* 698 = Ξ 434

---

693. Om. pap. 128 et 114 A D T.
697. *'φέρον]* *ἄγον* pap. 128 A.
704. *ὄψεσθε]* *ὄψασθε* Zen. (in Etym. *M* 646, 31).
— *"Εκτορ' ἰόντεσ]* *"Εκτορα δῖον* pap. 128 (*PAIONτεσ—PAΔION*).
706. *πόλει τ' ἦν]* *πόληΐ τε* Nauck (cf. § 74 et 302).
707. *οὐδέ τισ αὐτόθ']* *[οὐδ' ἄρα δ]ή τισ* pap. 128.
708. *ἀνάσχετον]* cf. *Ε* 892.
709. *ἀγχόθι δὲ]* **ἄγχι δέ ϝοι*? Cf. § 318.

„ϝείξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπεί ϝ' ἀγάγωμι δόμονδε.“
ὣσ ἔφαθ', οἳ δὲ διέστησαν καὶ ἔϝειξαν ἀπήνηι.
οἳ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα 719a cf. κ 112
τρητοῖσ' ἐν λεχέεσσ' ἔθεσαν, παρὰ δ' εἷσαν ἀοιδοὺσ 720a cf. γ 399 η 345
θρήνοι' ἐξάρχουσ, οἵ τε στονόεσσαν ἀοιδὴν
οἳ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δ' ἐστενάχοντο γυναῖκεσ. 722 cf. Τ 301
τῆισιν δ' Ἀνδρομάχη λευκώλενοσ ἦρχε γόοιο,
Ἕκτοροσ ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
„ἄνερ, ἀπ' αἰῶνοσ νέοσ ὤλεο, κὰδ δέ με χήρην 725b-727 cf. Χ 483 sqq.
λείπεισ ἐν μεγάροισι. πάϊσ δ' ἔτι νήπιοσ αὔτωσ,
ὃν 'τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ ϝ' ὀίω
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλισ ἥδε κατ' ἄκρησ
πέρσεται. ἦ γὰρ ὄλωλασ ἐπίσκοποσ, ὅσ τέ μιν αὐτὴν
'ρύσκε', ἔχεσ δ' ἀλόχουσ κεδνὰσ καὶ νήπια τέκνα.
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῆισι,
καὶ μὲν ἐγὼ μετὰ τῆισι. σὺ δ' αὖ, τέκοσ, ἢ ἐμοὶ αὐτῆι
ἕψεαι, ἔνθα κε ϝέργα ἀϝεικέα ϝεργάζοιο,
ἀθλεύων πρὸ ϝάνακτοσ ἀμειλίχου, ἤ τισ Ἀχαιῶν
ῥίψει χειρὸσ ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενοσ, ὧι δή ποθ' ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ' ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτοροσ ἐν παλάμηισιν ὀδὰξ ἕλον ἄσπετον οὖδασ, 738a = Η 105
οὐ γὰρ μείλιχοσ ἦσκε πατὴρ τεὸσ ἐν δαῒ λυγρῆι. 738b = Τ 61
τῶι καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ϝάστυ.
ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθοσ ἔθηκασ, 741 = Ρ 37
Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήισκων λεχέων ἔκ χεῖρασ ὄρεξασ,

---

717. ἄσεσθε] ἄσασθε A[1] T.
— *ἐπεί ϝ'] ἐπήν. Cf. Π 453 Δ 478 § 326.
— ἀγάγωμι D] -οιμι pap. 128 et 114 A C T.
— δόμονδε] πόλινδε l. a. in A.

721. *θρήνοι'] θρήνουσ (-ων H L); requiritur genitivus. Cf. § 59.

722. οἳ μὲν ἄρ' ἐθρήνεον] *'θρήνεον ἐξεῖησ? Cf. ω 61 et Θ 230. In vulgata novicium est ἐθρήνεον (cf. § 191) neque decurrit oratio. Pro ἄρ' ἐθρήνεον in D L est δὴ θρ.

723. τῆισιν] τοῖσιν l. a. in A (item vs. 747 D, vs. 761 Par.).

724. ἀνδροφόνοιο] ἱπποδάμοιο pap. 128 et 114 D (cf. Π 840).

725. νέοσ] sic Ar., -ον Zen.

726. δ' ἔτι] δέ τε A C T.

727. ϝ' ὀίω § 292*] μιν οἴω.

729. αὐτὴν] -τὸσ Platt (cf. vs. 499).

736. ὧι] ωτινι pap. 114.

737. ἠὲ ... ἐπεὶ] ἢ ... ἢ καὶ pap. 114.

οὐδέ τί μοι ’ϝεῖπες πυκινὸν ϝέπος, οὗ τέ κεν αἰεὶ
μεμνήμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα.“ 745 cf. Σ 340
ὣς ἔφατο κλαίουσ’, ἐπὶ δ’ ἐστενάχοντο γυναῖκες. 746 = Τ 301
τῇσιν δ’ αὖ Ϝεκάβη ἁδινοῦ ἐξῆρχε γόοιο· 747 cf. Χ 430
„Ἕκτορ, ἐμῶι θυμῶι πάντων πολὺ φίλτατε παίδων!
ἦ μέν μοι ζωιός περ ἐὼν φίλος ἦσθα θεοῖσι·
οἳ δ’ ἄρα σευ ’κήδοντο καὶ ἐν θανάτοιό περ αἴσηι. 750ᵇ = 428
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
’πέρνασχ’, ὅν τιν’ ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
εἰς Σάμον εἴς τ’ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν, 753 cf. Ν 33
σοὶ δ’ ἐπεὶ ἐξέλετο ψυχὴν τανακήκεϊ χαλκῶι, 753ᵇ cf. h. Ap. 36
πόλλ’ ἐρρυστάζεσκεν ἑϝοῦ περὶ σῆμ’ ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ’ ὧς.
νῦν δέ μ’ ἐϝερσήεις καὶ πρόσφατος ἐν μεγάροισι
κεῖσαι, τῶι ϝίκελος ὅν τ’ ἀργυρότοξος Ἀπόλλων
ϝοῖς’ ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος καταπέφνηι.“ 759 cf. γ 280 ο 411 ε 124 λ 173, 199
ὣς ἔφατο κλαίουσα, γόον δ’ ἀλίαστον ὄρινε. 760ᵃ cf. Τ 301
τῇσι δ’ ἔπειθ’ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
„Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων!
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοϝειδής,
ὅς μ’ ἄγαγε Τροίηνδ’· — ὡς πρὶν ὤφειλον ὀλέσθαι! — 764ᵇ cf. Η 390
ἤδη γὰρ νῦν μοι τόδ’ ἐϝεικοστὸν ϝέτος ἐστί, 765 sq. cf. τ 222 sq. ω 309 sq.
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης,
ἀλλ’ οὔ πω σέ’ ἄκουσα κακὸν ϝέπος οὐδ’ ἀσύφηλον·
ἀλλ’ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίσσοι
δαέρων ἢ γαλόων ἠ’ ἐνατέρων εὐπέπλων 769ᵇ = Ζ 378
ἢ ϝεκυρή, — ϝεκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί, —

747. αὖ] αὖθ’ Ω. Cf. Χ 430.
749. μοι] καὶ Doederlein (coll. ε 73).
750. οἳ δ’] ἠδ’ pap. 114.
752. ἕλεσκε] ἕλησι l. a. in A.
753. ἀμιχθαλόεσσαν] μιχθαλόεσσαν Antimachus. Vox ignota, vulgata autem metro damnatur (cf. § 3).
754. *σοὶ] σεῦ. Cf. § 92 et Σ 311.
757. *μ’ ἐϝερσήεις] μοι ἑρσήεις. Cf. Ω 419.
759. ἀγανοῖσι βέλεσσιν pap. 114] -νοῖς βελέεσσιν Ω. Cf. § 60.
— καταπέφνη(ι) pap. 114] κατέπεφνεν.
760. ὄρινε] ἔγειρε pap. 114.
764. ὤφειλον ὀλέσθαι § 273] ὤφελλον ὀλέσθαι (sic Ar. pap. 114 A) aut ὤφελλ’ ἀπολέσθαι Ω (cf. Η 390).
765. Numerale ἐϝεικοστόν luculenter testatur imperiti interpolatoris, qui Neoptolemi rationem habuerit, esse hunc versum (cf. Β 134 sq.). Quo deleto versusne 766 post sequentem ponendus an item delendus?
768. ἐνίσσοι l. a. in A] ἐνίσποι vel ἐνίπτοι Ω. Cf. § 243 et Γ 438.
770. αἰεί] ἦεν pap. 114².

ἀλλὰ σὺ τόν γε ϝέπεσσι παραιφάμενοσ κατέρυκεσ,
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖσ' ἀγανοῖσι ϝέπεσσι. 772a cf. λ 208 772b = Β 164a
τῶι σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίσ μοι ἔτ' ἄλλοσ ἐνὶ Τροίηι εὐρείηι
ἤπιοσ οὐδὲ φίλοσ, πάντεσ δέ με πεφρίκασι.“
ὣσ ἔφατο κλαίουσ', ἐπὶ δ' ἔστενε δῆμοσ ἀπείρων. 776 cf. Τ 301
λαοῖσιν δ' ὁ γέρων Πρίαμοσ μετὰ μῦθον ἔϝειπε·
„ἄξετε νῦν, Τρῶεσ, ξύλα ϝάστυδε, μηδέ τι θυμῶι
δϝείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺσ
πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν πρὶν δωδεκάτη μόληι ἠώσ.“ 781 cf. δ 747
ὣσ ἔφαθ', οἳ δ' ὑφ' ἁμάξηισιν βόασ ἡμιόνουσ τε
'ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ϝάστεοσ ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτοσ ἠώσ, 785 cf. Ζ 175
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντεσ,
ἐν δὲ πυρῆι ὑπάτηι νεκρὸν 'θέσαν, ἐν δ' ἔβαλον πῦρ. 787a = Ψ 165
ἦμοσ δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλοσ 'Ηώσ, 788 = Λ 477
τῆμοσ ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτοροσ ἤγρετο λαόσ. 789 cf. Η 434
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέεσ τ' ἐγένοντο, 790 = β 9 ϑ 24 ω 421 cf. Λ 57
πρῶτον μὲν κατὰ πυρκαϊὴν 'σβέσαν αἴθοπι ϝοίνωι 791 = Ψ 250 cf. Ψ 237
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸσ μένοσ· αὐτὰρ ἔπειτα 792 = Ψ 238
ὀστέα λεύκ' ἐλέγοντο κασίγνητοί θ' ἕταροί τε 793 cf. Ψ 239
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρήιων.
καὶ τά γε χρυσείην εἰσ λάρνακα 'θῆκαν ἑλόντεσ, 795 sq. cf. Ψ 253 sq.
πορφυρέοισ πέπλοισι καλύψαντεσ μαλακοῖσι·
αἶψα δ' ἄρ' εἰσ κοίλην κάπετον 'θέσαν, αὐτὰρ ὕπερθε
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι.

---

773. *ἔμ' ἄμμορον*] *ἐμὸν μόρον* l. a. in T. Cf. *Ζ* 408.

774. *τίσ μοι*] *μοί τισ* pap. 114.

776. *δῆμοσ*] *λαόσ* Nauck (ut Hes. Scut. 472).

783. *'ζεύγνυσαν*] *-νυον* T.

784. *τοί γε*] *δή σφιν* pap. 114[1].

785. *φαεσίμβροτοσ*] *ῥοδοδάκτυλοσ* pap. 114 T.

786. *δάκρυ χέοντεσ*] *ἀχνύμενοι κῆρ* v. l. in A (cf. *Ψ* 165).

789. *κλυτοῦ*] *κριτόσ* pap. 114[1] (ut *Η* 434).

— *ἤγρετο* Duentzer] *ἔγρετο*. Cf. *Η* 434.

790. Om. pap. 114 A T.

793. *θ' ἕταροι*] *τε ϝέται* Nauck (ut *Π* 456).

794. *παρηίων*] *παρειῶν* *Ω*, item *δ* 198, 228 *λ* 529 *π* 190. Cf. *τ* 208 *χ* 404 *Γ* 35 et § 56. Eadem contractio obtinet in adiectivo *καλλιπάρηιοσ*.

796. *πορφυρέοισ πέπλοισι*] *φάρεσι πορφυρέοισι* Nauck. Cf. § 60 et *Θ* 221 *ϑ* 84.

— *καλύψαντεσ*] *καθάψαντεσ* l. a. in T.

ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ ἥατο πάντῃ,
μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδεσ Ἀχαιοί.
χεύαντεσ δὲ τὸ σῆμα πάλιν 'κίον· αὐτὰρ ἔπειτα — 801 cf. Ψ 257
εὖ συναγειρόμενοι 'δαίνυντ' ἐρικυδέα δαῖτα — 802[b] = γ 66 ν 26 υ 280
δώμασιν ἐν Πριάμοιο διοτρεφέοσ βασιλῆοσ.
ὣσ οἵ γ' ἀμφίεπον τάφον Ἕκτοροσ ἱπποδάμοιο.

---

802. συναγειρόμενοι] συναγειράμενοι pap. 114 A[2].

804. ἱπποδάμοιο] ἦλθε δ' Ἀμάζων | Ἄρηοσ θυγάτηρ μεγαλήτοροσ ἱπποδάμοιο quidam in schol. T, sic Iliadi subiungentes *Aethiopidem* carmen.

CORRIGENDA ET ADDENDA.

B 741 et *M* 129 pro *Πειριθόοιο* leg. *Περιθόοιο*.

Θ 298 et *O* 315 pro *θόων* leg. *θοῶν*.

Π 462 pro *αἳ* leg. *οἱ*.

Ad *Γ* 278.] *-ντεσ* habet etiam Iulius Africanus a manu prima (*-ντασ*²) in pap. Oxyrh. 442.

Ad *Δ* 228. *Εὐρυμέδων*] *-μέδων* (λ superscr.) A. Cf. *Θ* 114.

Nota ad *Σ* 326—337 delenda, pertinet enim ad *T* 326—337.

Sedulo cautum est ne inter se permutarentur signa *η* et *κ* (de quibus cf. Proleg. p. X), sed fieri vix potuit quin hic illic sive ab operariis sive a nobis ipsis ita peccaretur tamen. Nonnulla certe eiusmodi vitia sero deprehendimus; quae hic indicare non videtur operae pretium.

Postquam prior huius operis pars est edita, virorum doctorum Grenfell et Hunt studio indefesso fragmenta complura exemplarium, quae III° ante Christum natum saeculo exarata sunt, in lucem sunt protracta et in opere cui titulus „The Hibeh papyri, I 1906" evulgata. Quorum quoniam in Prolegomenis nostris mentio fieri non potuit, hoc loco breviter de iis est referendum. Papyrus *Hibeensis 19* libros *B* et *Γ* olim complectebatur, papyrus *20* libros *Γ*—*E*, papyrus *21* librum *Θ*, papyrus *22* libros *Φ*—*Ψ*, papyrus *23* librum *υ*.

Papyrorum 20, 21, 22 fragmenta quaedam iam antehac innotuerant et vocabantur Mus. Brit. 989 b, Mus. Brit. 989 a, Bodl. gr. b 3 (cf. nostra Proleg. p. XXXIV sq.).

Papyri 23 in Odysseae editione ratio habebitur, — sola superest versuum *υ* 41—68 altera pars, — ceterae quae notatu digna praebent haec sunt fere:

Syllabam *ευ-* augmento ornatam habet pap. 19 *Γ* 296 (*ηὔχοντο*) et pap. 20 *Δ* 88 (*ηὗρε*). — Cf. nostra Proleg. p. XIV 2.

Libri *X* versum ultimum primus versus libri *Ψ* in papyro 22 excipit nullo spatio titulove intermisso. — Cf. nostra Proleg. p. XXXV de fragmento Genavensi.

Papyrus 19.

B 204. *ἀγαθή* pro: *-θόν*.
622. [*Διώρησ ἦρχεν ἀ*]*μύμων* pro: *ἦρχε κρατερὸσ Διώρησ*.
675. *ἕσπ*[*ετο*] pro: *εἵπετο*.
716. *ἐρατεινήν* pro: *ἐνέμοντο*.
794. Accedit versus: *εἰσ πεδίον Τρώεσσι φόνον κα*[*ὶ κῆρα φέροντεσ*]. Cf. vs. 352.
795. *μιν ἄρ' εἰδομένη* pro: *μιν εἰσαμένη*.
797. [*ὥσ τέ πο*]*τε εἰρήνη* pro: *ὥσ ποτ' ἐπ' εἰρήνησ*.
826. [*τῶν αὖ*]*θ' ἡγεμόνευε* pro: *Τρῶεσ, τῶν αὖτ' ἦρχε*.
828. [*οἳ δ'*] *ἄρ' Ἀδρήστειαν να*[*ῖον*] pro: *οἳ δ' Ἀδρήστειάν τ' εἶχον*.

Γ 283. *κοῦροι Ἀχαιῶν* pro: *ποντοπόροισι*. Dein repetitur versus 258, versus 284 autem sic est scriptus: [*εἰ δέ κέ τοι Μενέλαοσ Ἀ*]*λέξανδρον κατ*[*απέφνηι*].
302. Pro uno vulgatae versu: *ὣσ ἔφαν, οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων* hi sunt quinque: [*ὣσ ἔφαν εὐχό*]*μενοι, μέγα δ' ἔκτυπε μητιέτα Ζεὺσ* | [*ἐξ Ἴδησ βρον*]*τῶν, ἐπὶ δὲ στεροπὴν ἐφέηκεν·* | [*θησέμεναι γ*]*ὰρ ἔμελλεν ἔτ' ἄλγεά τε στοναχάσ τε* | [*Τρωσί τε καὶ*] *Δαναοῖσι διὰ κρατερὰσ ὑσμίνασ*. | [*αὐτὰρ ἐπεί ῥ' ὄ*]*μοσεν τε τελεύτησέν τε τὸν ὅρκον*. — Cf. *B* 39 sq., quo loco quod coniecit Nauck, egregie iam confirmatur hoc fragmento.
303. *πρὸσ* pro: *μετὰ*.
304. *καὶ Δάρδανοι ἠδ' ἐπίκουροι* pro: *καὶ ἐυκνήμιδεσ Ἀχαιοί*. Cf. *Γ* 456 al.
— Additur versus: [*ὄφρ' εἴπω*] *τά μ*[*ε θυ*]*μὸσ ἐνὶ στήθεσσιν ἀνώγει* (non: *-σσι κελεύει* NB.). Cf. *H* 68 al. et *I* 703.
306. *οὐ γάρ κεν τλαίην* [*ποτ'*] pro: *ἄψ, ἐπεὶ οὔ πω τλήσομ'*.
338. *εἵλε*[*το δ' ἄλκιμα*] *δοῦρε δύ*[*ω κεκορυθμένα χαλκῶι*].
339. Pro vulgatae verbis *Μενέλαοσ ἀρήϊοσ ἔντε' ἔδυνε* haec sunt: [*Μεν*]*έλαοσ ἀρήϊα* [*τεύχε' ἔδυνεν,*] | *ἀσπίδα κα*[*ὶ πήλη*]*κα φαεινὴ*[*ν καὶ δύο δοῦρε*] | *καὶ καλὰ*[*σ κνη*]*μῖδασ ἐπισφ*[*υρίοισ' ἀραρυίασ,*] | *ἀμφὶ δ' ἄ*[*ρ' ὤμοισι*]*ν βάλετο ξί*[*φοσ ἀργυρόηλον.*] Cf. *α* 256 et supra vs. 331 (*Σ* 459) et 334.
354. *ὅ τισ* pro: *ὅ κεν*.
361. *δ' ἄορ ὀξὺ ἐρυσσάμενοσ* [*παρὰ μηροῦ*] pro: *ϝερυσσάμενοσ ξίφοσ ἀργυρόηλον*. Cf. *Φ* 173.
362. *ἐπαΐξασ* pro *ἀνασχόμενοσ*. Cf. vs. 369.
— Posterior versus pars in vulgata est: *κόρυθοσ φάλον· ἀμφὶ δ' ἄρ' αὐτῆι*. In papyro post *φαλ* interierunt litterae ceterae, dein accedit novus versus. Locum Blass et editores probabiliter sic expleverunt: *κόρυθοσ φάλ*[*ον ἱπποδασείησ*] | *χαλκείησ, δεινὸν* [*δὲ κόρυσ λάκεν, ἀμφὶ δ' ἄρ' αὐτῆι*].
366. Additur versus: *δῖον Ἀλέξα*[*νδρον Ἑλένησ πόσιν ἠυκόμοιο*]. Cf. vs. 329.

Papyrus 20.

Γ 388. Solae supersunt litterae initiales *ειρι*. Videtur fuisse *εἴρια ἤσκει καλά* pro: *ἤσκειν εἴρια καλά*.
389. Deest.

Δ 69. Accedit versus: [*ὄρσε' Ἀθηναίη κ*]*υδί*[*στη Τριτ*]*ογένεια*. Cf. vs. 515.
88 (sq.). Cum Zenodoto concinit papyrus.
527. Deest.

E 530. Supersunt ultimae solae litterae *-νησ*. Videtur fuisse: [*κατὰ κρατερῆσ ὑσμί*]*νησ*. Cf. *N* 383.

Papyrus 21.

Θ 18. *πᾶσα[ί τε θέαιναι]* pro: *ἵνα ϝείδετε πάντεσ.* Cf. vs. 20.

38. Pro vulgata *τὴν δ' ἐπιμειδήσασ προσέφη νεφεληγερέτα Ζεύσ* hi duo sunt versus: *[ὣσ φάτο, μείδησεν δὲ πατὴ]ρ ἀνδρῶν τε θεῶν τε | [χειρί τέ μιν κατέ]ρεξεν ἔποσ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.*

49. *[Κρόνου πάϊσ ἀγκυλομ]ήτεω* pro: *πατὴρ ἀνδρῶν τε θεῶν τε.*

50. Inter hunc et 56 fuere versus *septendecim* (!). Quorum novem priores tantum non toti ignorantur, ceteri octo hi fuere: *[... μετὰ δέ κρείων] Ἀγαμέμνων | [ὄμματα καὶ κεφαλὴν ἴκελοσ Διὶ τερ]πικερ[αύ]νωι, | [Ἄρεϊ] δὲ ζ[ώνην, στέρνον δὲ Ποσειδάω]νι· | Τρῶεσ δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλι]ν ὡπλί[ζο]ντο | Ἕκτορά τ' [ἀμφὶ μέγαν καὶ ἀμύμον]α Που[λυ]δάμαντα | Αἰνεία[ν θ', ὃσ Τρωσὶ θεὸσ ὣσ τίετο δήμωι,] | τρεῖσ τ' Ἀ[ντηνορίδασ, Πόλυβον καὶ Ἀγήνορα δῖον] | ἠΐθεόν τ' Ἀκά[μαντ' ἐπιείκελον ἀθανάτοισιν].* Cf. *Β* 477—479 et *Λ* 57—60.

58. *ὠΐγο[ντο]* pro: *ὠΐγνυντο.*

65. Inter hunc et 66 *novem* versus videntur intercessisse. Quorum primi tres partim supersunt: *ἐν δ' Ἔρισ κτέ.* = *Σ* 535—537.

183. In codd. plerisque omissum habet papyrus.

184. *[φαίδιμοσ] Ἕκτωρ* pro: *φώνησέν τε.*

Papyrus 22.

Φ 426. *θεῖνε ποτὶ* pro: *ἐκείατ' ἐπὶ.* Cf. *ι* 459. Lectio memorabilis.

429. *κυδα[λίμοισιν]* pro: *θωρηκτῇσι.*

Χ 99. Accedit versus *λωβητόσ κεν ἔ[οιμι? . . .]* Cf. *Ω* 531.

102. *νύκτα ποτὶ δνοφερὴν* pro: *νύχθ' ὕπο τήνδ' ὀλοήν.* Cf. *ρ* 191 Hes. Op. 552.

110. *ἠ [αὐ]τῶι π[ρὸ πόλ]ηοσ ἐυκλείω[σ ἀπολέσθαι].*

140. *καρπαλίμωσ ὥρμησε* pro: *ῥηϊδίωσ ὤιμησε.*

251. ... *υδέ ποτ' ἔτλησ* pro: *ἔτλην.* Etiam *δίεσ* igitur habuisse videtur.

252. *ἀνώγει* pro: *ἀνῆκε.* Cf. *Φ* 396.

392. Accedit versus: *[καὶ τ]εθνηότα περ· τόσα γὰρ κάκ' ἐμή[σατ'] Ἀχαιούσ.* Cf. *Ω* 20 *Κ* 52.

442. *[αἶ]ψα δ' ἄρ' ἀμφι[πόλοισιν ἐυπλοκάμοισ' ἐκέλευσεν].*

446. *[χέρσ'] ὕπ'* pro: *χερσίν.* Cf. *Π* 420, 452 *Φ* 208.

462. *[αὐτὰρ ἐπεὶ Σκαιάσ] τε πύλ[ασ καὶ πύργ]ον ἵκανεν.* Cf. *Ζ* 237 *Ι* 354.

515. *ἄρ' ἔφη* pro: *ἔφατο.*

Ψ 186. Accedit versus, sic fortasse explendus: *[δεξιτερῇι, ἑτέρηι δὲ κόμην ᾔσχυν]ε δαΐζων* (partim aliter editores). Cf. *Σ* 27.

278. Accedunt versus duo: *ὡσ τώ γ' ἀθάνατοι κ[αὶ ἀγήραοι, οὐδὲ ἔοικε] | θνητοὺσ ἀθανάτοισι [δέμασ καὶ εἶδοσ ἐρίζειν].* Cf. *ε* 212 sq.

280. *τοιογ* (*τοῖον*) pro: *τοίου.*

— *σθένοσ* (cum Syr. aliis) pro: *κλέοσ.*

Typ. van A. W. SIJTHOFF'S UITG.-M'J., LEIDEN.